28o o.1.

# PHYSICI ET MEDICI GRAECI

## MINORES.

CONGESSIT, AD FIDEM CODD. MSS. PRAESERTIM EORUM, QUOS BEATUS *DIETZIUS* CONTULERAT, VETERUMQUE EDITIONUM PARTIM EMENDAVIT PARTIM NUNC PRIMA VICE EDIDIT, COMMENTARIIS CRITICIS INDICIBUSQUE TAM RERUM QUAM VERBORUM INSTRUXIT

*IULIUS LUDOVICUS IDELER.*

28 JUN 2004

9515

8708

58.197

VOLUMEN II.

BEROLINI

TYPIS ET IMPENSIS G. REIMERI

MDCCCXLII.

SENI VENERANDO

PATRI DILECTISSIMO

# CHRISTIANO LUDOVICO IDELER

VIRO DECEM PER LUSTRA
IN REBUS PUBLICIS OCCUPATO
DE LITERIS QUOD OMNES NORUNT OPTUME MERITO
HOMINI CANDIDO MODESTO SINCERO
AB OPTUMIS AESTUMATISSIMO

FESTO DIE
OPERIS HUIUSCE CONTINUATIONEM
PIO QUO FAS EST ANIMO
LAETABUNDE AC GRATULABUNDE
OFFERT

FILII GRATISSIMI

IULII LUDOVICI IDELER

PIETAS.

# Praefatio.

Accipis, lector benevole, secundum volumen collectionis, quam institui, minorum medicorum, physicorum et chemicorum Graecorum. Magna opusculorum restat copia, inter quae *Rufi Ephesii* libros aegre nunc desiderabis. Atqui nuper demum effectum est, ut collationes librorum a b. *Dietzio* institutas uno obtutu comparare et varietatem lectionis certiori ratione colligere possem, ut deinceps nova contextus recensio prodiret. Codicum, qui *Rufum Ephesium,* egregium scriptorem, continent, numerus non est exiguus. Itaque seriem auctorum, quos tertio volumini inseram, inchoabit. In secundo hoc volumine accipis prima vice graece editos septem *Ioannis Actuarii* libros d e u r i n i s, opus haud exigui pretii; deinde alia, quae index tibi indicabit, opuscula maioris minorisve ambitus ac momenti, in fine eiusdem *Ioannis Actuarii* libros d e d i a g n o s i, hucusque ignotos. Moneo hoc unum: ne quis censeat in postremorum saeculorum Graecis scriptoribus adoptandas esse grammaticas veteris idiomatis leges vel orthogra-

phiam: nobis persuasum erat, codicum ipsorum, haud raro eodem aevo, quo vixerat auctor, conscriptorum auctoritatem esse respiciendam ac servandam. Quid hac in re fecerimus, indicabit ultima operis huiusce pars critica. Melius sibi consulit, qui *Quercetani* (*Du Cange,* sieur *du Fresne*) glossario in hisce scriptoribus legendis utitur, quam qui novissima adminicula eaque omni laude digna adhibet. Hinc inde tamen fit, ut, quae ex priorum saeculorum scriptoribus sunt a subsequentibus depromta, facillime queant agnosci, qua de re alias suo tempore erit dicendum.

Scripsi Berolini Nonis Aprilibus a. MDCCCXLII.

*Iulius Ludovicus Ideler.*

# INDEX.


Pag.

*I. Τὸ περὶ οὔρων τοῦ σοφωτάτου Ἀκτουαρίου.
λόγος α' . . . . . . . . . . . . . . . . 3
λόγος β' . . . . . . . . . . . . . . . . 31
λόγος γ' . . . . . . . . . . . . . . . . 53
λόγος δ' . . . . . . . . . . . . . . . . 79
λόγος ε' . . . . . . . . . . . . . . . . 111
λόγος ς' . . . . . . . . . . . . . . . . 145
λόγος ζ' . . . . . . . . . . . . . . . . 171
*II. Τοῦ σοφωτάτου Ψέλλου περὶ λουτρου. . . . . . . . . 193
*III. Ἀνωνύμου περὶ διαίτης. . . . . . . . . . . . 194
*IV. Στεφάνου Ἀλεξανδρέως οἰκουμενικοῦ φιλοσόφου καὶ διδασκάλου τῆς μεγάλης καὶ ἱερᾶς τέχνης. Περὶ χρυσοποιΐας
πρᾶξις α' . . . . . . . . . . . . . . . . 199
πρᾶξις β' . . . . . . . . . . . . . . . . 202
ἐπιστολὴ πρὸς Θεόδωρον . . . . . . . . . . 208
πρᾶξις γ' . . . . . . . . . . . . . . . . 209
πρᾶξις δ' . . . . . . . . . . . . . . . . 213
πρᾶξις ε' . . . . . . . . . . . . . . . . 219
πρᾶξις ς' . . . . . . . . . . . . . . . . 223
πρᾶξις ζ' . . . . . . . . . . . . . . . . 231
*V. Τοῦ λογιωτάτου Μονάχου Κύρου Μερκουρίου ἀναγκαιοτάτη διδασκαλία περὶ σφυγμῶν. . . . . . . . . 254
*VI. Ἀνωνύμου περὶ χυμῶν, βρωμάτων καὶ πωμάτων. . . . 257
*VII. Περὶ λυκανθρωπίας Ἀνωνύμου. . . . . . . . . . 282
*VIII. Συμεὼν Μαγίστρου καὶ φιλοσόφου Σὴθ τοῦ Ἀντιοχέως φιλοσοφικὰ καὶ ἰατρικά . . . . . . . . . . . 283
*IX. Περὶ οὔρων πραγματεία ἀρίστη τοῦ σοφωτάτου παρὰ μὲν Ἰνδοῖς Ἀλλη Ἔμπνι τοῦ Σινᾶ ἤτοι Ἀλλη υἱοῦ τοῦ Σινᾶ, παρὰ δὲ Ἰταλοῖς Ἀβιτζιανοῦ . . . . . . . 286
*X. Περὶ οὔρων. Ἐκ Συρικοῦ βιβλίου. . . . . . . . . 303
*XI. Σύνοψις ἀκριβεστάτη περὶ οὔρων ἑρμηνευθεῖσα ἐκ τῆς ἰατρικῆς τέχνης τῶν Περσῶν . . . . . . . . . . . 305

*XII. *Σύνοψις τῶν οὔρων Ἀνωνύμου* . . . . . . . . . . 307
*XIII. *Περὶ σφυγμῶν Ἀνωνύμου* . . . . . . . . . . 317
*XIV. *Μαξίμου τοῦ Πλανούδη περὶ τῶν νελίων πασῶν τῶν ἀσθενειῶν τῶν ἐν τοῖς ἀνθρώποις ἐπερχομένων στίχοι* . . 318
*XV. *Περὶ οὔρων ἐν πυρετοῖς Ἀνωνύμου* . . . . . . . . 323
*XVI. *Θεοφράστου φιλοσόφου περὶ τῆς θείας τέχνης διὰ στίχων ἰάμβων* . . . . . . . . . . . . . . . . . 328
*XVII. *Ἱεροθέου φιλοσόφου περὶ τῆς αὐτῆς θείας καὶ ἱερᾶς τέχνης διὰ στίχων* . . . . . . . . . . . . . . 336
*XVIII. *Ἀρχελάου φιλοσόφου περὶ τύτῆς αῆς ἱερᾶς τέχνης διὰ στίχων ἰάμβων* . . . . . . . . . . . . . . 343
*XIX. *Τοῦ σοφωτάτου Ἀκτουαρίου Κυρίου Ἰωάννου περὶ διαγνώσεως παθῶν*
*λόγος α΄* . . . . . . . . . . . . . . . . 353
*λόγος β΄* . . . . . . . . . . . . . . . . 418
*XX. *Ἰουλιανοῦ νόμος περὶ τῶν ἰατρῶν* . . . . . . . . . 464

# PHYSICI ET MEDICI GRAECI

## MINORES.

### VOLUMEN SECUNDUM.

*Συναγάγετε τὰ περισσεύσαντα κλάσματα,*
*ἵνα μή τι ἀπόληται.*

Evang. Johannis. VI, 12.

I.

# ΤΟ ΠΕΡΙ ΟΥΡΩΝ ΤΟΥ ΣΟΦΩΤΑΤΟΥ ΑΚΤΟΥΑΡΙΟΥ.

## ΛΟΓΟΣ Α.

## ΠΕΡΙ ΔΙΑΦΟΡΑΣ ΟΥΡΩΝ.

### Προοίμιον.

1. Πάλαι μὲν ἴσως φιλοτιμίας ἔργον τιθέμενος περὶ ἐκείνους μᾶλλον ἀναστρέφεσθαι τῶν λόγων, οἳ τὴν χάριν τῇ ἀναγνώσει συγκαταπαύουσι, διενοούμην τι πράττειν προθυμίας ἄξιον· ἐπεὶ δ' ἐμαυτὸν τοῖς ἄλλοις παιδευόμενον ἔγνων ἐπὶ κενῷ σπουδάζοντα, ἀφεκτέον τε εἶναι τοιαύτης λόγων σπουδῆς ἐνόμισα δεῖν, κἀκεῖνα μᾶλλον εἴ τις δύναμις γράφειν σπουδάζειν, ὅσα ἂν καὶ τίσιν ἄλλοις λυσιτελήσειεν. 2. Τῷ μὲν γὰρ οὕτω σπουδάζοντι γράφειν ἐπὶ κεναῖς ὑποθέσεσι, δεῖ πάντως δὴ καὶ τοῦ ἐκ τῶν λόγων ἀφθόνου κάλλους, ἵν' ὅπως ἐκεῖνο πείθῃ τοὺς ἐντυγχάνοντας καὶ ταῖς μὴ χρειώδεσι τῶν ὑποθέσεων ἐπινεύειν, ἡμεῖς δὲ τοσοῦτον δέομεν ὥστε αὐτὰ δὴ τὰ τοῦ λόγου δείξει τὰ πράγματα· ἂν δέ τις ἐπιχειροίη λόγων ἀρίσταις ὑποθέσεσι, ἄν τι καὶ τοῦ ἐκ τῶν λόγων κάλλους διαμαρτὼν ᾖ, πείθειν ὅμως οἶμαι τούτων τοὺς πλείους πειθομένους τὸ τῆς ἐπαγγελίας τοῦ λόγου χρειῶδες πάνυ, καὶ τοῦ ἐκ τῶν λόγων ἀκαλοῦς ἀνέχεσθαι συμφορήματος. 3. Καὶ δὴ πρὸς τὸ τοιοῦτον ἀπιδὼν τοῦ σκόπου, καὶ λόγων ἀλογήσας σπουδαζομένου κάλλους, ἀποσχόμενος μέντοι, καὶ τῆς κατ' ἐμὲ δυνάμεως ἁπλοϊκώτερον ὡς οἷόν τε συνεθέμην τὸν λόγον, καὶ τοῖς ἀσφαλεστέροις ἴσως συνοίσοντα. 4. Πολυσχιδοῦς τοίνυν ὡς ἴσμεν τῆς περὶ λόγους ὑποθέσεως οὔσης, καὶ ἄλλων ἄλλα λεγόντων τε καὶ πειθόντων, οὐχ ἥκιστα ἂν τις ἐπαινέσειεν, ὅσα περὶ τὴν τῶν ἀνθρω-

πίνων σωμάτων θεωρίαν καθέστηκεν. 5. Εἰ γὰρ ἐκεῖνα μήτε περὶ σώματος μήτε περὶ ψυχῆς διατιθέμενα πολλοῦ γε τίθεται ἕκαστος, καὶ τὰ μέγιστα συνεισενεγκεῖν τῷ βίῳ τὸν γεγραφότα δοκεῖ, πολλῷ μᾶλλον ἂν προθείη τε καὶ ἀσπάσαιτο τὴν περὶ τῶν ἀνθρώπων θεωρίαν σωμάτων, ὡς ἐκείνων μᾶλλον ταύτην αὐτῷ προσήκουσαν. 6. Ὅτε τοίνυν τοῦθ' οὕτως ἔχει, μάλιστ' ἂν ἡδέως καὶ αὐτὸς περὶ τὰ τοιαῦτα τῷ λόγῳ ἐνδιατρίψαιμι, ἤ τι συνεισενεγκεῖν ἐθελήσαιμι τῶν μέχρις ἀκοῆς τὴν ἡδονὴν παρεσχηκότων λόγων. 7. Ποικίλης οὖν τινος οὔσης τῆς περὶ τὰ ἀνθρώπινα σώματα θεωρίας, — ἡ μὲν γὰρ περὶ στοιχείων, ἡ δὲ περὶ ἐμβρύων διαπλάσεως, καὶ περὶ ἀνατομῆς ἑτέρα, καὶ ἄλλης ἄλλη μᾶλλον πραγματείας καθέστηκεν, — αὐτὸς τῆς περὶ τὰ σώματα τεθεωρουμένης ἡψάμην πραγματείας, καὶ ταύτης, ἐπεὶ πολυσχιδής τις καὶ αὕτη εἶναι δοκεῖ, ὅσον ἐς διάγνωσιν καθέστηκε χρήσιμον.

### Κεφ. α'. Ὅτι χρήσιμος ἡ ἐκ τῶν οὔρων ἐπίσκεψις.

1. Πολλῶν οὖν ὄντων, δι' ὧν ἄν τις τὰ κατέχοντα τῶν νοσημάτων διαγνοίη, οὐχ ἧττον ἄν, οἶμαι, ἕλοιτο τὴν περὶ οὔρων πραγματείαν τὰ μέγιστα λυσιτελοῦσαν ἐς τὴν τῶν κατεχόντων παθῶν διάγνωσιν. 2. Ταῦτά τοι καὶ αὐτὸς τῷ περὶ οὔρων ἐπικεχείρηκα πραγματείᾳ, εἴς τε τὸ ἀνεξέταστον αὐτῆς ἀπιδὼν τῶν πολλῶν, καὶ εἰς ἃ δὴ προβάλλεται ἀγαθά, καὶ τοίνυν τετραχῇ τὸν ἐπὶ ταύτῃ πάντα λόγον διατεμών, εἴς τε διαφορὰν δηλονότι καὶ διάγνωσιν καὶ πρὸς τούτοις αἰτίαν τε καὶ πρόγνωσιν, τῆς περὶ οὔρων πρώτως ἅπτομαι, θεοῦ διδόντος, διαφορᾶς.

### Κεφ. β'. Ὅτι οὐδεὶς τῶν παλαιῶν ἐντελῶς τῶν ἡμῖν γνωρίμων ταύτης τῆς πραγματείας ἥψατο.

1. Ἐπεὶ γὰρ τοῖς πρὸ ἡμῶν περὶ τὰ τοιαῦτα σοφοῖς βραχύ τι περὶ τοῦδ' οὐκ οἶδα ὅπως ἐμέλησεν — ὁ μὲν γὰρ σοφώτατος Ἱπποκράτης ὀλίγα τινὰ περὶ τούτων εἰρηκὼς σποράδην, ἀτελῆ τὴν θεωρίαν παρῆκε, Γαληνῷ δὲ τῷ δεινῷ περὶ τὰ τοιαῦτα βραχύ τι καὶ αὐτῷ μελῆσαν, ὅσον δῆτα εἰκὸς ἦν πεῖσαι τοὺς πολλοὺς καὶ τὴν ἐκ τῶν οὔρων

*θεωρίαν λυσιτελῆ τοῖς ἀνθρωπίνοις οἴεσθαι σώμασι, τὸ λοιπὸν ἀμελεθῆναι φαίνεται τῆς περὶ ταῦτα ἐντελοῦς θεωρίας.* 2. *Μάγνῳ δὲ καὶ Ἀλεξάνδρῳ καὶ πρὸς τούτοις ἔτι Θεοφίλῳ καί τισιν ἑτέροις περὶ τὰ τοιαῦτα ἐσπουδακόσι, πλέον τι τῶν ἄλλων εἰπεῖν δόξασι, καὶ αὐτοῖς ὁ λόγος ἀτελὴς διέμεινεν, ὥσπερ ἀπ' ἐμπειρίας μᾶλλον ἀρχόμενος καὶ μήτε διαφορὰς μήτε αἴτια, μήτε ἄλλ' ἄττα τὰ τῇ ἀρτιότητι δοκοῦντα προσήκειν ὑποθεμένοις.* 3. *Ἔνθεν τοι ταῖς μὲν ἄλλαις ὁρῶν τὴν τέχνην σεμνυνομένην πραγματείαις, οὐκ ὀλίγα τοῦ θ' Ἱπποκράτους καὶ Γαληνοῦ καὶ τῶν μετ' αὐτοὺς ἐξευρηκότων ἀνδρῶν, τὴν δὲ περὶ οὔρων οἷον ὑποσκάζουσαν καί τινος εἰς τοῦτο συνάρσεως δεομένην, αὐτὸς τὸ ἔργον ἀνειλόμην, ὡς οἷόν τε ἦν, καὶ θεῷ θαρρήσας, τῷ παρόχῳ τῶν λόγων, ἐπικεχείρηκα.* 4. *Κἂν μὲν οὖν κατ' ἀξίαν τῆς προθυμίας τε καὶ τέχνης προβαίη τοὐγχείρημα, θεῷ χάρις τῷ χορηγῷ τῆς γνώσεως· εἰ δὲ πολλῷ τῆς σπουδῆς κατόπιν, οὐκ ἄν τις [ἐμοὶ] δικαίως μῶμον προσάψειε μὴ πάνυ κεκρατηκότι προθυμίας ἡλίκης, κἂν γάρ τι καὶ διαπεσεῖν τοῦ δέοντος γένηται, ἀνθρωπινον μὲν τὸ πάθος, συγγνοίη δ' ἄν τις εὖ κρίνειν εἰδώς, ἀντιπαραθεὶς ταῖς μὴ καλῶς ῥηθεῖσι τὰ δέοντα.* 5. *Τὸ μὲν γὰρ ἕκαστον τῶν ὁτιοῦν εἰδότων, ὅση δύναμις, εἰσενεγκεῖν τι τῶν κοινῶν λυσιτελείας τινὸς ἕνεκεν, ἐπαινετῆς ἂν ὁμολογήσειέ τις προθυμίας· τὸ δὲ ῥαδίως οὕτω διαβάλλειν ἐθέλειν τὰς τῶν αἱρουμένων τὰ κρείττω προθυμίας, φαύλων μᾶλλον ἀνδρῶν καὶ τἀγαθὰ φθονούντων φήσειεν ἄν.* 6. *Καὶ τὸ μὲν εἶξαι ταῖς τῶν συνήθων ἀξιώσεσιν (εἰσὶ γὰρ οἵ πρὸς τοῦτό με προθυμίας ἤλασαν), εἶχεν ἂν ἴσως ἀρκοῦσαν ἀπολογίαν τῷ λόγῳ.* 7. *Ἐπεὶ δὲ καὶ ἡ τέχνη κατὰ τοῦτο ἐνδέουσά πως, ὡς ἴσμεν, ὦπται, ἀντὶ τῆς τῶν πολλῶν ἐπιτιμήσεως τοῦ λόγου ἀλογῆσαι γένηται, καὶ τῆς περὶ οὔρων ἅψασθαι καλλίστης πραγματείας, τῶν ἀλογωτάτων ἂν δόξειεν, οὕτω δὴ καὶ ποιῶμεν ὧδέ ποθεν ἠργμένοι τοῦ λόγου.*

Κεφ. γ΄. Ὅτι τρεῖς αἱ συστατικαὶ καὶ πρῶται ἀρχαὶ τοῦ σώματος.

1. Τριῶν οὖν ὄντων τῶν μάλιστα τὴν ἀνθρωπίνην συνεστώντων ζωήν, καρδίας, ἥπατος καὶ ἐγκεφάλου, καὶ τῆς μὲν καρδίας ἀρχικῆς μᾶλλον οὔσης τούτων καὶ θησαυροῦ τῆς ἐμφύτου θερμότητος καὶ αὐτοῦ δὴ τοῦ ζωτικοῦ τόνου, καθ' ἃς ἂν τύχῃ ταῦτα ὄντα διαθέσεις, ὑποσημαινούσης διὰ τῆς τῶν ἀρτηριῶν ἀεικινησίας, οὐχ ἧττον μέντοι καὶ τἆλλα τῶν ἀξιολόγων παθῶν τῶν ἐπὶ διαφόροις τοῦ σώματος μέρεσιν γενομένων, ἅτε κοινωνοῦσιν ὡς ἀρχηγοῦ τῆς καρδίας. 2. Τοῦ δ' ἥπατος δευτέρου μὲν ἀξιώματι πεφυκότος, ἐπικεκοινωνηκότος μέντοι καὶ αὐτοῦ τοῦ ἀπὸ τῆς καρδίας ἐμφύτου θερμοῦ, μᾶλλον τῶν ἄλλων μορίων διὰ τῆς κοίλης οὕτω καλουμένης φλεβός· ἀρχῆς δὲ τῶν φλεβῶν τυγχάνοντος καὶ τὴν αἱματοποιητικὴν ἐμπεπιστευμένου δύναμιν παρὰ τοῦ δημιουργοῦ τῆς φύσεως. 3. Ἐπὶ τούτοις δὲ τρίτου τοῦ ἐγκεφάλου, τήν τε κίνησιν καὶ αἴσθησιν καὶ ἡγεμονικὴν ἐνέργειαν ἐπιχορηγοῦντος τῷ σώματι, ἐπικοινωνούντων μέντοι τῶν τριῶν καὶ τοῖς ἀλλήλων συμπασχόντων πάθεσιν, ἅτε μιᾶς οὔσης ἐν πᾶσι τῆς συρροίας τε καὶ συμπνοίας. 4. Ἡμεῖς περὶ τῆς ἐν ἥπατι μᾶλλον ἐρεῖν προυθέμεθα δυνάμεως, εἴ γε τὸ μὲν ἧπαρ τὴν αἱματοποιητικὴν κεκλήρωται δύναμιν ὑπὸ τῆς φύσεως, τὸ δ' οὖρον αἵματος περίηθημα πέφυκεν. 5. Ἀλλ' ἵνα ὁ λόγος σαφέστερος ᾖ, δίκαιον ἂν εἴη πρῶτον φάναι περὶ τῆς τοῦ αἵματος κατασκευῆς, εἶθ' οὕτως καὶ περὶ οὔρου, καθ' εἱρμόν τινα τοῦ λόγου προβαίνοντος.

Κεφ. δ΄. Περὶ τῆς τοῦ αἵματος καὶ τῆς τῶν λοιπῶν χυμῶν κατασκευῆς, ἐν ᾧ καὶ περὶ οὔρων γενέσεως.

1. Καὶ δὴ τῆς τροφῆς ἐν γαστρὶ ἀλλοιωθείσης τε καὶ πεφθείσης, ἐπειδήπερ αἱ μεσαραϊκαὶ καλούμεναι φλέβες τὴν ἀρχὴν ἀφ' ἥπατος λαβοῦσαι διὰ τῆς στελεχιαίας οὕτω καλουμένης φλεβὸς αὐτήν τε τὴν γαστέρα καὶ τὰ μετ' αὐτὴν ἐκμυζῶσιν ἔντερα, καὶ οἷον βδάλλουσι, τὸ καθαρώτερον ὡς δι' ἠθμοῦ τῆς χυλοποιηθείσης τροφῆς ἐπισπώμεναι, διαπορθμεύουσαι δὲ ταύτην ἐπὶ τὰ κοῖλα τοῦ ἥπατος τῇ αἱματοποιητικῇ δυνάμει παραδιδόασιν, ἐπειδὰν μηδὲν ἐμ-

ποδὼν τυγχάνον ᾖ, εἰς αἷμα ταύτης ἠλλοιωμένης. 2. Ὅσον μὲν οὖν λεπτόν τε καὶ δριμύτερον πέφυκεν, ἐκεῖ που παρὰ τὰ κυρτὰ τοῦ ἥπατος ἡ χοληδόχος κύστις ἐνιδρυσμένη ἀνιμᾶταί τε καὶ ἐφέλκεται, βραχέως πάνυ καὶ τούτου κατά τινα, ὡς οἶμαι, χρείαν, διαπεφευγότος τὴν ἀκριβῆ διάκρισιν. 3. Εἴ τι δὲ τοῦ γεώδους τε καὶ μελαγχολικοῦ τελοίη χυμοῦ ἐν αἵματι, τοῦθ' ὁ σπλὴν ἀντιπαρακείμενος ἐπισπᾶται, φυσικαῖς τισιν ὁλκαῖς ἑκάστου τὸ ἴδιον ἐπισπωμένου. 4. Τρίτος ἐπὶ τούτους ὁ ὀρρώδης χυμὸς ἐπιλείπεται· ἀλλ' οὐκ αὐτοῦ που καὶ οὗτος ὁ χυμὸς ἀποκενοῦται, ἀλλ' εἰς μεῖζόν τι καὶ χρειωδέστερον ἀπεταμιεύθη τῇ φύσει. 5. Ἐπεὶ γὰρ ὅτε λόγος καὶ ἡ αἴσθησις τὸ αἷμα οἶδε παχύτερον καὶ μὴ ῥᾳδίως τῶν φλεβίων διαπεραιούμενον, ὁ δ' ὀρρώδης οὗτος χυμὸς λεπτός τε καὶ εὐδίοδος πέφυκε, τὸ ἀδιάκριτον ἐπὶ τούτῳ ἡ φύσις ἔτι φυλάξασα, καὶ διὰ τῶν κοίλων τοῦ ἥπατος ἐπὶ τὰ κυρτὰ μεταβίβασα, καὶ τῇ κοίλῃ φλεβὶ συνάψασα ἐφηγουμένῳ τῷ ὀρρώδει χυμῷ, κἀκεῖθεν ἔτι συνημμένους μικρόν τι παραλλάξασα τοὺς χυμοὺς ἐπὶ τῷ λαβδοειδεῖ τῆς κοιλῆς φλεβὸς τὸ μὲν ὀρρῶδες τοῖς νεφροῖς καθέλκειν τε καὶ διακρίνειν δίδωσιν· ὅσον δ' αἵματος πέφυκε διά τε τῆς λαβδοειδοῦς καὶ τῆς εὐθὺ χωρούσης τῆς καρδίας ταῖς ἐφεξῆς φλεψὶ κατακερματιζόμενον διανέμει. 6. Ὃ δὴ (sc. αἷμα) κἀπὶ τὰ βαθύτερα χωροῦν ἐντεῦθεν τοῦ σώματος εἰς σαρκὸς ἀλλοίωσιν κατεπείγεται, μηκέτι τὴν προτέραν διατηροῦν ἐρυθρότητα, ἀλλ' εἰς ὑφειμένην μεταπίπτον λευκότητα ὑπὸ τῆς τετάρτης οὕτω πέψεως καλουμένης. 7. Ἐπεὶ δ' ἡ μὲν τοιαύτη τετάρτη πέψις ἐς ὑφειμένην πάνυ ἐρυθρότητα τὴν τοῦ αἵματος χροιὰν μετατίθησι καὶ οἵα ἡ τῆς σαρκός, ἐν ταύτῃ γὰρ τὸ τέλος τῆς τροφῆς, καὶ τῷ λοιπῷ τῶν ὁμοιομερῶν καθέστηκε καταλόγῳ, ὅσον μὲν ἁρμόζον καὶ ἀκραιφνὲς ἐκεῖ που προσφυὲν δροσοειδῶς ἐξομοιοῦται ἀρρήτοις οἰκονομίαις φύσεως. 8. Ἐπεὶ δὲ καὶ περιττὸν εἰκὸς ἐκεῖθεν ἠθροῖσθαι τῇ ἀκριβείᾳ δηλονότι τῆς τοιαύτης πέψεως, τοῦτο λεπτότερόν τε καὶ ἀερωδέστερον πεφυκός, διὰ τῆς ἀδήλου οὕτω διαφορηθὲν διαπνοῆς, ᾤχετο λαβὸν τὴν αἴσθησιν. 9. Ἀλλ' ἐπειδήπέρ τι λέληθεν ἡμᾶς, καὶ τόδε προσαποδοτέον τῷ λόγῳ.

*Κεφ. ε. Περὶ τῶν ἐφ' ἑκάστης τῶν πέψεων ἐκκρινομένων περιττωμάτων.*

1. *Τεττάρων οὐσῶν ὡς οἶμαι τῶν γενικῶν πέψεων ἐν διαφόροις τόποις γεγενημένων, ἡ μὲν δὴ πρώτη κατὰ γαστέρα πάντως ἐνεργεῖται, ἡ δὲ δευτέρα κατά τε τὴν στελεχιαίαν φλέβα καὶ τὰ κοῖλα τοῦ ἥπατος, ὥσπερ ἡ τρίτη κατά τε τὰ κυρτὰ τοῦ ἥπατος καὶ τὸ ἐφεξῆς φλεβῶδες γένος, καὶ μετ' αὐτὴν ὑστάτη κατὰ τὰ περαιτέρω τοῦ σώματος, ὅτε δὴ καὶ πρόσθεσίς τις καὶ πρόσφυσις καὶ ἐξομοίωσις γίνεται.* 2. *Τούτων τῆς μὲν προτέρας τὰ περιττά, ὅσα τε ἐμεῖται καὶ διὰ γαστρὸς χωρεῖ, τῆς δ' αὖ δευτέρας οἱ ἑτεροειδεῖς χυμοί, ἐκείνης δὲ τὰ τοῖς οὔροις παρυφιστάμενα, ὑστάτης δὲ καὶ τετάρτης τά τε διὰ ἀδήλου διαπνοῆς χωροῦντα, λεπτὰ τυγχάνοντα, καὶ τὰ ἐξανθοῦντα περὶ τὴν ἐπιφάνειαν παχύτερα γεγονότα* 3. *Κἂν μὲν οὖν αἱ πέψεις αὗται πᾶσαι καλῶς τὸ σφῶν αὐτῶν ἔργον διασκευάσωσι, τά τε οὖρα τὴν ἁρμόζουσαν χροιάν τε καὶ σύστασιν ὑποφαίνουσι καὶ τὰ παρυφιστάμενα τὸν οἰκεῖον ἔχοντα τόπον, λεῖα καὶ ὁμαλὰ ἐπιδείκνυνται.* 4. *Οὖρον γάρ φησιν Ἱπποκράτης ἄριστον τὸ λευκὴν καὶ λείην καὶ ὁμαλὴν τὴν ὑπόστασιν ἔχον· ἄλλοι δέ τινες πρὸς ἀπαρτισμὸν τὸν ὅρον προάγοντες, οὖρον ἔφασαν ἄριστον τῷ κατὰ πάντα εὐκράτῳ ἀνθρώπῳ, τὸ τῷ πλήθει μὲν ἀναλόγως ἔχον τῷ πινομένῳ, χροιὰν δὲ ὑπόπυρρον ἢ ὑπόξανθον, ὑπόστασιν δὲ λευκὴν καὶ λείαν καὶ ὁμαλήν.* 5. *Καθ' ἃς γὰρ ἂν πέψεις τύχῃ διαμαρτὸν τὸ αἷμα τοῦ δέοντος, καὶ τὸ οὖρον σαφῶς συμμεταβάλλεται, καὶ ἐφ' αἷς τισιν αἰτίαις δίδωσιν ἐξευρίσκειν.* 6. *Ἐπεὶ γὰρ τοῦ διὰ παντὸς χωροῦντος χυμοῦ τοῦ σώματος τὰ περιττὰ συνεκκρινόμενα φαίνεται ταῖς ἀμίσιν, εἰκότως ἂν ἀποδείξαιεν ταῦτα τὰ περὶ τὰς πέψεις πλημμελήματα γεγονότα.* 7. *Ὥσπερ γὰρ ἐπὶ τῶν ἀποστημάτων, ἂν μὲν λευκὸν καὶ λεῖον καὶ βραχύ τι ἢ οὐδὲν ὄζον ὑπορρέῃ τὸ πύον καὶ μηδέ τινα ἑτεροειδῆ ἐμφερόμενα ἔχῃ, ἀγαθὴν τοῦ ἕλκους ὑποδείκνυσι γεγονέναι τὴν πέψιν· εἴ τι δέ που τούτων λέλειπται, διημαρτῆσθαι καὶ τὴν πέψιν δηλοῖ, ὥστε ἐντεῦθεν διδόναι οἴεσθαι, ἤτοι κακοηθευθῆναι τὸ ἕλκος, ἢ χρονίσαι, ἢ μελανθῆναι, ἤ τι ἕτερον μεῖζον ἢ μεῖον παθεῖν*

*ἀναλόγως τῇ διαμαρτίᾳ τῆς πέψεως· οὕτω δὴ κἀπὶ τῶν οὔρων προσήκει σκέπτεσθαι.* 8. *Τά τε γὰρ ποσὰ τῶν οὔρων μὴ φυλάττοντα τὴν ἀναλογίαν, αἵ τε συστάσεις ἐκπεφευγυῖαι τὸ σύμμετρον, τὰ δὲ χρώματα τῆς βαφῆς ἐπίτασίν τε καὶ ὕφεσιν προσλαβόντα, τὰ δὲ παρυφιστάμενα μήτε χρῶμα μήτε σύστασιν μήτε μὴν τόπον μήτε λειότητα τηροῦντα καὶ ὁμαλότητα, εἰκότως ἂν σημάνειεν ἐκφυγόντα τὸ κατὰ φύσιν τε καὶ σύμμετρον ὁποιανδήτινα βλάβην ἐπιγεγονέναι τῷ σώματι· τάς τε γὰρ ἐπιταθείσας δυσκρασίας ὁμοιομερῶν τε καὶ ἀπεψίας καὶ τὰ λοιπὰ τῶν κατὰ μέρος ἀξιολόγων παθῶν αὐτὰ δὴ τὰ οὖρα σημανοῦσι ταῖς ἐξευρημέναις μεθόδοις κεχρημένῳ.*

*Κεφ. ϛʹ. Πρὸς τοὺς ἀνόητον οἰομένους τὴν ἐκ τῶν οὔρων ἐπίσκεψιν.*

1. *Ἐπεὶ δέ τινες ὡς ἀνόητον τὴν περὶ οὔρων ἀποστρέφονται πραγματείαν καὶ μηδ' ὁτιοῦν εἰς διάγνωσιν ἢ πρόγνωσιν λυσιτελεῖν διατείνονται ὑῶν καὶ ἵππων καὶ κυνῶν καὶ ζῴων ἄλλων οὔροις τοὺς ἀπειροτέρους ἐξαπατῶντες, βραχέα ἄττα πρὸς τούτους εἰρηκότες τῶν καθεξῆς ἐχώμεθα λόγων.* 2. *Ἐπειδὴ περίηθημα αἵματος τὸ οὖρον εἶναι λέλεκται τοῖς περὶ τὰ τοιαῦτα σοφοῖς, ἔναιμα δὲ καὶ τὰ ῥηθέντα τῶν ζῴων πέφυκε, τί καινὸν ἂν εἴη, εἰ καταλληλίαν τινὰ τὰ οὖρα τούτων πρὸς τὰ τῶν ἀνθρώπων κέκτηται;* 3. *Τοσοῦτο μέντοι διενηνοχότα ταῦτα ἀλλήλων ἔσται, καθ' ὅσον οὐχ ἡ αὐτή τις πέψις ἐν πᾶσι πέφυκε, εἴ γε μήθ' αἱ τροφαί, μήτε τὰ γυμνάσια, μήθ' αἱ ἔμφυτοι δυνάμεις τε καὶ κράσεις τοῖς πᾶσιν αἱ αὐταὶ καθεστήκασι.* 4. *Καὶ τί δεῖ λέγειν ἐπὶ τῶν διαφόρων τῷ εἴδει, ὅπου γε καὶ τῶν αὐτῶν τῷ εἴδει διάφορα ὑγιαινόντων τὰ οὖρα δείκνυται διά τε τὰς διαφορὰς τῶν τροφῶν τε καὶ τῶν κράσεων καὶ ἡλικιῶν, ἐθῶν τε καὶ τόπων, καὶ ὅτι ἂν ἀλλοιοῦν εἰώθει ἕτερον· ἐνίοτε γὰρ ἅπερ ὑγιαίνουσιν ἄλλοις ἐπιφαίνεται, ταῦτα νοσοῦσιν ἑτέροις ἐπιδείκνυται.* 5. *Τά τε γὰρ τῶν γερόντων οὖρα, τοῖς νέοις ἐπιφαινόμενα, μὴ καλῶς ἔχειν παραδηλοῦσι· τά τε τῶν νέων τοῖς γέρουσι παρατετράφθαι φαίνουσι τὴν ὑγείαν· ἐπί τε τῶν νοσούντων πολλὰς ἂν ἴδῃς οὔρων διαφορὰς κατὰ τὰς τῶν νοση-*

μάτων συμπιπτούσας ποιότητας, ὥστε δὴ καὶ συμπεσεῖν ἐνίοτε, ἀλόγων ζώων οὔροις ἐοικέναι τὰ τῶν μὴ καλῶς ἐχόντων ἀνθρώπων, καθαπερεὶ καί φησιν ὁ σοφὸς Ἱπποκράτης περὶ τῶν ἀνατεταραγμένων οὔρων, ὡς ἐοικότων τοῖς τῶν ὑποζυγίων. 6. Ἐγὼ δὲ δὴ καὶ βεβούλευμαι περὶ τῶν ἐπὶ συνήθεσι ζώοις τεθεωρημένων διορίσασθαι οὔρων, ἵν' ὅπως μὴ ὑπὸ τῶν τὰ τοιαῦτα ῥᾳδιουργούντων ἐξαπατώμεθα. 7. Ἀλλὰ ἐπειδὴ τὸ μὲν ἀντιπαίζειν οὕτω πρὸς τοὺς κατὰ τῆς φύσεως μωραίνοντας ἀνθρώπους ἄκαιρον ἐνομίσθη πάμπαν, σχολὴ δ' ἂν εἴη, εἴ τις πειρῷτο τὴν τέχνην δοκιμάζειν ἐντεῦθεν, καὶ ταῦτά γε συνιείς, ὡς ἐνδέχεται συμπεσεῖν τῷ εἴδει τὰ τῶν ἀλόγων ζώων τοῖς ἀνθρωπίνοις οὔροις ἐφ' οἵαις δή τισι διαθέσεσι, τὸ μὲν οὖν οὕτως ἀκαιρολογεῖν πάνυ πάρεργον ἡγησάμενος, ἀρκοῦντα δὲ προδιασημηνάμενος τοῖς πειρωμένοις παίζειν ἐν οὐ παικτοῖς, τὸν περὶ τούτων ἀφῆκα λόγον· ἑξῆς δ' ἂν εἴη δέον ἐπιέναι τῷ λόγῳ.

*Κεφ. ζ. Ὅτι οὐδὲν αὐταρκὲς τῶν σημειωτικῶν ἐς τὴν καθόλου τῶν παθῶν ἐπίσκεψιν.*

1. Τῷ τοίνυν ἀκριβῶς διαγιγνώσκειν τε καὶ προγιγνώσκειν αἱρουμένῳ τῶν παθῶν τὰ συμβαίνοντα, οὐ μόνον οὔρων ἐπισκέπτεσθαι προσήκει διαφοράς, ὅπου γε καὶ αὐτῶν μόνων ἀρκούντων εἰς τὴν τῶν λυπούντων παθῶν ἐπίσκεψιν, ἀλλὰ καὶ σφυγμῶν αὐτῶν ἅπτεσθαι καὶ διαχωρήματα καθορᾶν καὶ κίνησιν ἀναπνοῆς, ἔτι δὲ θέσιν προσώπου, καὶ τοῦ παντὸς κατάκλισιν σώματος, καὶ αὐτῆς δὴ τῆς γλώττης προσφοράς, ἵνα τὸ οἰκεῖον ἀμέσως ἐπιχορηγοῦντος ἑκάστου, καὶ μὴ ταῖς ἀλλήλων συμπαθείαις ἐπικρινομένων, ἀσφαλὴς ἀποδοθείη ἥ τε πρόγνωσις καὶ ἡ διάγνωσις. 2. Οἱ μὲν γὰρ σφυγμοὶ πρώτως τὸ ποσὸν τῆς τε θερμότητος καὶ ψυχρότητος σημανοῦσι· τὰ δ' οὖρα τό τε ποσὸν καὶ τὴν ποιότητα τῶν χυμῶν, τά τε διαχωρήματα τῆς γαστρὸς τὰς πέψεις καὶ ἀπεψίας, αἱ δὲ δὴ προφοραὶ τοῦ λόγου τὴν ἡγεμονικὴν ἐνέργειαν, αἱ δὲ ποιαὶ κατακλίσεις τοῦ σώματος καὶ τοῦ παντὸς προσώπου διαθέσεις ἄλλας[οι] σημαίνουσι, καθὼς ἐξ ἄλλων βιβλίων

ἐστὶ μαθεῖν. 3. Οὔτε οἱ σφυγμοὶ γὰρ πάντ' ἀκριβῶς παραγυμνῶσι τὰ πάθη, οὔθ' αἱ ἐπιχωρήσεις τῆς γαστρός, οὔτε τὰ οὖρα οὔτε τὰ ἄλλα, ἃ δὴ πρὸς διάγνωσιν τῶν κατεχόντων παθῶν ἐξεύρηνται· ἀλλὰ ἄλλα μᾶλλον ἑτέρων ἑτοιμότερα πρὸς τὴν τῶν παθῶν διάγνωσιν γίνεται. 4. Τῷ γε μὴν λόγῳ τῆς κοινωνίας καὶ τῇ διὰ πάντων ἀφίξει τῶν χυμῶν καὶ τοῦ πνεύματος, οὐ διαλανθάνει ῥαδίως τῶν παθῶν τὰ γινόμενα, καὶ τοσούτῳ ἐς καθολικὴν τῶν παθῶν ἐπίσκεψιν ἡ τῶν οὔρων θεωρία εὔρηται μετὰ τοὺς σφυγμούς, ὅσῳ καὶ μετὰ τὸ πνεῦμα διὰ πάντων ἡ τῶν χυμῶν οὐσία διαπεφοίτηκε. 5. Τοσοῦτο δὲ ἀσφαλέστερόν τε καὶ πρόχειρον ἡ ἐν τοῖς οὔροις μέθοδος τῆς ἐπὶ τοὺς σφυγμοὺς καθέστηκεν, ὅσον ὑπ' ὄψιν μὲν αὕτη τὸ πᾶν ἐκτίθησιν, ὑπὸ ἀφὴν δὲ ἐκείνη προστίθησι. 6. Τὸ μὲν οὖν ὄψει κρίνειν καὶ τὸ μὴ πάμπαν ἀκριβῆ τὴν γνῶσιν, ῥάδιον ἴσως, ὥστε καὶ διαγνωσθείη ἂν προχείρως τούτῳ τὰ λεγόμενα. τὸ δ' ἀφῇ σφυγμῶν τὰ πάθη διαγινώσκειν ἐθέλειν νοῦ τε δεῖ καθαροῦ καὶ εὐαισθήσεως χειρὸς καὶ προσοχῆς ἴσως ἐσχάτης, ἵν' ἀκριβῶς μετροίη τὰ τῶν κινήσεων διαστήματα καὶ τοὺς τῶν ἡσυχειῶν χρόνους, καὶ τὰς τῶν παρεμπιπτόντων πυκνότητας καὶ ἄλλ' ὅσα ἡ περὶ αὐτῶν διέξεισι πραγματεία, ἀκριβῆ μὲν ὄντα καταληφθέντα εἰς τὴν τῶν κατεχόντων παθῶν διάγνωσιν, δυσχερῆ δ' ὅμως πρὸς κατάληψιν πεφυκότα. 7. Καὶ τὸν μὲν ἀμφότερα εἰδότα βραχύ τι ἂν οἶμαι διαδράσῃ ἔς τε πρόγνωσιν καὶ διάγνωσιν, θατέρου δὲ τῷ λειπομένῳ πολλὴ ἂν ἕποιτο ἡ διαμαρτεία, οὐχ ἧττον ἐς διάγνωσιν τῆς περὶ τῶν οὔρων θεωρίας τῆς περὶ τῶν σφυγμῶν συντελούσης. 8. Ἀλλὰ ταῦτα μὲν ὧδε κείσθω. νῦν δὲ ἐπεὶ περὶ οὔρων διαφορᾶς εἰπεῖν προυθέμεθα, περὶ διαφορᾶς χρωμάτων πρώτως εἰπόντες καὶ περὶ τῶν λοιπῶν εἶθ' οὕτως γενῶν ἐροῦμεν, ὅσα δῆτα τοῖς οὔροις ἐμφαίνεται.

*Κεφ. η'. Περὶ διαφορᾶς τῶν κατὰ τὸ χῦμα χρωμάτων.*

1. Ὁπόσα τοίνυν εἴδη χρωμάτων τοῖς οὔροις ἐμφαίνεται, καθ' ἕκαστον μὲν οὐ ῥᾴδιόν ἐστι φάναι, ταῖς πολλαῖς τῶν χυμῶν συμπλοκαῖς τε καὶ πέψεσι πολλῶν καὶ

*τῶν χρωμάτων ἐπιδεικνυμένων.* 2. *Ἔνεστί γε μὴν τῶν καιριωτέρων διορισθέντων τῷ λόγῳ, ἐκ τούτων ὡς ἀπό τινων ὡρισμένων σημείων καὶ τῶν λοιπῶν καταστοχάζεσθαι χρωμάτων, μὴ διορισθέντων τῷ λόγῳ, ὀνομάτων οἰκείων ἀπορίᾳ.* 3. *Τῶν οὔρων τοίνυν τὰ μὲν λευκά, τὰ δ' ὠχρά, τὰ δὲ πυρρά, τὰ δὲ ξανθά, ἕτερα δὲ ἐρυθρά, τὰ δ' οἰνωπὰ κυανά τε ἐπὶ τούτοις καὶ χλωρὰ καὶ μέλαινα φαίνεται, οὐκ ἐν τούτοις τῶν πάντων ἀπαρτιζομένων χρωμάτων, ἀλλ' ἐκ τούτων καὶ ἐμμέσων τε καὶ παραμέσων ὡς πλειόνων ἐντεῦθεν ἐπισυνηγμένων χρωμάτων.* 4. *Τῶν οὖν λευκῶν οὔρων τὰ μὲν κρυσταλλοειδῆ, τὰ δὲ χιονοειδῆ, τὰ δὲ ὡς ἀκραιφνὲς ὕδωρ πέφυκε, καὶ ταῦτα μὲν ἐσχάτης ἂν εἴη λευκότητος.* 5. *Ἐπεὶ δὲ τάς τε ἐπιτάσεις καὶ τὰς ὑφέσεις ἐπιδέχεται τὰ γενικὰ τῶν χρωμάτων, τὰ δὲ δὴ ῥηθέντα ἐπιτεταμένης ἂν εἴη λευκότητος, ἐπὶ τούτοις προσθῶμεν τῷ λόγῳ καὶ ὅσα δῆτα ὑφειμένης λευκότητος πέφυκεν.* 6. *Ἐπειδὰν τοίνυν τῆς ἄκρας λευκότητος ὑφίηται ἡ χροία, τὸ γαλακτῶδες οὕτω καλούμενον ἀπὸ τοῦ ἐοικέναι γάλακτι παρασκευάζει κρεῖττον μὲν ὂν τοῦ τε ὑδατώδους και κρυσταλλοειδοῦς, τοῦ δ' αὖ γλαυκοῦ τόσον λειπόμενον.* 7. *Αὐτὸ γὰρ ἴσως μετὰ τὸ γαλακτῶδες, ὅσον τὸ χαροπὸν ἐκπέφευγε τοῦ γλαυκοῦ τὴν λευκότητα, καὶ γλαυκὸν μὲν πέφυκεν οἷον τὸ διαυγές ἐστι κέρας, χαροπὸν δέ, ὃ καμήλων ὑπολεύκοις ἐρίοις ἔοικεν, εἴτ' οὖν ὀνυχίτῃ οὕτω πως καλουμένῳ λίθῳ.* 8. *Ἀλλ' ἐπειδάν τινα βαφὴν τὰ οὖρα δέξηται τὸ πολὺ τῆς ἀπεψίας ἐκπεφευγότα, ὕπωχρα μὲν τὰ πρῶτα γίνεται, προϊόντα δὲ καὶ ὠχρά, ἀλλὰ τὰ μὲν μετρίως ζεσάσης χυμένης χυλῷ ἔῳκει, ἐκεῖνα δ' αὖ καὶ πάνυ ζεσάσης, εἰ δέ γε βούλοιο καὶ οἷον τὸ ἀπὸ τῆς ῥοιᾶς τοῦ φλοιοῦ τε καὶ περικάρπου ζέσαντος ἐκείνως ὑγρὸν νόμισον.* 9. *Οὐ διοίσομαι γὰρ τῶν τε χυλῶν πολλῷ ἐοικότων καὶ τοῦ τῆς ὠχρότητος ὀνόματος, μὴ διαπεφευγότος τῇ συνηθείᾳ τοὺς πλείστους.* 10. *Εἴ γε μὴν καὶ τῆς οὕτω πως καλουμένης ὠχρᾶς μέτριον προσεμβάλῃς χυμῷ ὀρρώδει, ὕπωχρα ποιήσεις τὰ χρώματα πλέον δὲ προσεμβαλὼν τῆς ὠχρᾶς, καὶ ὠχρὰ τὰ χρώματα καταστήσεις ἀφ' ἑτέρων θάτερα προσονομασθέντα.*

11. *Ἐπειδὰν μέντοι πλείονι ἐπιχρώσῃ βαφῇ τὴν ὠχρότητα, τῆς πέψεως προχωρούσης, τὰ ὑπόπυρρα τῶν οὔρων, ἃ δὴ καὶ σύμμετρα ὁ λόγος οἶδε, κατασκευάζονται, μὴ πάμπαν ἀκιβδήλῳ προσεοικότα χρυσῷ.* 12. *Τὸ δ' ἐπὶ τούτοις οὖρον πυρρὸν καλούμενον μᾶλλον εὐροίζῳ καὶ καθαρῷ χρυσίῳ ἐῴκει.* 13. *Μάθοις δ' ἂν ἴσως τοῦτο τοῖς τῶν πλουσίων παρακόψας ταμείοις, εἰ μὴ παρά σοι χρυσὸς καθαρὸς καθέστηκεν.* 14. *Ὑπόξανθον μετὰ ταῦτα κνίκῳ τὴν χροιὰν ἐοικός. Καὶ ἴσασιν οἱ πολλοὶ τὸ τοῦ φυτοῦ κνίκου ἄνθος, οἶμαι, ὅπερ ὡς ὑποπεπτωκός ἐστι τῇ χροιᾷ τοῦ ἄνθους τοῦ κρόκου, ὥστε ἐκεῖθεν δεῖ συλλογίζεσθαι περὶ ὑποξάνθου χρώματος.* 15. *Τό γε μὴν ἀκριβῶς ξανθὸν κατὰ μηδέν τι διενηνοχὸς φαίνεται τοῦ Κωρυκείου κρόκου, τοῦ ἐπ' ἄλλοις τόποις τούτου διενεγκότος τῇ τοῦ χρώματος ἀκριβείᾳ.* 16. *Ἀλλ' ἵνα μή τι πάθῃς ἀνθρώπινον πολὺ διενεγκόντα τοῦτον οἰηθεὶς τῷ χρώματι τῶν λοιπῶν τῷ ξένῳ τοῦ ὀνόματος, ἐγώ σοι τὸν ἀπὸ τοῦ Ἄθω παραθήσω κομιζόμενον καὶ τῷ ἐκείνου στοίχει χρώματι, πλὴν οὐχὶ τοῖς φαινομένοις ἔν τε κνίκῳ καὶ κρόκῳ δεῖ σε προσέχειν χρώμασιν, ἐπεὶ πολλῷ ἂν διαμάρτῃς τοῦ δέοντος. ὑπέρυθρα γὰρ καὶ ἐρυθρὰ ἤδη τὰ ἐκείνων χρώματα πέφυκεν, ἀλλὰ τοῖς ἐξ ἐκείνων ὑγρῷ λυομένων χρώμασι.* 17. *Μετὰ ταῦτα τὸ ὑπέρυθρον καὶ ἐρυθρὸν τοῦ χρώματος πέφυκεν, οἷς δῆτα ἀρκέσει μὲν ἐς παράστασιν καὶ τὰ φαινόμενα, καθάπερ εἴρηται, χρώματα τοῦ τε κνίκου καὶ κρόκου. μάθοις δ' ἂν τῇ τε Ἀρμενίῳ βώλῳ καὶ τῇ Λημνίᾳ σφραγίτιδι τὰ ὑπέρυθρα προβάλλων.* 18. *Τὰ δ' ἐρυθρὰ καὶ φοινικᾶ τοῦ χρώματος τῶν ὀπωρῶν ταῖς ἐρυθρὰ προβαλλομέναις χρώματα κεράσοις δηλονότι καὶ μήλοις καί τισι παραπλησίοις, ὧν τῇ τελειότητι τῆς ἐπιφανείας καὶ τῇ πέψει καὶ τὰ χρώματα διενεγκεῖν δοκοῦσι.* 19. *Τὸ οἰνωπὸν ἐπὶ τούτοις ἀπό τε τῶν μελαντέρων οἴνων τοὔνομα ἐσχηκὸς καὶ οἷον πεφυκὸς τὸ χρῶμα τοῦ ἥπατος, ὥστ' ἐντεῦθεν δεῖ τὸν συνετὸν λογιζόμενον πολλάκις μὲν ἧπαρ ἑωρακότα ζῴου ἀλόγου εἰ μὴ ἀνθρώπου, πολλάκις δ' ἐπιπίοντα τοιοῦτον οἶνον, εἴτ' οὖν ἑωρακότα τὸν περὶ τοῦ οἰνωποῦ χρώματος λογίζεσθαι λόγον.*

20. Μέμνημαι γὰρ καὶ ἔγωγε τοιοῦτον ἐν ἀγορᾷ πολλάκις ἑωρακὼς ἀπ' ἐμπόρων κομιζόμενον οἶνον, ὃς ἐπὶ τοσούτῳ κέχρωται τῷ οἰνωπῷ τοῦ χρώματος, ὥστε τοῖς μὲν ἀγγείοις, οἷς κεκόμιστο, τοῦ οἰκείου μετεδίδου χρώματος· βραχὺς δὲ ὕδατι πολλῷ μιγνύμενος ἔτι ἐρυθρὸς τῷ χρώματι διεφαίνετο. 21. Τό γε μὴν κυανοῦν τοῦ χρώματος ἐξ ἐπιταθέντος μὲν οἰνωποῦ γέγονεν ἴσως, μάλιστα δ' ἐῴκει σειραίῳ, ὃ δὴ καὶ ἕψημα ὁ λόγος οἶδε. 22. Τοῦτο δὲ πέφυκε τοιοῦτον, ἐπειδή τινες ἀμφιγνοήσαιεν ἂν ἔτι τοῦτο, τὸ ἀπὸ γλεύκους ἐς ἀποτρίτωσιν ἑψημένου γινόμενον. προσεπιθείης δὲ τῇ σαφηνείᾳ τοῦ χρώματος καὶ τὸ τοῦ κάρπου τῆς κεράσου, ὃ δὴ μάλιστα πρὸς τὸ μελάντερον ἐπινένευκεν. 23. Ἐπεὶ δὲ καὶ τὸν περὶ κυανοῦ χρώματος ἱκανῶς ἔχεις λόγον, καὶ περὶ τῶν λοιπῶν νῦν μάνθανε· τὸ τοίνυν φαιὸν ἐπίδηλον οἶμαι γεγονέναι τοῖς πᾶσιν ἐξ ἀκράτου λευκοῦ καὶ μέλανος συγκραθέν. 24. Εἰ δὲ καὶ τῇ αἰσθήσει τοῦτο μαθεῖν ἐθέλεις, ψιμμίθιον ἢ λευκὴν πάνυ τίτανον ἤ τι παραπλησίων μελανί τε καὶ πίσσῃ καὶ ἀσφάλτῳ καὶ τισιν ἀκράτοις μέλασιν ἑνώσας χρώμασιν ἰσοστάθμοις, τὸ φαιὸν ἂν ὧδε γνοίης χρῶμα γινόμενον. 25. Ἀλλὰ δὴ περὶ χλωρῶν ὧδ' εἰρηκότες πρῶτον καὶ ἐλαιωδῶν, περὶ πελιδνῶν εἶθ' οὕτως καὶ μελανῶν ἐροῦμεν. 26. Τῶν τοίνυν χλωρῶν χρωμάτων τὰ μὲν κραμβίζοντά εἰσι, τὰ δ' αὖ χλοάζοντα, ἰώδη τε καὶ σμαραγδίζοντα, ὥστ' ἐξ ὧν παρωνομάσθησαν, ταῦτα δὴ καὶ μανθάνειν τοῖς ἐκείνων χρώμασι, ταῦτα δὴ παραβάλλοντα. 27. Ἀλλὰ δὴ καὶ τῶν ἐλαιωδῶν οὕτω κοινῷ τῷ γένει καλουμένων οὔρων τὰ μὲν ἐλαιοφανῆ, τὰ δὲ ἐλαιόχροα, τὰ δ' ἐλαιώδη ὁμωνύμως τῷ κοινῷ λέγεται γένει. 28. Τούτων δὲ τῶν τριῶν τοῦ μὲν πρώτου ἔτι ἀμφισβητεῖται τὸ χρῶμα, εἴθ' ὑδατῶδες ἢ ἐλαιῶδες εἴη τῇ τοῦ χρωννύντος τοῦτο λεπτότητι· τοῦ δὲ δευτέρου ἤδη ἐπίδηλον ὡς ἤδη τὴν χροιὰν ἐπιτείναντος· ὃ δ' ἐλαιῶδες ὁ λόγος ὥρισε, τῇ τοῦ ἐλαίου μάλιστα προσέοικε χροιᾷ, πλὴν οὐχὶ τῶν παχέων τούτων καὶ τῷ χρώματι ἐπιτεταμένων, ἀλλὰ τῶν μάλιστα λεπτῶν. ἐκεῖνα γὰρ τοῖς ὑπὸ τὸ χλωρὸν ἁρμόζει μᾶλλον εἴδεσιν. 29. Ἐπεὶ δ' ἱκανῶς καὶ τὸν περὶ χλωρῶν καὶ ἐλαιωδῶν

οὔρων ἐν διαφοραῖς ἐξεθέμεθα λόγον, ἑξῆς ἐπὶ τῶν πελιδνῶν τῷ λόγῳ ἴωμεν καὶ μελάνων φαινομένων οὔρων. 30. Τὸ τοίνυν πελιδνὸν τοῦ χρώματος μολιβδόχρουν μὲν ἂν εἴπῃ τις σαφηνίζων τὸν λόγον, ὥστε ἐκεῖθεν δεῖ καὶ περὶ τούτων στοχάζεσθαι. 31. Τοσούτῳ δὲ προσνένευκε τῷ μέλανι χρώματι, ὅσον, οἶμαι, λέλειπται τοῦ φαιοῦ, ὥστε καὶ εἰ διπλασίῳ λόγον ἕξει, τὰ μέλανα πρὸς τὰ λευκὰ χρώματα, τῇ συνθήκῃ, ἂν πελιδνὰ ἐντεῦθεν ὀφθείη χρώματα, καὶ πελιδνὰ τοιαῦτ' ἂν εἴη. 32. Μέλανα δὲ οὐδεὶς ἂν ἀγνοήσῃ χρώματα πᾶσιν ἔκδηλα γεγονότα. προσήκει τοίνυν ἐντεῦθεν τῷ περὶ τὰ τοιαῦτα σπουδαίῳ ἐπινοῆσαι μὲν τὰ ῥηθέντα χρώματα καὶ τοῖς πλαξὶν ἐγγράψαι τῆς διανοίας, οὐκ ὀλίγων ἐπ' αὐτοῖς ῥηθησομένων διαγνώσεων τε καὶ προγνώσεων. 33. Προσεπινοῆσαι δὲ τῷ λόγῳ δεῖ καὶ ἃ τῶν χρωμάτων μὴ διώρισται τῷ ἐξαπορῆσαι οἰκείων ὀνομάτων, ἤτοι ἐξυδαρωθέντα ἢ ἐπιταθέντα ἀπὸ τῶν ὁρισθέντων τούτων χρωμάτων, ὥστε ἂν εἴ τις ἀκριβῶς ταῦτα γνοίη, ῥᾳδίως καὶ τὰ διαπεπτωκότα τῶν ὡρισμένων τούτων χρωμάτων δι' οἱονδήτινα καταγνοίη λόγον. 34. Οὐκοῦν οὐκ ἐπὶ πλέον προσανέχειν τῷ περὶ διαφορᾶς χρωμάτων προσήκει λόγῳ, ἱκανῶς ἐνταῦθα πρὸς συνετοὺς τῶν πάντων διωρισμένων. 35. Τοῖς γὰρ δή τοι μέρος παιδιᾶς τὰ τῇ τέχνῃ τιθεμένοις σπουδαῖα, οὐδ' ἂν πάντα τις συνελών, πολλάκις φαίη τὰ ἐνδεχόμενα συνίστασθαι χρώματα, πρὸς ἀποχρῶσαν τούτοις διδασκαλίαν ἀρκέσειε. καὶ ὁ μὲν περὶ διαφορᾶς χρωμάτων οὔρων λόγος ὧδέ πη κείσθω. ἐνταῦθα δὲ προσήκει φάναι καὶ περὶ διαφορᾶς τῶν ἐπὶ τῷ χύματι συνισταμένων συστάσεων.

### Κεφ. θ'. Περὶ διαφορᾶς τῶν κατὰ τὸ χύμα συστάσεων.

1. Τὰ τοίνυν οὖρα ταῖς ἀμίσι διουρηθέντα πάντα μὲν μικροῦ δεῖν λεπτὰ φαίνεται θερμὰ ἔτι ὄντα· τὸ γάρ τοι φυσικὸν θερμόν, ἐπικρατοῦν ἔτι, οὐκ ἐᾷ τὸ χύμα συνιέναι τε καὶ παχυνθῆναι δι' οἱανδήτινα ἡγησαμένην πρόφασιν. 2. Τοῦ θερμοῦ δ' ἤδη διασκεδασθέντος, ἔνια μὲν αὐτῶν παχύνεται τάχιστα, ἔνια δὲ βραδέως, ὥσπερ ποτὲ ἕτερα παχέα διουρεῖται· ἔνια δ' αὖ, οἷα οὐρήθῃ, μέ-

νει. 3. Τῶν δὲ παχυνθέντων ἔνια μὲν καθίστανται, ἔνια δ' αὖ, οἷα ἀπ' ἀρχῆς παχέα γέγονεν, ἀδιάκριτα μένει. 4. Ἀλλὰ τῶν μὲν τοιούτων παχέων τὰ μὲν μετρίως πάνυ πεπάχυνται, θολερὰ οἷον τυγχάνοντα, τὰ δ' ἔτι πλέον, τὰ δ' ἔτι πλεῖστον, καὶ δεῖ καὶ τὴν ἐπὶ τούτοις συνιέναι διαφοράν. 5. Τῶν δὲ δὴ καθισταμένων τὰ μὲν τὸ παχύτερον ἐπὶ τὸν πυθμένα ἐπισυναγαγόντα καὶ ταῦτα ἔτι παχέα μένει, ἢ τεθολωμένα ἢ καὶ σύμμετρα καὶ λεπτὰ γίνεται, τοῦ παντὸς ἐπὶ τὸν πυθμένα πάχους χωροῦντος, ὥστε δεῖ τὰς ἐπὶ τούτοις διαφορὰς ἀκριβῶς ἐκμανθάνειν, οὐκ ὀλίγα συνοισούσας τοῖς περὶ διαγνώσεώς τε καὶ προγνώσεως λόγοις. 6. Ὡσαύτως δὲ δεῖ κἀπὶ τῶν λεπτῶν ἐκμανθάνειν, ὡς οὐ πάντα τῇ αὐτῇ λεπτότητι συνίστανται, ἀλλὰ τὰ μὲν καὶ πάνυ λεπτότατα πέφυκεν, οὐδέν τι τοῦ διειδεστάτου διενεγκότα ὕδατος, τὰ δὲ τοιαύτης διαπέπτωκε συστάσεως, ἔτι καὶ αὐτὰ λεπτὰ τυγχάνοντα, ἕτερα δὲ προσενένευκε τῷ τῇ συστάσει συμμέτρῳ οὔρῳ. 7. Ἀλλ' ὁ μὲν περὶ διαφορᾶς συστάσεως οὔρων λόγος ἱκανὸς ἂν ἐντεῦθεν νομισθείη λελέχθαι.

Κεφ. ι'. Πρὸς τοὺς τῷ θύραθεν μόνῳ καταστήματι τὴν τοῦ πάχους τῶν οὔρων αἰτίαν προσάπτοντας.

1. Ἐπεὶ δέ τινες τῶν ἀπαιδεύτων περὶ τὰς τῶν οὔρων κρίσεις τὰ παχέα τῶν οὔρων οὐκ ἰδιότητί τινι διαθέσεων τῶν αὐτοῖς ἁρμοζουσῶν συμβαίνειν οἴονται, ἀλλὰ τῷ θύραθεν ψυχρῷ καταστήματι καὶ μάλιστα ὁπότ' ἐνορῷεν λεπτὰ μὲν διουρηθέντα, μετ' οὐ πολὺ δὲ παχυνόμενα, καὶ πρὸς αὐτοὺς τὸν λόγον τρεπτέον καὶ τὴν σφων ἀπάτην ἀποδεικτέον. 2. Οἴδε γὰρ τῇ τοῦ θερμοῦ ἀποχωρήσει οἴονται τὸ θύραθεν ἐπικρατοῦν ψυχρὸν ταῦτα παχύνειν. τοῦτο δὲ τοσοῦτον λείπεται εἰς ἀλήθειαν, ὥστε καὶ ἀπὸ τῶν ὁσημέραι φαινομένων ἔστι μαθεῖν αὐτῶν τὴν ἄγνοιαν, ἀεὶ μὲν δηλονότι τῶν οὔρων τῷ θύραθεν προσομιλούντων ψυχρῷ ἀέρι, μὴ πάντοτε δὲ παχυνομένων. 3. Ἔπειτα εἰκὸς μὲν ἐνίοτε τὰ οὖρα παχυνθῆναι, ὁπόταν δηλαδὴ τὸ μὲν περιέχον ᾖ πάνυ κρυμνῶδες, τὰ δ' οὖρα ἐν ὑπαίθρῳ διανυκτερεύσωσι, καὶ παγείη ἂν ἴσως

ταῦτα μᾶλλον ἢ παχυνθείη. 4. Ἔπειτα εἰ διὰ τὸ προστυχὸν κρύος παχυνθείη, διὰ θαλπωρὴν τοῦ περιέχοντος λεπτυνθείη ἄν. 5. Ἀλλὰ μὴν ἔστιν ἰδεῖν κἂν χειμῶνι οὖρα λεπτότατα, κἂν μὴ τῷ θύραθεν ἐκνικώμεθα ψύχει, κἂν τῷ θέρει παχύτατα μηδὲν ἐνταῦθα τοῦ θερμοῦ διαλύοντος. 6. Εἶτα τί ποτ' ἄρ' ἂν καὶ φαῖεν οἱ σεμνοὶ τῶν οὔρων ἐπόπται, ὁπόταν νῦν μὲν οὖρον λεπτὸν θεάσωνται, τὴν δὲ ἐπιοῦσαν παχυνθέν, τοῦ αὐτοῦ δὴ κἂν ἀμφοτέροις καταστήματος γεγονότος; 7. Πῶς δ' ἂν καὶ προγνοῖεν, ὅτι ποτὲ βούλεται ἡ μεταβολή, κἀπὶ ποίοις αἰτίοις γέγονεν; ἐμοὶ δοκεῖ πολλ' ἂν σφαλεῖεν τἀληθοῦς ἀποπεπτωκότες. 8. Τίσι δ' ἂν σημείοις ἐν τοῖς οὔροις πλῆθος χυμῶν ἢ πάχος ἢ πέψεως ἀρχὴν γνοῖεν, μηδὲν ἔχοντες ἐπὶ παχέσιν οὔροις κρίνειν τὸ σύνολον; ἔπειτα τὸν σφῶν αὐτῶν λόγον συνιστᾶν πειρώμενοι θερμοῖς τισιν ὕδασι τὴν ἀμίδα καθιᾶσι καὶ πως ὁμιλήσασαν πρὸς βραχὺ δεικνύουσι λεπτυνθεῖσαν, μὴ συνιέναι ἔχοντες, ὡς οὐχ ἧττον τοῦ φυσικοῦ τὸ τεχνικὸν θερμὸν τὰ οὖρα διαλύειν πέφυκεν, εἴ τί που πάχος σχοῖεν, ἀλλὰ οὐδὲν τοῦτο πρὸς ἀποχρῶσαν αὐτοῖς ἀπολογίαν πέφυκεν, ἔτι δυοῖν ἀμίδοιν τῷ αὐτῷ προσομιλούσοιν ἀέρι καὶ τῆς μὲν παχυνομένης, τῆς δ' ἑτέρας, ὡς εἶχεν, ἐπιφαινομένης. 9. Ἔτι τίνα ἄν τις αἰτίαν ἀποδοίη, εἰ μὴ ἣν νῦν ἡμεῖς ἐροῦμεν ἐν οἰκείοις τόποις. 10. Εἰ γάρ τοι τὴν τοῦ περιέχοντος ψυχρότητα αἰτιάσονται, δέδοικα μὴ ἁλῶσιν ἀπατηθέντες, τῆς ἑτέρας ἀμίδος λεπτῆς μενούσης· ἀλλ' αὐτοῖς μὲν ἀρκούσης ἴσως τῆς ἀπαιδευσίας εἰς ἔλεγχος ἱκανὴν ἂν δόξῃ καὶ τὸ ῥηθέν· ἡμεῖς δὲ τῶν ἑξῆς ἐχόμενοι λέγωμεν. 11. Ἐπειδὴ τοίνυν δέδεικται τὰ μὲν τῶν οὔρων διατελεῖν παχέα, τὰ δ' αὖ λεπτά, ἐκεῖνα δὲ σύμμετρα, ἐπιδιείλομεν δὲ καὶ ταῦτα ὡς ἐνεδέχετο, νῦν ἂν προσῆκον εἴη περὶ διαφορᾶς τῶν ἐν τοῖς οὔροις παρυφισταμένων φάναι.

### Κεφ. ια'. Περὶ διαφορᾶς χρωμάτων τῶν παρυφισταμένων.

1. Τῶν τοίνυν κατὰ φύσιν παρυφισταμένων, λευκῶν μὲν ὄντων καὶ ὁμαλῶν καὶ προσέτι τῇ συστάσει συμμέτρων καὶ πρὸς τὸν πυθμένα χωρούντων, ἡ κατὰ φύσιν

*τρίτη πέψις τελεῖται.* 2. *Ἐπειδὰν δ' εἴθ' ὑπερβάλλοι ταῦτα, εἴτε ἐλλείποι τῶν κατὰ φύσιν τούτων γνωρισμάτων, καὶ τὴν ὑγείαν παρατετράφθαι δηλοῖ* 3. *Ῥητέον τοίνυν ὧδε περὶ τῶν ἐνδεχομένων τούτοις φαίνεσθαι χρωμάτων, εἴθ' οὕτως καὶ τῶν ἑξῆς κατὰ τὸν αὐτοῖς ἀνήκοντα λόγον.* 4. *Τῶν τοίνυν παρυφισταμένων τὰ χρώματα τὰ μὲν σύμμετρα καὶ κατὰ φύσιν ὑπόλευκα, τὰ δὲ ἐκπίπτοντα τοῦ τοιούτου συμμέτρου παρυφισταμένου, ὧν τὰ μὲν ἐπιτέταται τῇ λευκότητι, τὰ δ' ἤδη ὕπωχρα καὶ ὠχρὰ φαίνεται· τὰ δὲ καὶ προχωροῦντα ἔτι χρώννυται, χολώδη τε φαινόμενα καὶ ὀροβοειδῆ, ὑπέρυθρά τε καὶ ἐρυθρὰ καὶ πρὸς τούτοις δίαιμά τε καὶ ὀρφνώδη φαιά τε δὴ καὶ μέλανα.* 5. *Ταῦτα καὶ τὰ τοιαῦτα τῶν παρυφισταμένων πέφυκε χρώματα κἀκ τούτων δεῖ σκοπεῖν καὶ περὶ τῶν μὴ ῥηθέντων, ἐμπεριεχομένων μέντοι, καθὼς ἐν τοῖς περὶ διαφορᾶς χρωμάτων προλαβόντες ἤδη ἔφημεν τοῦ χύματος, ἀλλ' ὁ μὲν περὶ διαφορᾶς χρωμάτων τῶν παρυφισταμένων, ὡς ἐν βραχεῖ φάναι, λόγος δὴ τοιοῦτός ἐστι· νῦν δὲ περὶ συστάσεως ἐροῦμεν.*

### *Κεφ. ιβ'. Περὶ διαφορᾶς συστάσεων τῶν παρυφισταμένων.*

1. *Τὸ τοίνυν σύμμετρον τῆς τοῦ παρυφισταμένου συστάσεως ὁποῖον μέν ἐστιν ἡ πεῖρα δείκνυσιν· ἵνα δὲ καὶ τῷ λόγῳ εἴη διωρισμένον, οὕτως πώς φαμεν περὶ συστάσεως συμμέτρου τοῦ παρυφισταμένου.* 2. *Τὸ σύμμετρον τῇ συστάσει παρυφιστάμενον παχύτερον μὲν πάντως πέφυκε τοῦ χύματος.* 3. *Διὰ γὰρ τοῦτο καὶ ἐπίδηλον τῇ ὄψει ῥαδίως πέφυκε, μὴ ὡσαύτως αὐτὸ τῷ χύματι τῆς ὄψεως διαπεραιουμένης, ἀλλὰ πρώταις μὲν ἐπιβολαῖς αὐτοῦ ἀναπαυομένης τῇ περιοράσει δὲ καὶ τοῦτο διαπεραιουμένης.* 4. *Ἐπεὶ τοίνυν τὸν περὶ συμμέτρου συστάσεως τοῦ χύματος ἀκήκοας λόγον, ἔξεστί σοι ὥσπερ ἀπὸ ἀσφαλοῦς ἠργένῳ σημείου τά τε λεπτὰ καὶ τὰ παχέα ἔχειν τῶν παρυφισταμένων εἰδέναι, πλὴν ἀλλὰ καὶ ἡμῶν ῥηθείη ἂν ὧδε τὰ δέοντα.* 5. *Τῶν τοίνυν λεπτῶν παρυφισταμένων, ὅσα μᾶλλον συγκοινωνεῖ τοῦ χρώματος τῷ χύματι, ἧττον διαφαίνεται τῶν ἀφισταμένων μᾶλλον τοῦ χρώμα-*

*τος τοῦ χύματος, ὥστε δὴ καὶ τοῦτο δεῖ προδιωρίσθαι τῷ λόγῳ.* 6. *Τούτων δὲ τὰ μὲν βραχύ τι διαπέπτωκε τοῦ συμμέτρου, τὰ δ' ἐπὶ πλέον, ἃ δὴ καὶ οὐ ῥαδίως ἄν τις ὁρῴη, τὰ δὲ ἐπὶ πλεῖστον, ἃ μόλις ἂν ἀκτῖνα τοῦ ἡλίου διὰ τῆς ἀμίδος διαβιβάσας ἴδοι.* 7. *Τῶν δὲ ἐπὶ πάχος ἀπὸ τοῦ συμμέτρου χωρούντων παρυφισταμένων τὰ μὲν μετρίως φαίνεται παχύτερα, ὥστε μὴ ῥαδίως ἤδη ταῦτα τὴν ὄψιν διαπερᾶν, τὰ δ' ἐπιπλέον, ὥστε τὴν μὲν ὄψιν αὐτοῖς ἀναπαύεσθαι, τῷ δὲ λόγῳ καὶ πλέον τι τούτου πάχος οἴεσθαι· τὰ δ' αὖ ἐπὶ πλεῖστον, οὐχ ἧττον τῆς ὄψεως ἐπαναπαυομένου τοῦ λόγου. οὐ γάρ τοι οἷόν τε πλέον ἐκείνου πάχος ἐν τοῖς παρυφισταμένοις οἰηθῆναι τῷ λόγῳ, ἤδη κατὰ σύστασιν τῷ πύῳ ἐοικόσιν.* 8. *Ἰστέον μέντοι καὶ τούτῳ τῷ λόγῳ, ὡς περὶ παντοίων νῦν φαμεν προϋφισταμένων, κἄν τε τῆς τρίτης εἴη ταῦτα δηλονότι πέψεως περιττώματα, κἄν τε χυμῶν ὠμῶν κόμματα, κἄν τε πύα τε καὶ τῶν ἐντὸς ἀγγείων τεμάχια.* 9. *Τὰς γάρ τοι διαγνώσεις αὐτῶν ἐν οἰκείοις λόγοις, τοῦ θεοῦ διδόντος, ἀποδώσομεν. νῦν δὲ τῶν ἑξῆς ἐχόμενοι καθ' εἱρμὸν λέγωμεν.*

10. *Τοῦ τοίνυν διαστήματος τοῦ χύματος τριχῇ διῃρημένου, εἴς τε πυθμένα δηλονότι τῆς ἀμίδος καὶ ἐπιφάνειαν καὶ τὸ τῶν ἀμφοτέρων τούτων περάτων μέσον, τὰ μὲν πρὸς τὸν πυθμένα τῆς ἀμίδος χωροῦντα παρυφιστάμενα ὑποστάσεις ἔφασαν οἱ περὶ τὰ τοιαῦτα σοφοί, ἀπὸ τοῦ ὑφίστασθαι δηλονότι, τῆς ὑπὸ προθέσεως δεδηλωκυίας τὴν κάτω σχέσιν, ὅσα δὲ χωρεῖ πρὸς τὸ τοῦ παντὸς διαστήματος μέσον, ἐναιωρήματα, ἀπὸ τῆς αἰώρας, οἶμαι, τῶν ἀμφοτέρων, ὡς ἴσμεν, ἀφεστηκυίας περάτων, ὅσα δ' αὖ πρὸς αὐτὴν χωρεῖ τὴν ἐπιφάνειαν, νεφέλας καὶ ἀπογείους οὔσας, ἀνάλογον τῇ γῇ τιθέντες τὸν τῆς ἀμίδος πυθμένα, ἐπεὶ καὶ πρὸς αὐτὸν χωρεῖ τὰ βαρύτερα τὸν πυθμένα, κοινῷ δὲ ταῦτα ἅπαντα καὶ γενικῷ ὀνόματι παρυφιστάμενα λέγεται ἀπὸ τοῦ ὁπουδήποτε τοῦ χύματος παρυφίστασθαι, καὶ οὕτω μὲν περὶ τοῦτό που τοῦ παρυφισταμένου λόγου διεῖλον πάλαι ἰατρῶν παῖδες, ἀρχὰς ὥσπερ τῶν ἐν ἰατρικῇ θεωρημάτων*

*τιθέμενοι. Ἔξεστι δὲ καὶ οὕτως ἐπιδιελεῖν τὸν λόγον οὐκ ὀλίγα εἴς τε πρόγνωσιν συνοίσοντα καὶ διάγνωσιν.*

*Κεφ. ιγ΄. Περὶ διαφορᾶς τόπων τῶν παρυφισταμένων.*

*1. Τῶν τοίνυν ὑποστάσεων — χρηστέον γὰρ ὧδε τοῖς τεθεῖσιν ὀνόμασιν — αἱ μὲν τὸν ἄμεμπτον κατειληφυῖαι τόπον οὔτε πάντῃ ἅπτονται τοῦ τῆς ἀμίδος πυθμένος, οὔτ᾿ αὖ ἀφίστανται· αἱ δέ γε τὸν οἰκεῖόν τε καὶ ἄμεμπτον ἐκλελοιπυῖαι τόπον καὶ αὗται ἐπιδιαιροῦνται τῷ λόγῳ. 2. Αἱ μὲν γὰρ αὐτῶν προσέχονται πρὸς τὸν πυθμένα πάντῃ, αἱ δ᾿ αὖ βραχύ τι τοῦ πυθμένος καὶ πλέον τοῦ προσήκοντος αὐτοῖς ἀφίστανται, φεύγειν ὥσπερ πειρώμεναι τὸν ὡρισθέντα τόπον ταῖς ὑποστάσεσι. 3. Τῶν δὲ ἐναιωρημάτων ὅσα μὲν τὸν ἀκριβῶς μέσον τοῦ παντὸς ἀπείληφε διαστήματος τόπον, τὸν ἀκριβῆ τῶν ἐναιωρημάτων εἴληφε λόγον· ὅσα δ᾿ εἴθ᾿ ὑποβέβηκεν ἢ ὑπερῆρται, ἐναιωρήματα μὲν ἂν καὶ ταῦτα κληθείη τῇ τῶν ὀνομάτων καταχρήσει, ἐπεὶ καὶ τῶν περάτων ἀμφοτέρων ἀφέστηκεν. 4. Οὐκ ὀλίγα δὲ καὶ ταῦτα εἴωθε λυσιτελεῖν τῇ περὶ οὔρων πραγματείᾳ οὕτω διοριζόμενα, ὥστε τρεῖς δεῖ καὶ τοὺς ἐπὶ τῶν ἐναιωρημάτων οἴεσθαι τόπους. 5. Τῶν δὲ νεφελῶν αἱ μὲν βραχύ τι δέουσι τῆς ἐπιφανείας, αἱ δ᾿ αὖ ἤδη πρὸς αὐτῇ τῇ ἐπιφανείᾳ νήχονται. 6. Ἐπεὶ δὲ καὶ τρίτου ταύταις τόπου ἐδέησεν, ἐπεὶ μὴ ἐνεδέχετο καὶ περαιτέρω χωρεῖν ἐπιλείποντος τοῦ χύματος — ἀνάγκης ὥσπερ ἡγησαμένης ἀντιστραφεῖσαι αὐτῷ δὴ τῷ πυθμένι προσεπεφύκεσαν κατὰ κράτος, οἱονεὶ πειρώμεναι καὶ τὸν μεταξὺ αὐτῶν καὶ τῆς ἐπιφανείας τοῦ τῆς ἀμίδος πυθμένος τόπον ἐξαφανίσαι, οὕτως ἀκριβῶς περάσασαι τοῦ χύματος τὸ διάστημα προίσχονται τῇ ἀμίδι, ὥσπερ τοὺς πολύποδας ἐν ταῖς πέτραις ἀκριβῶς φασιν ἔχεσθαι. 7. Ἐπεὶ τοίνυν δέδεικται, τρεῖς μὲν τοὺς γενικωτέρους τόπους τῶν παρυφισταμένων τυγχάνειν, εἰς τρεῖς δὲ ἕκαστον ἐπιδιείλομεν τόπους, ὡς ἐντὸς τῶν δέκα λειπομένους τυγχάνειν πάντας, τούτους δεῖ μανθάνειν ἀκριβῶς τὰ μάλιστα συνοίσοντας. 8. Ἵνα δ᾿ ἀκριβῶς εἰδῇς τὸν λόγον τοῦτον, ἐπὶ παραδείγματος ὧδί παραθήσω. 9. Νόσον*

μοι διάστημα ὡσεὶ ἕνδεκα δακτύλων ἢ πήχεων ἢ παλαιστῶν ἢ ὅτι καὶ βούλει καὶ τέσσαρας μὲν λόγισαι ἐπὶ τῷ ἐνδεχομένῳ τόπῳ ταῖς ὑποστάσεσιν, ἕνα δὲ ἐπὶ τῷ πέρατι μὲν τῶν ὑποστάσεων, ἀρχῇ δὲ τῶν ἐναιωρημάτων, ὥσπερ καὶ ἕτερον μὲν ἐπὶ τῷ πέρατι τῶν ἐναιωρημάτων, ἀρχῇ δὲ τῶν νεφελῶν· τρεῖς δ' αὖ ἐπὶ τῷ τόπῳ τῶν ἐναιωρημάτων· δύο δ' αὖ ἐπὶ τῶν νεφελῶν καὶ ὁ μὲν τῶν συμμέτρων νεφελῶν τόπος ὁ ὕστατός τε καὶ ἑνδέκατος ἔστω δάκτυλος. 10. Ὁ δὲ ὑφειμένος οἷον καὶ ὑποπεπτωκὼς ὁ δέκατος, ὁ δ' ἐπὶ πλέον ὑπερῃρμένος, ὁ ἀντιστραφεὶς ἐπὶ πυθμένα πρῶτος· τῶν δὲ ὑποστάσεων καὶ ἀκριβῶς οἰκεῖον ἐχουσῶν τόπον ὁ τρίτος ἔστω δάκτυλος, ἐπαιρομένων δ' αὖ ὁ τέταρτος, ὥσπερ ὑφιζανουσῶν ὁ δεύτερος. 11. Κἀπὶ τῶν ἐναιωρημάτων αὖθις ὁ μὲν πάντῃ μέσος ἔστω ὁ ἕβδομος, ὥσπερ τῶν μὲν ἐπαιρομένων πλέον ὁ ὄγδοος, τῶν δὲ ὑποβαινόντων μᾶλλον ὁ ἕκτος. 12. Πέμπτος γε μὴν καὶ ἔννατος οὐ κατεδέξαντο τὰ παρυφιστάμενα, ὁρισμοὶ μᾶλλον ἢ τόποι γεγονότες τῶν παρυφισταμένων τοῖς οὔροις. 13. Ἀλλ' ὁ μὲν περὶ τοῦ τόπου τῶν παρυφισταμένων λόγος ἱκανῶς ῥηθεὶς ὧδέ πῃ κείσθω· τάχα δ' ἄν τις αὐτὸν καὶ ἀπὸ τοῦ διαγράμματος γνοίη· νῦν δ' ἐπιθήσομεν τῷ λόγῳ τὰ λείποντα.

## *ΔΙΑΓΡΑΜΜΑ.*




α'. ὁ ἐπὶ πλέον ὑπερηρμένων νεφελῶν τόπος.
β'. ὑφιζανουσῶν ὑποστάσεων τόπος.
γ'. ὁ οἰκεῖος τόπος τῶν συμμέτρων.
δ'. τῶν ἐπαιρομένων ὑποστάσεων τόπος.
ε'. ὁρισμὸς τῶν παρυφισταμένων μᾶλλον ἢ τόπος.

ϛ'. ὑποβαινόντων ἐναιωρημάτων τόπος.
ζ'. τῶν συμμέτρων ἐναιωρημάτων τόπος.
η'. ἐπαιρομένων ἐναιωρημάτων τόπος.
θ'. ὡς ε'.
ι'. ὁ ὑφειμένος τόπος τῶν νεφελῶν.
ια'. τῶν συμμέτρων νεφελῶν οἰκεῖος τόπος.

*Κεφ. ιδ'. Περὶ λειότητος καὶ τῶν ἀντικειμένων τῶν παρυφισταμένων.*

1. *Τῶν τοίνυν κατὰ φύσιν παρυφισταμένων πρὸς τοῖς ἄλλοις καὶ λείων εἶναι ὁριζομένων πρῶτον μὲν ῥητέον ὁποῖα εἴη τὰ λεῖα, εἶθ' οὕτως καὶ τὰ τούτοις ἀντίθετα.* 2. *Λεῖα τοίνυν εἴη παρυφιστάμενα ὅσα συνεχῆ πρὸς ἑαυτὰ τυγχάνει καὶ ὡς ἓν οἷον συνεχὲς ἐπισυνηγμένα σῶμα, μήτε πρὸς ἑαυτὸ πάντῃ συνεπτυγμένον καὶ οἷον συνεσφηνωμένον, μήτε πως διαλελυμένον.* 3. *Καὶ τοιοῦτο μὲν ἂν εἴη τὸ κατὰ φύσιν τε καὶ λεῖον παρυφιστάμενον. τῶν δὲ παρὰ τοῦτο τὰ μὲν ἐπέτεινε τὴν συνέχειαν, ὡς ἤδη ταῦτα γλίσχρα τυγχάνειν, τὰ δὲ ταύτην διέλυσεν, ὡς ἤδη ταύτην εἶναι τραχεῖαν.* 4. *Καὶ τῶν μὲν γλίσχρων παρυφισταμένων τὰ μὲν μετρίως τοῦτο πέπονθεν, ὥστε διακινηθείσης τῆς ἀμίδος καὶ ταῦτά πως διαλύεσθαι, τὰ δ' αὖ ἐπιπλέον, ὥστε καὶ σφόδρα κινουμένης τῆς ἀμίδος καὶ πάνυ μετρίως ταῦτα διαλύεσθαι.* 5. *Τὰ δ' ἔτι γλισχρὰ οὐδ' ἄν, εἴ τι γένοιτο, ῥᾳδίως διαλυθείη*

ἐχέκολλα γεγονότα ἤδη· τῶν δὲ τραχυνομένων παρυφισταμένων τὰ μὲν μετρίως τοῦτο πάσχει διακεκριμένων αὐτῶν τῆς ὄψεως ἀντιλαμβανομένης, τὰ δ' αὖ ἐπιπλέον, ὡς ἤδη τὸ πλέον ἐπιλαμβάνειν τοῦ βάθους καὶ πλάτους τοῦ χύματος, τὰ δ' ἕτερα ἐπὶ πλεῖστον, ὡς ἤδη τὸ πᾶν αὐτὸ τοῦ πλάτους τε καὶ βάθους καὶ τὸ τοῦ μήκους πλέον ἐπιλαμβάνειν, οἷον κατακερματιζόμενον. 6. Καὶ τοιοῦτος μὲν ἂν εἴη ὅ τε τοῦ λείου τε καὶ γλίσχρου καὶ τραχέος λόγος· καὶ δεῖ μανθάνειν τὸν σπουδαῖον ἐντεῦθεν, οὐκ ὀλίγα τοῦ ἐπὶ τούτοις λόγου τοῖς μετὰ ταῦτα συνοίσοντος. 7. Ἐνταῦθα δὲ ῥητέον περί τε τῶν ὀροβοειδῶν καὶ πιτυροειδῶν, πεταλωδῶν τε καὶ κριμνωδῶν ὑποστάσεων. 8. Ὑποστάσεις γὰρ ταύτας θέμις καλεῖν ἀεὶ τὸν τῆς ἀμίδος ἐπιζητούσας πυθμένα, τὰ γὰρ εἰδῶν τοιούτων μετέχοντα ἐπινηχόμενα παρυφιστάμενα οὐκ ἀπὸ τῆς αὐτῆς ταύταις αἰτίας πέφυκεν, ὥστε οὐδὲ τὰ αὐτὰ ἂν σημάνειεν πάθη. 9. Ἀλλὰ δὴ πρώτως περὶ τούτων εἰπόντες καὶ τῶν ἐοικότων ταύταις εἴθ' οὕτως ἐροῦμεν.

*Κεφ. ιε'. Περὶ ὀροβοειδῶν καὶ πιτυροειδῶν, πεταλωδῶν τε καὶ κριμνωδῶν ὑποστάσεων.*

1. Αἱ τοίνυν ὀροβοειδεῖς τῶν ὑποστάσεων καὶ ἀπ' αὐτοῦ μὲν τοῦ ὀνόματος δῆλαι, προσεπισαφηνίσωμεν δὲ καὶ ἡμεῖς τὸν λόγον. 2. Τὸν ὄροβον οἶδε πᾶς τις τῶν χεδροπῶν ὀσπρίων τυγχάνοντα, πολλαχοῦ δὲ γεωργόμενον τῆς γῆς, ἐρυθρὸς δ' οἷον τῷ εἴδει τυγχάνοντα. 3. Ὁπόταν οὖν τούτοις παραπλήσια τὰ παρυφιστάμενα ἴδῃς τότε δὴ τότε μαθήσῃ καὶ τὰς ὀροβοειδεῖς τῇ ὄψει ὑποστάσεις. νῦν γὰρ τῷ λόγῳ μόνῳ σοι ταύτας διαζωγραφῶ. 4. Οὐχ ἧττον δὲ καὶ αὗται κατὰ ἐκείνους θρομβώδεις εἰσίν, ὥστε καὶ ἀπὸ τούτου συνιέναι ἔχεις ἀσφαλέστερον τὸν περὶ τούτων λόγον. 5. Πιτυροειδεῖς δ' εἰσὶν ὑποστάσεις, αἳ δὴ πιτύροις ἐοίκασι, σίτου ἀκριβῶς ἀληλεσμένου. αὗται δὲ καὶ μῆκος διωρισμένον ἔχουσι καὶ ὡς πίτυρα ἄντικρυς φαίνονται, ὥστε μανθάνειν ἐκεῖθεν ἀπὸ σφῶν προσήκει, οὕτω τούτων κατωνομασμένων εἰδῶν, ὥστε μηδ' ἐπὶ πλέον τὸν περὶ τούτων λόγον μηκύνειν δεῖ ἀρκοῦντα οἷον καὶ ἀπ'

*αὐτοῦ τοῦ ἐπικειμένου ταύτῃ ὀνόματος.* 6. *Πεταλώδεις δ' οἶδεν ὑποστάσεις ὁ λόγος, αἳ δὴ πετάλοις ἐῴκεσαν, οὐ μέντοι κατὰ μῆκος. τοῦτο γὰρ πάνυ τῷ λόγῳ φαίνεται ἀπεοικός, ἀλλὰ κατ' εἶδος.* 7. *Πέταλα δ' ἴσμεν ὠνομασμένα ὅσα μῆκος μὲν καὶ πλάτος ἔχει, οὐ μέντοι πρὸς τούτοις βάθος ἐπίδηλον.* 8. *Τοιαῦτα δὲ καὶ οὕτω κεκλημένα καὶ τὰ ἐκ ταλασιουργίας ταῖς γυναιξὶν ἐξευρημένα ἐστί.* 9. *Ἀλλὰ δὴ καὶ ὁ πεταλίτης λίθος οὕτω καλούμενος εἰς τοιαῦτα εἴδη κατατεμνόμενος φαίνεται, ὥστε ἐξ αὐτῶν δεῖ καὶ περὶ τούτων στοχάζεσθαι.* 10. *Λείπεται δ' ἤδη φάναι καὶ περὶ τῶν κριμνωδῶν ὑποστάσεων, ἀπ' αὐτῶν δὴ τῶν κριμνῶν καλουμένων. κρίμνα δὲ πάντως ἴσμεν λελεγμένα, ὅσα μὴ καλῶς ἀληλεσμένων σίτων ἢ κριθῶν ἐπιφαίνεται πιτυρώδη· τὰ γὰρ τῶν πιτύρων ἁδρότερα κρίμνα λέγεται, οὐ κατὰ τὰ πίτυρα, ἀλλ' ἤδη τριχῇ διαστατὰ τυγχάνοντα, καὶ κριμνώδεις μὲν διὰ ταῦτα καλοῦνται ὑποστάσεις.* 11. *Λείπεται δ' ἤδη φάναι καὶ περὶ τῶν συμπεπλεγμένων τε καὶ ἑτεροειδῶν παρυφισταμένων.*

### Κεφ. ιϛ'. *Περὶ διαφορᾶς τῶν συμπεπλεγμένων καὶ παρυφισταμένων οὔρων.*

1. *Ἀνομοιομερῆ μὲν ἄν τις καὶ ταῦτα δήπουθεν φαίη· ἐνίοτε γὰρ καὶ ταῦτα ποικίλα φαίνεται καί ποτε μὲν οἷα τὰ κρίμνα συνεμφέρεταί τινα τοῖς παρυφισταμένοις, ποτὲ δὲ καὶ οἷα τὰ πίτυρα, ὥσπερ καὶ οἷαι αἱ πεταλώδεις τε καὶ ὀροβοειδεῖς, ἔστι δ' ὅτε οἷον τρίχες συνεπιφέρεταί τινα τοῖς παρυφισταμένοις παλαιστιαῖα ἢ μείω τε καὶ μείζω, ἐνίοτέ γε μὴν καὶ οἷον ψήγματα ὑπέρυθρα βραχύτατα, καὶ ταῦτα πάντα ἢ μείω φαίνεται ἢ πλείω.* 2. *Ὅτι δὲ τούτων ἕκαστον βούλεται, ἐν τοῖς ἰδίοις τόποις ἐροῦμεν, ὥσπερ καὶ τὰς αἰτίας ἀποδώσομεν ἐν τοῖς περὶ αἰτίας οὔρων λόγοις. νῦν δὲ εἴπωμεν περὶ τῶν ἐπινηχομένων τῷ χύματι.*

### Κεφ. ιζ. *Περὶ τῶν ἐπινηχομένων τῷ χύματι.*

1. *Ἐπινήχονται τοίνυν τῇ τῶν οὔρων ἐπιφανείᾳ πομφόλυγες, αἳ δὴ καὶ λάμπαι λέγονται καί τινα συντήγματα.*

2. Ἀλλὰ πρῶτον εἰπόντες περὶ τῶν ἐπινηχομένων συντηγμάτων, εἶθ' οὕτως λέξομεν καὶ περὶ τῶν ἐπιφαινομένων πομφολύγων. 3. Ἐπιφαίνεται τοῖς οὔροις τοίνυν ἐπινηχόμενα ὅτε μὲν οἷον ἀράχνια, οἷα μάλιστα τὰ συνεχῆ καὶ ταῖς ὀθόναις ἐοικότα, καὶ οὐχ ὁποῖα τὰ μὴ πάντη συνεχῆ, κύκλων μὲν μειζόνων ἐπὶ μείους ἐμπεριφερομένων, γραμμῶν δὲ τούτους ὀρθῶν τε καὶ λοξῶν τεμνουσῶν ἀπὸ τοῦ κέντρου μὲν ἠργμένων, ἔτι τὰ πέρατα δ' ἀφικομένων. 4. Ἔστι δ' ὅτε φέρεται καὶ οἷον στίγματα ἐλαίου μείω τε καὶ πλείω καὶ λεπτότερα καὶ παχύτερα, ὥσπερ κἀπὶ τοῖς λιπώδεσι ζωμοῖς ψυχθεῖσιν ἐπινήχεται τὸ καλούμενον ὑπὸ πολλῶν γραῦς. 5. Ἀλλὰ ταῦτα μὲν ἐπίδηλον ἔσται τῷ ἑτεροχρόνῳ τοῦ εἴδους, ὥστε οὐ δεῖ περὶ τούτου πλείω λέγειν· ἐμφέρεται μέντοι ἐνίοτε καὶ μάλιστα περὶ τὴν στεφάνην οἷόν τινα τριχία μείω μὲν πάνυ τῶν ἤδη ῥηθέντων, ἀδρότερα δ' αὖ, καὶ δεῖ ταῦτα προειδέναι τὸν σπουδαῖον, τάχα γὰρ ἂν καὶ περὶ αὐτῶν λέξομεν μετ' οὐ πολὺ ἐν ἰδίοις λόγοις, τοῦ πράγματος ἀπαιτήσαντος. νῦν δὲ τὸν περὶ διαφορᾶς πομφολύγων ἐπιθῶμεν λόγον, καθάπερ φθάσαντες ἐπιθέμεθα.

*Κεφ. ιη'. Περὶ διαφορᾶς πομφολύγων.*

1. Τῶν τοίνυν πομφολύγων, τῶν μὲν πάνυ μειζόνων πεφυκυιῶν, τῶν δ' αὖ λίαν μικρῶν, συμμέτρων δὲ τῶν ἄλλων, αἱ μὲν διὰ πάσης τῆς ἐπιφανείας ἴασι τοῦ οὔρου, αἱ δ' αὖ διὰ μόνης τῆς στεφάνης, ἢ καὶ διὰ πάσης τῆς στεφάνης ἢ διὰ μέρους οἱουδήτινος αὐτῆς, ἢ διά τινων αὐτῆς μερῶν ἐνεσπαρμένων, ἢ διὰ τῆς στεφάνης καὶ τοῦ μέσου τῆς ἐπιφανείας, ἢ διὰ μέσης μόνης τῆς ἐπιφανείας, ἢ πως ἀνωμάλως ἑτέρως καὶ συμπεπλεγμένως διά τε τῆς ἐπιφανείας καὶ τῆς στεφάνης, αἱ δὲ διὰ τῆς στεφάνης ἰοῦσαι [μονόστιχοι] ἢ δίστιχοι ἢ τρίστιχοι ἢ πολύστιχοι πεφύκασι καὶ ἢ πᾶσαι μικροῦ δεῖν ἰσομεγέθεις ἢ μείους αἱ πρὸς τὸ μέσον μᾶλλον χωροῦσαι, ὡσαύτως δὲ καὶ κατὰ τὸ τῆς ἀμίδος ὕψωμα ἢ μονόστιχοι ἢ δίστιχοι ἢ τρίστιχοι ἢ πολύστιχοι. 2. Ἐπεὶ δὲ δύο τινὰ λέληθεν ἡμᾶς μὴ ἀκριβῶς διορισθέντα τῷ λόγῳ, καὶ ταῦτα νῦν ἤδη σαφη-

*νείας χάριν προσεπιθήσομεν.* 3. *Ἓν μὲν οὖν ἐστι τῶν παραδραμόντων ἡμᾶς τὸ περὶ τῶν πομφολύγων. τάχα γὰρ ἂν δόξειέ τισιν περὶ τῶν ἅμα τῷ διουρηθῆναι τὰ οὖρα ἐπινηχομένων λέγειν, ἀλλ' οὐκ ἔστιν οἰηθῆναι τοῦτο θέμις, ἀλλὰ περὶ τῶν ἀπομεινασῶν μετὰ τὴν τοῦ παντὸς ἀποψυχθέντος οὔρου κατάστασιν.* 4. *Ἐκεῖναί τε γὰρ ἀπαθεῖς δοκοῦσιν ὑπὸ τοῦ περιέχοντος τυγχάνειν καὶ τὸ μὴ παθεῖν δηλοῦσιν ὑπὸ μείζονος ἐπιγεγενῆσθαι τῆς αἰτίας· αἱ γὰρ δὴ μετ' οὐ πολὺ συνδιαλυόμεναι τῆς ἐκκρίσεως, ἀφαυροτέρας ἔχουσαι τὰς αἰτίας, καὶ ῥᾳδίως λέλυνται, ὥστε περὶ τῶν ἐπιμεινασῶν ἐπὶ πολὺ δεῖ σκέπτεσθαι πομφολύγων, καὶ τὰς ἐπὶ ταύταις δεῖ μανθάνειν αἰτίας τε καὶ διαγνώσεις.* 5. *Τό γε μὴν ἕτερον τῶν λειφθέντων πέφυκεν ὁ περὶ στεφάνης λόγος· τάχα γὰρ ἂν ἐκπλήξῃ τοὺς πολλοὺς ἀκηκοότας ἐπιφαινομένην τινὰ τοῖς οὔροις στεφάνην καὶ μὴ καταλαμβανομένην τῇ τοῦ σκοποῦ ἀγνοίᾳ.* 6. *Στεφάνην τοίνυν ἡμεῖς φαμεν τὴν κατὰ τὸν κύκλον τῆς ἐπιφανείας τοῦ χύματος περιθέουσαν ἐσκιαγραφημένην γραμμήν, εἴ γε δήπουθεν καὶ αἱ ἀμίδες, οὖσαι στρογγύλαι κατὰ κύκλον περιγράφουσι καὶ τὰς τῶν οὔρων ἐπιφανείας.* 7. *Ἀλλ' αὗται μὲν ἐπὶ τὰ πέρατα τῶν ἐπιφανειῶν διαγραφόμεναι, κυκλοτέρων μὲν οὐσῶν καὶ τῶν ἀμίδων, εἰκότως ἂν ῥηθεῖεν στεφάναι τῇ τοῦ σχήματος οἰκειότητι.* 8. *Τετραγώνων δὲ καὶ πολυγωνίων τῶν ἀμίδων κατὰ τύχην αἱ μὲν διατρέχουσαι τὰ πέρατα πομφόλυγες οὐκ ἂν δικαίως ἐπὶ στεφάνης περιθέειν λεχθεῖεν ἂν τῇ τοῦ σχήματος ἀφαιρέσει. τὰ αὐτά γε μὴν ἐκείναις κατὰ λόγον διαγνώσεώς τε καὶ αἰτίας φαῖεν ἂν δήπουθεν.* 9. *Ἀλλ' ὁ μὲν περὶ διαφορᾶς πομφολύγων λόγος τοιοῦτος ἂν εἴη, ὥστε καὶ αὐτὸν ἀσκεῖν προσήκειν, οὐχὶ τὰ μέτρια συνοίσοντα τοῖς ἑξῆς λόγοις. νῦν δὲ ἐπιθῶμεν τῷ λόγῳ τὰ λείποντα.*

### *Κεφ. ιθ'. Περὶ διαφορᾶς ἑτεροχρόων τοῦ χύματος στεφανῶν.*

1. *Στεφάναι τοίνυν ἕτεραι πολλῷ τῶν ῥηθεισῶν ὑπάρχουσαι προσφορώτεραι τὴν ἐπιφάνειαν περιϊᾶσιν τῆς ἀμίδος, οὐκ ἐπινηχόμεναι τῷ χύματι κατὰ τὰς πομφόλυγας,*

ἀλλὰ μᾶλλον οὖσαι πέρατα τῶν χυμάτων. 2. Τῶν γὰρ χυμάτων οἱωδήτινι κεχρωμένων χρώματι, αὗται περιθέουσιν ἑτέρου πεφυκυῖαι χρώματος ἤτοι λευκοῦ ἢ πυρροῦ ἢ χολώδους καὶ χλωροῦ καὶ μέλανος καὶ οἱουδήτινος ἑτέρου. 3. Καὶ μέντοι ταῦτα ἀκριβῶς ἐνατενίζουσι ῥαδίως φαίνεται, ἀλλ' οὐχὶ μᾶλλον οἷον παραβλέπουσι, οἷον ἐπὶ τῶν ἀμυδροτέρων κομητῶν συμβαίνειν εἴωθεν. 4. Ῥᾷον γὰρ αὐτῶν ἡ κόμη παραβλέπουσιν ἢ ἀτενίζουσιν φαίνεται ἀμαυρουμένων, ὥσπερ τῆς ὄψεως ἐνστηριζομένης ἢ μᾶλλον ταύτης ἐφελκομένης τῷ πλείονι τοῦ χρώματος καὶ τοῦ φωτός. καὶ ταῦτα μὲν ἐπὶ τῷ περὶ τῆς στεφάνης εἴρηται λόγῳ συνοίσοντα τόποις ἰδίοις· νῦν δὲ τῶν ἑξῆς ἐχόμενοι λέγωμεν. 5. Ἐδόκει μοι τοίνυν καὶ τὰς ἐνδεχομένας συμπλοκὰς συνίστασθαι χρωμάτων τε καὶ συστάσεων καὶ παρυφισταμένων προσεπιθεῖναι τῷ λόγῳ. 6. Ἐπειδὴ δὲ πρὸς τῷ πολυσχιδεῖ καὶ δυσδιεξίτητον ἐδόκει εἶναι τὸ πρᾶγμα καὶ ἐπεκτεινόμενον ἐπ' οὐδενὶ δέοντι τὸ μὲν οὕτω γράφοντά με συμπλέκειν μὴ πάνυ δέον ὂν παρῆκα. 7. Ἐπὶ γὰρ τῷ μὲν παρόντι λόγῳ τὰς διαφορὰς ἐκτίθημι τῶν οὔρων, οἱ δὲ μετὰ τούτους ἕξουσι τάς τε διαγνώσεις καὶ αἰτίας ἅμα καὶ προγνώσεις· ῥαδίως ἂν ἔχοι ὁ περὶ ταῦτα ἐσπουδακὼς προσεπιπλέκειν μὲν τοῖς χρώμασι συστάσεις, χρώμασι δὲ καὶ συστάσεσι παρυφιστάμενα διάφορα κατά τε χρῶμα καὶ σύστασιν καὶ τόπον καὶ λειότητα καὶ ὁμαλότητα καὶ κατὰ τὰς τούτοις ἀντικειμένας διαφοράς· ῥαδίως δὲ καὶ διακρίνειν ἕξει ὁποῖα μὲν ἐνδέχεται τῶν συμπλακέντων συνίστασθαι, ὁποῖα δ' αὖ μή, ὥστε καὶ συμβουλεύσαιμ' ἂν αὐτὸς τῷ περὶ ταῦτα σπουδαίῳ περὶ τὰ τοιαῦτα ἐνδιατρίψαι οὐ μετρίαν πρόφασιν ἐς ἀσφαλῆ κατάληψιν ἐπιχορηγήσοντα. 8. Εἰ γάρ τις προμεμαθηκὼς εἰδείη, ἐπὶ ποίαις μὲν αἰτίαις ἕκαστον τῶν τε χρωμάτων, τῶν τε χυμάτων καὶ παρυφισταμένων καὶ ἑκάστη τῶν ἐπὶ τούτοις συστάσεων καὶ τἄλλα τῶν κατὰ μέρος, γνοίη δὲ καὶ ὅτι ἕκαστον βούλεται, ῥαδίως μέντ' ἂν συμπλέξῃ ταῦτα, προχείρως δὲ συμπλέξας καὶ τὰς ἐπ' αὐτοῖς αἰτίας τε καὶ διαγνώσεις ἐπιθήσει τοῖς συμπλακεῖσιν. 9. Ἀλλ' ὁ μὲν περὶ τούτων λόγος τὰ νῦν ἀφείσθω, ἑξῆς

*δὲ ἐπὶ τούτοις προσήκει σκέπτεσθαι καὶ ἀνωμαλίας τῶν ἐμφερομένων τοῖς οὔροις χρωμάτων δηλονότι καὶ συστάσεων καὶ προσέτι τῶν παρυφισταμένων καὶ τὰς ἐπὶ ταύταις αὖθις διαφορὰς τῶν χρωμάτων.*

*Κεφ. κʹ. Περὶ ἀνωμαλίας χρωμάτων καὶ συστάσεων.*

1. *Τὰ γὰρ δὴ τῶν οὔρων χρώματα ἢ ἐπὶ τοῦ αὐτοῦ ἀεὶ μένει ἢ μεταβάλλεται καὶ μεταβαλλόμενα ἤτοι ἐπὶ τὰ χείρω τῶν χρωμάτων φέρεται ἢ ἐπὶ τὰ κρείττω.* 2. *Καὶ προϊόντα ἢ ἐπὶ τὰ ἔσχατα τῶν χρωμάτων πρόεισιν ἢ μένει πη σταθέντα τῆς ἐπὶ τὰ πρόσω ῥοπῆς, βραχύ τι ἴσως προϊέντα.* 3. *Ἐπεὶ δ' εἰκὸς ταῖς μείζοσι τῶν ἀλλοιώσεων τῶν χρωμάτων συμμεταβάλλεσθαι καὶ τὰ παρυφιστάμενα, συνορᾶν δεῖ καὶ τὰς ἐν τούτοις λυομένας ἀνωμαλίας, τάς τε κατὰ τὰ χρώματα καὶ τὰς συστάσεις γενομένας καὶ προσέτι τὰς λειότητας καὶ τὰ τοπικὰ διαστήματα.* 4. *Ἔπειτα καί, εἰ διὰ πλείονος ἢ μείονος ταῦτα μεταβάλλεται τοῦ χρόνου, προσήκει σκέπτεσθαι, οὐχὶ τὰ μέτρια λυσιτελούσης καὶ τῆς ἐπὶ τὰς μεταβολὰς τῶν χρόνων παρατηρήσεως.* 5. *Ἐπεὶ δ' εἰώθησαν ἐνίοτε συναλλοιοῦσθαι καὶ αἱ συστάσεις — οὐ γὰρ ἀεὶ δὴ τοῦτο πάσχουσι, μείζονος ἢ κατὰ τὰ χρώματα δεόμεναι κινήσεως, — καὶ τὰς αὐτῶν χρεὼν ἂν εἴη ἐκμανθάνειν μεταβολὰς καὶ τοὺς ἐπ' αὐταῖς ὡσαύτως χρόνους ἐξετάζειν, καὶ εἴτε πρωϊαίτερον ἢ ὀψιαίτερον ἐπιγίνονται πολυπραγμονεῖν, οὐχ ἥκιστα καὶ τούτων ἔς τε πρόγνωσιν λυσιτελούντων καὶ διάγνωσιν.* 6. *Κἀκεῖνο δὲ θέμις εἰδέναι, ὡς αἱ μὲν τῶν ἀνωμαλιῶν πεφύκασι τεταγμέναι, αἱ δ' αὖ ἄτακτοι, καὶ δεῖ καὶ ταύτας εἰδέναι τε καὶ σκέπτεσθαι.* 7. *Πολλὰ γὰρ ἂν ἴσως εἰδείης καὶ ἐκ τούτων ἔς τε διάγνωσιν λυσιτελοῦντα καὶ πρόγνωσιν, καί ποτε ἴσως ὄψει τεταγμένας ἀνωμαλίας χείρους τῶν ἀτάκτων ἀνωμαλιῶν, αἳ δὴ καὶ ῥηθήσονται ἐν τοῖς αὐταῖς προσήκουσι τόποις.* 8. *Τὸ γὰρ νῦν ἔχον περὶ διαφορᾶς μόνον οὔρων εἰπεῖν προὐθέμεθα· ἵνα μέντοι σαφέστερον τὸν λόγον διασκεδάσωμεν, ὡδέ πως ἔτι παραδείγματι τοιούτῳ χρησόμεθα.*

*Κεφ. κα'. Περὶ ἀνωμαλίας τῶν παρυφισταμένων.*

1. *Αἱ τῶν χρωμάτων ἀνωμαλίαι γίνονται, ὁπόταν ἀφ' ἑτέρου χρώματος εἰς ἕτερον γένηται ἡ μεταβολή.* 2. *Εἰ γάρ τοι νῦν μὲν τὸ οὖρον εἴη λευκόν, ἔπειτα δὲ πυρρόν, τὴν δ' ἐπιοῦσαν ἕτερον, ἢ τοὐναντίον, νῦν μὲν ὑπέρυθρον, τὴν δ' ἐπιοῦσαν ὑπόπυρρον ἢ πυρρόν, ἐσαῦθις δὲ ὠχρὸν ἢ λευκόν, καὶ δὴ καὶ οὕτως νῦν μὲν ὑπέρυθρον, ἐσαῦθις δὲ χλωρὸν ἢ κυανοῦν ἢ μέλαν, ἢ κἀκείνως νῦν μὲν ὑπέρυθρον, εἶθ' οὕτως πυρρὸν καὶ χαροπόν, ἐπὶ τούτοις ἢ γαλακτῶδες ἢ πως ἑτέρως ἔχον ὡς ἂν καὶ συμπλέξαις (ἐνδέχεται γὰρ ποτὲ μὲν οὕτως, ποτὲ δ' ἐκείνως, ἐκνενικημένης καὶ νικώσης τῆς ζωτικῆς δυνάμεως, φαίνεσθαι) αἱ γάρ τοι διαφοραὶ τῶν πέψεων, κἄν τε φαύλως κἄν τ' ἀγαθῶς ἐνεργῶνται, ἐπὶ ταῖς τῶν οὔρων φαίνονται μεταβολαῖς — πολλὰς δ' ἂν ἴδοις κἀπὶ ταῖς συστάσεσι τὰς ἀνωμαλίας, τὸν νοῦν προσέχων τοῖς γινομένοις ἑκάστοτε.* 3. *Ποτὲ μὲν γὰρ δι' ὅλου παχέα γίνεται τὰ οὖρα, μηδ' ἥντιναοῦν διάκρισιν ἔχοντα, ποτὲ δ' αὖ ὑφιζάνει τούτοις κάτω πρὸς τὸν τῆς ἀμίδος πυθμένα τὸ παχύτερον, ἔτι τοῦ λοιποῦ παχέος τυγχάνοντος· ἐνίοτε δ' αὖθις τὸ πᾶν τοῦ πάχους πρὸς τὸν πυθμένα χωρεῖ· ἔστι δ' ὅτε παλινδρομοῦν τὸ πάχος ἀναθολοῖ τὸ χῦμα μᾶλλον ἢ ἧττον.* 4. *Τὰ δ' αὐτὰ κἀπὶ τῶν λοιπῶν γίνεται ποτὲ μὲν πάνυ λεπτυνομένων, ποτὲ δ' αὖ ὀλίγως, ἤ τοι μετὰ φαύλου ἢ ἀμείνονος χρώματος· αἱ τοιαῦται δὴ συνιᾶσι συστάσεις, ὥστε κἂν ταύτας ἐπιλέξαις τοῖς χρώμασι, πλείους, οἶμαι, καὶ τὰς ἐξ αὐτῶν ἀνωμαλίας ποιήσαις.* 5. *Αὗταί γε μὴν πᾶσαι ἀνωμαλίαι ἢ τεταγμένως γίνονται ἢ ἀτάκτως· εἰ γὰρ μέχρι μὲν τοσούτου χρόνου ἡ τοιαδὶ σύστασις μετὰ τοῦ τοιούτου χρώματος ἐπικρατείη, μετὰ τοῦτον δὲ τὸν χρόνον εἶθ' ἡ σύστασις, εἴτε τὰ χρώματα, εἴτ' ἀμφότερα ἀλλοιοῦται ἐπὶ ῥητῷ χρόνῳ, εἶθ' αὖθις τὰ πρῶτα γίνεται, καὶ τοῦτο εἴη κατὰ πολλὰς περιόδους, τεταγμένη τις ἂν εἴη ἀνωμαλία· τοὐναντίον δὲ ἄτακτος, ὁπόταν, ὅπως ἔτυχεν, ἡ μεταβολὴ τῶν τε χρωμάτων γίνεται καὶ τῶν συστάσεων ἐπ' ἀτάκτοις δηλονότι περιόδοις τε καὶ χρόνοις.* 6. *Ἵνα δὲ σαφέστερον προαγάγωμεν τὸν λόγον, ὧδ' ἐπὶ*

*παραδείγματι τούτῳ χρησόμεθα· εἰ τοίνυν δυοῖν μὲν ἐφεξῆς ἡμεραῖν τὰ αὐτὰ δὴ οὖρα φαίνεται, τῇ τρίτῃ δ' αὖ ἑτεροῖα, καὶ αὖθις τῇ τετάρτῃ μὲν καὶ πέμπτῃ ὁποῖα καὶ τῇ πρώτῃ καὶ δευτέρᾳ, τῇ δὲ ἑκτῇ ὅμοια τραπέντα γίνεται τοῖς ἐπὶ τῇ τρίτῃ, καὶ τοῦτο ἐπὶ πολλαῖς ἑξῆς ἡμερῶν γίνεται περιόδοις, τεταγμένη τις ἂν ὧδε ῥηθείη ἀνωμαλία.* 7. *Εἰ δὲ τυχὸν ἐφεξῆς μὲν δυοῖν ἡμέραιν τὰ αὐτὰ δὴ εἴη οὖρα, τῇ τρίτῃ δὲ μεταβάλλεται, ἀλλοῖα δ' αὖ γίνεται τῇ τετάρτῃ, ἑτεροῖα δὲ τῇ πέμπτῃ, καὶ μὴ κατά τινας περιόδους τὰ αὐτὰ δὴ γίνονται, ἀλλ' ὡς ἔτυχε καὶ ἀτάκτως, ἀνώμαλος ἂν ὧδὶ ῥηθείη ἡ ἀταξία.* 8. *Μαθεῖν γε μὴν ἔξεστιν ἐπὶ τούτοις τὰς αἰτίας τε καὶ διαγνώσεις καὶ προγνώσεις, ὁπόταν τὸν περὶ τούτων λόγον ποιώμεθα· αἱ δ' αὐταὶ ἂν συμβαῖεν ἀταξίαι τε καὶ ἀνωμαλίαι κἀπὶ τῶν παρυφισταμένων, ποτὲ μὲν χωρούντων πρὸς τὸν πυθμένα, ἐνίοτε δ' αὖ αἰωρουμένων καὶ αὖθις μέχρι αὐτῆς ἐξικνουμένων ἐπιφανείας, καὶ ποτὲ μὲν λείων μενόντων, αὖθις δὲ σκεδαννυμένων, καὶ νῦν μὲν λευκῶν, αὖθις δὲ εἰς ἕτερα μεταπιπτόντων χρώματα, καὶ ποτὲ μὲν ἐς λεπτότητα μεταβεβλημένων ἐκ παχύτητος, ποτὲ δ' αὖ ἐκ λεπτότητος εἰς παχύτητα, καὶ ποτὲ μὲν ἄνωθεν κάτω τὰ παρυφιστάμενα χωροῦσι οὔροις, ποτὲ δ' αὖ ἄνω κάτωθεν μετὰ διαφόρων δηλονότι τῶν τε χρωμάτων καὶ συστάσεων.* 9. *Καὶ πολλὰς ἂν μάθοις κἀπὶ τούτων τὰς ἀνωμαλίας ἐζητακὼς τὸν λόγον. ἡμῖν γὰρ ἀπόχρη τὰ ῥηθέντα, ὑφαιρουμένης τῆς σπουδῆς τὴν πλείω τῶν λόγων παράτασιν.* 10. *Ἐπεὶ τοίνυν οὐδ' ἡμῖν καθέστηκε ῥᾴδιον, τὰ καθ' ἕκαστα τῶν οὔρων συντιθέναι τῷ τε μακροὺς ἀποτιννύειν [φεύγειν] ἐθέλειν λόγους, καὶ τῷ ἐξεῖναι τῷ περί τὰ τοιαῦτα ὀφθησομένῳ σπουδαίῳ ἐκ τῶν ῥηθέντων καὶ τὰ λείποντα συλλογίσασθαι.* 11. *Ὅ τε λόγος ἀρκοῦν δοκεῖ μῆκος ἔχειν τοῖς βραχυλογεῖν σπουδάζουσιν, ὥστε ἐνταῦθα μὲν τοῦτον καταπαυστέον ἀρκοῦν ἀπειληφότα μέτρον.* 12. *Ἐπὶ δὲ τὸν περὶ διαγνώσεως οὔρων λόγον μετὰ τοῦτον μεταβῶμεν.*

*Κεφ. κβ΄. Περὶ τάξεως καὶ ἀταξίας ἑκάστου τούτων.*

1. *Χρεὼν γὰρ τῷ τὰ τῆς τέχνης ὄργια μυουμένῳ πρῶτον μὲν διαφορὰς οὔρων συνιέναι ἔχειν, ἵνα ἀκριβῶς εἴη μεμαθηκώς, ὁποῖά τε καὶ πόσα τοῖς οὔροις ἐπιφαίνεται χρώματα καὶ μεθ᾽ οἵων ἐνδέχεται συστάσεων συναναφανῆναι· εἶθ᾽ οὕτως δὲ καὶ τὰς διαγνώσεις ἐκμανθάνειν ἐπὶ προεγνωσμέναις διαφοραῖς τῶν οὔρων· τοῖς γὰρ οὕτως διδαχθεῖσι ῥᾳδίως ἂν διαγνωσθείη ὁποῖά τε θεραπευτέα, καὶ ὁποῖα ἀπαγορευτέα.* 2. *Ἐπὶ τούτῳ δ᾽ ἔσται καὶ ὁ περὶ αἰτίας οὔρων λόγος διασημαίνων, ἐφ᾽ ὁποίαις δή τισιν αἰτίαις οἷα δήτινα τῶν οὔρων γίνεσθαι. ἴσως γὰρ ἂν καὶ εἰς πολλὰ λυσιτελήσει ὁ περὶ αἰτίας οὔρων λόγος.* 3. *Ἔσται γε μὴν ἐπὶ τούτῳ τὸ περὶ τῆς ἐκ τῶν οὔρων προγνώσεως βιβλίον, διανοιγούσης ὥσπερ τῆς διαγνώσεως τὰς προγνώσεις.* 4. *Τῷ γὰρ ἀκριβῶς διαγινώσκοντι καὶ τὸ ἀσφαλῶς ἐγγίνεται προγινώσκειν, καὶ τούτων μὲν ἕκαστον, Θεοῦ διδόντος, λελέξεται ἐν ἰδίοις λόγοις, ἡμεῖς δὲ ἐντεῦθεν πέρας ἐπιθέντες τῷ λόγῳ ὥσπερ ἀφ᾽ ἑτέρας ἀρχῆς τῶν μετὰ τοῦτον λόγων ἁψώμεθα.*

---

## *ΙΩΑΝΝΟΥ ΤΟΥ ΑΚΤΟΥΑΡΙΟΥ*

## *ΛΟΓΟΣ Β.*

---

### *ΠΕΡΙ ΔΙΑΓΝΩΣΕΩΣ ΟΥΡΩΝ ΛΟΓΟΣ ΠΡΩΤΟΣ.*

### *Προοίμιον.*

1. *Ἐπειδὴ τὸ μανθάνειν ἐθέλειν τὰς ἐκ τῆς τῶν οὔρων σημειώσεως τῶν ὁποιωνδήτινων τοῦ σώματος διαθέσεων διαγνώσεις ἐκ τοῦ πρῶτον εἰδέναι τὰς τῶν οὔρων διαφορὰς ἐγγίνεται, ἔφθημεν δὲ ἡμεῖς ἀνωτέρω περὶ διαφορᾶς οὔρων λόγον ἐκθέμενοι, καὶ πᾶν αὐτῷ περάναντες τῆς μεθόδου, λείποιτ᾽ ἂν ἴσως ἤδη φάναι περὶ διαγνώσεως οὔρων, ὃ δὴ καὶ λυσιτελέστατον τῇ τέχνῃ κατέστηκεν.* 2. *Εἰ γὰρ μὴ ῥᾳδίως ἔχοι νοῦν ἔχων ἰατρὸς διαιτᾶν*

[ἢ] φαρμακεύειν, ἄλλο τι θεραπευτικὸν προσάγειν τοῖς καθοτιοῦν κάμνουσι σώμασιν, εἰ μὴ αὐτίκα διαγνοίη, ὁποῖον δή τι τὸ κατέχον πάθος εἴη τυγχάνον, πάνυ ἂν οἶμαι λυσιτελήσειν τούτῳ τὰς ὁποιασδήτινας μεθόδους τῶν διαγνώσεων ἐξευρημένας τῇ τέχνῃ. 3. Ἄλλαι μὲν οὖν μέθοδοι τῶν διαγνώσεων ἄλλοις μᾶλλον ἀρκοῦσι πάθεσι, κοινὴ δ' ὥσπερ καὶ διὰ πάντων μικροῦ δεῖν διαπεφοίτηκεν ἡ ἐκ τῶν οὔρων διάγνωσις. 4. Ἐπικαίρως μὲν γὰρ ἂν φαίη, ὅσα περί τε κατὰ τὰς πρώτας φλέβας πέψεις ἐπισυμβέβηκε καὶ ἀπεψίας καὶ ὅσα περὶ τὴν τρίτην πέψιν, καὶ προσέτι ὅσα περί τε τοὺς νεφροὺς καὶ κύστιν καὶ τὰ οὐρητικὰ ἀγγεῖα, ἐπὶ τούτοις δ' αὖ ἐρεῖ αὐξήσεις τε χυμῶν καὶ μειώσεις, ἐμφράξεις τε καιρίων πόρων καὶ ὅσα ἐπὶ τούτοις γίνεται, περὶ ὧν ἂν εἴη φάναι τοῦ λόγου προϊόντος. 5. Ἀλλὰ δὴ πρῶτον μὲν ὡδὶ ζητέον περὶ ἀμίδος τε καὶ τόπου καὶ χρόνου καθ' ὃν προσήκει τὰς τῶν οὔρων ἐπισκέψεις ποιεῖσθαι· εἶθ' οὕτως τῶν οἰκειοτέρων ἔχεσθαι λόγων.

*Κεφ. α'. Περὶ διαφορᾶς, ἐν ᾧ καὶ περὶ τῆς μάλιστα ἐπιτηδείου.*

1. Αἱ τοίνυν ἀμίδες ἔστωσαν ἐκ λευκῆς μὲν πάνυ καὶ λεπτῆς ὑέλου κατεσκευασμέναι, ἵνα ἀκριβῶς τὰ χρώματα διαφαίνηται. 2. Ἔνιαι γὰρ ὑποχλωρίζουσαι, κἀντεῦθεν μὴ ἀκριβῶς διαφανεῖς τυγχάνουσαι — τῷ γὰρ λευκῷ τοῦ χρώματος ἡ διαφάνεια ἕπεται — ἀφαιροῦνταί τι τοῦ χρώματος ἴσως καὶ τῆς συστάσεως. 3. Ἀλλ' οὐδ' ἀκριβῶς ὁρᾶται ταύταις τὰ παρυφιστάμενα, ὥστ' ἐκεῖνα μᾶλλον προτρέπειν ἔχειν δεῖν. 4. Τὰ δὲ σχήματα αὐτῶν ὄντα διάφορα τάχ' ἂν τι καὶ λυμαίνειεν τῆς ἐπ' αὐτοῖς διαγνώσεως. 5. Ἐπί τε γὰρ ταῖς πάνυ εὐρείαις, καὶ μάλιστα εἰ τύχῃ πάνυ μέτριον ὂν τὸ οὖρον καὶ διαδοθὲν ἐπὶ τὸ πλάτος μόνον, βραχύ τι ἐφαψάμενον τοῦ κατὰ μῆκος διαστήματος, οὐκ ἔσται γνῶναι τὰ παρυφιστάμενα, ὁποῖον τόπον εἴληχε τοῦ κατὰ βάθος διαστήματος, τοῦ οὔρου βραχέος πεφυκότος. 6. Ταῖς τε ἀνωμάλοις ἀμίδεσιν οἷα δὴ καὶ νῦν κατασκευάζονται ἐπιμήκεσι πάνυ οὔσαις καὶ τὰ μὲν κάτω εὐρύτερά πως ἐχούσαις, ἐπισυναγο-

μέναις δέ, καθ' ὅσον ἂν ἀνίσχωσιν ἀπὸ τοῦ πυθμένος, αὐτὸν δ' ἐχούσαις τὸν πυθμένα ἐξέχοντα μέν, πάνυ δ' ἐπισυνηγμένου, εἰς μὲν τὸ διακινῆσαι, εἴ που δέοι, τὰ οὖρα, καὶ πλείω δὲ εἴπερ εἴη ὅλα δέξασθαι — πολύχωρα γὰρ τὰ ἀγγεῖα — χρήσιμοι ἂν ἴσως εἶεν. 7. Εἰς δ' ἐπιτηδειότητα ἐπιτηρήσεως οὔρων ἧττον ἂν λυσιτελεῖν τῶν λοιπῶν τῶν ἀμίδων, αἳ δὴ κατὰ τὸ σχῆμα τοῖς ὑελίνοις τούτοις ἐκπώμασιν ἐοίκασιν, οἷς δῆτα χρώμεθα οἱ πίνοντες, ὥστε, εἰ δέοι καὶ τὰ μάλιστα λυσιτελοῦντα σχήματα τῶν ἀμίδων μανθάνειν, τὰ τοιαῦτα μᾶλλον ἂν δόξειε λυσιτελέστατα. 8. Δεῖ γε μὴν τὰς ἀμίδας ταύτας μήτε ζώναις περιδεῖν ἐξ ὑέλου ὡς ἐπιπροσθούσαις, ὥστε τοὺς πυθμένας αὐτῶν ἐπὶ πολὺ κεκτῆσθαι εἰσέχοντας, ἀλλ' ὡς οἷόν τε ἁπλοῦς καὶ λείους. 9. Ἂν τι δὲ καὶ βραχὺ μείζους εἶεν τῶν συνήθων τούτων ἐκπωμάτων, ἵνα καὶ τὰ ποσὰ τῶν οὔρων ὁλοκλήρως δέχωνται, ἀποδεκτέα ἂν εἴη. 10. Ἀλλ' ὁ μὲν περὶ σχήματος τῆς ἀμίδος λόγος τοιοῦτος· περὶ δὲ τῆς τῶν οὔρων ἐπισκέψεως οὕτω πως λέγωμεν.

### Κεφ. β'. Περὶ ἁρμόζοντος τόπου, ἐν ᾧ δεῖ τὰς τῶν οὔρων ἐπισκέψεις ποιεῖσθαι.

1. Ἐπειδὴ οἵ τε σκιαυγεῖς πάνυ τῶν τόπων ἀφαιροῦνταί τι τοῦ χρώματος πρὸς τὸ ζοφῶδες τοῦτο μετατιθέμενοι, οἵ τε πάνυ διαυγεῖς καὶ ἡλιώδεις τῇ πολλῇ διαφανείᾳ πραΰτερα πολλῷ τὰ χρώματα ποιοῦσι φαίνεσθαι, δεῖ πάντως δὴ καὶ τοῦτο παρατηρεῖσθαι καὶ τὰς ἐξ ἀμφοτέρων τῶν τόπων ἐπιπροσθήσεις ἐπὶ τὰς ἀκριβεῖς τῶν οὔρων ἐπισκέψεις, ἀφαιρουμένης τῆς ὀντότητος τῶν χρωμάτων, πειρᾶσθαι φεύγειν καὶ τὸν μέσον τούτων τόπον ἐπιζητεῖν, ὡς μηδέν τι τῶν χρωμάτων ἀδικοῦντα. 2. Κἂν μὲν οὖν διαφαίνηται σαφῶς τὰ παρυφιστάμενα, ἀρκεῖσθαι δεῖ· εἰ δέ πη πάνυ εἴη ἀμυδρὰ καὶ οὐκέτι δῆλα, τότε δὴ τότε καὶ πρὸς τὸν ἥλιον αὐτὸν προάγειν τὰ οὖρα, ὡς διαφανῇ καὶ τὰ λανθάνοντα ἐν ὑπαύγῳ τόπῳ· ἐκεῖνο δὲ τῶν προσφυεστάτων ἂν δόξειεν, εἰ τῷ λόγῳ προσδιορισθείη ὁ χρόνος, καθ' ὃν μάλιστ' ἂν τις εἰκότως τὰς

τῶν οὔρων ἐπισκέψεις ποιήσαιτο, ὅθεν δὴ καὶ περὶ τούτου ῥητέον, ὧδε τῶν λυσιτελεστάτων ῥηθῆναι δόξαντος.

*Κεφ. γ'. Περὶ χρόνου, καθ' ὃν οἰκειότερον τὰ οὖρα ἐπισκέπτεσθαι.*

1. Τὰ τοίνυν οὖρα ταῖς ἀμίσι διουρηθέντα, ἔτι μὲν ὑπόθερμα τῇ ἀφῇ τυγχάνοντα, τὰ χρώματα μόνον ἀκριβῶς διδόασιν ἐνορᾶν, παρυφιστάμενα δὲ καὶ συστάσεις καὶ πρὸς τούτοις αἱ πομφόλυγες οὔπω ἀκριβῶς ἐπίδηλα πέφυκε. 2. Τῶν γὰρ πομφολύγων αἱ μὲν τῷ διαπνεομένῳ συνδιαρρέουσι θερμῷ, αἱ δ' αὖ συμπαραμένουσιν ἀποψυχθέντι τῷ οὔρῳ ἤτοι πᾶσαι, ἢ ἔνιαι. 3. Τὰ δὲ παρυφιστάμενα τὴν ἀρχὴν οὐ ῥᾳδίως φαίνεται, ἐπειδὰν δ' ἤδη τὰ οὖρα ψύχηται, καὶ αὐτὰ δὴ συνεπιφαίνεται, καί πως τὴν ἀρχὴν ἐπινέφελα πεφυκότα, τῆς ὥρας ἐπιμετρουμένης, ἤτοι αὐτόθι ἔτι μένει, ἢ περὶ τὸ μέσον προϊόντα γένηται τῆς ἀμίδος, ὥσπερ δῆτ' ἄλλοτε πρὸς αὐτὸν γοῦν τὸν πυθμένα χωρεῖ. 4. Αἱ δὲ δὴ συστάσεις, ὅσαι μὲν ὑπὸ τὴν σύμμετρον πεφύκασιν, αὐτοῖς τοῖς χρώμασι συναναφαίνονται· ὅσαι δὲ ὑπὸ τὴν παχεῖαν μετὰ τὴν κατάστασιν τῶν παρυφισταμένων δείκνυνται, ἔτι δὲ σχολαίτερον, ὅσαι τούτων αὖθις καθίστανται· ταῦτά τοι μὴ πρωϊαίτερον τοῦ διεψύχθαι ἀκριβῶς τὰ οὖρα προσήκει σκέπτεσθαι, ἢ μὴν πολλοῦ γε διαπέσοις ἂν τῆς ἀκριβοῦς, ὡς εἴρηται, διαγνώσεως, ἀλλ' οὐδὲ διακινηθῆναι δεῖ ταῦτα σφοδρότερον πρὶν ἤ σε ἐπισκέψασθαι, ἵνα μὴ πολλὰ τῶν ὄντων μετατεθείη· αἵ τε γὰρ πομφόλυγες διαρρήγνυνταί τε καὶ μετατίθενται καὶ τὰ παρυφιστάμενα κλονούμενα τῇ βίᾳ φεύγει τοὺς σφῶν αὐτῶν τόπους, ὥσπερ καί, καταστάντων ἤδη τῶν παχέων, αὖθις τῇ συγκινήσει συγχεῖται οἷον ἡ γεγονυῖα κατάστασις. 5. Καὶ τοιαῦτα μὲν δεῖ περὶ τοῦ χρόνου, καθ' ὃν χρεὼν τὰς ἀκριβεῖς τῶν οὔρων ἐπισκέψεις ποιεῖσθαι, συνιέναι τὸν ἀκριβῆ τῆς τέχνης συνίστορα. καὶ ταῦτα μὲν ῥηθέντα τάχ' ἂν εἰκότως δόξαιεν λελέχθαι. 6. Νυνὶ δ' ἂν πάνυ δέον τελοίη, εἰ κατὰ μέθοδον ἐντεῦθέν ποθεν ἀρξαίμεθα τῶν περὶ διαγνώσεως οὔρων λόγον. 7. Ἐπεὶ δ' ὥσπερ ἀπό τινος σταθμης ἢ κανόνος τοῦ ἐν πᾶσι συμμέτρου τε καὶ κατὰ φύσιν οὔρου

τὰς τῶν παθῶν εἰδέναι διαγνώσεις διαπέφυκε, χρεὼν ἂν εἴη περὶ τοῦ κατὰ φύσιν οὔρου πρώτως εἰπεῖν καὶ συμμέτρως, εἶθ' οὕτως καὶ περὶ τῶν ἀπεοικότων τῷ συμμέτρῳ, καθ' οἷον δήτινα λόγον. 8. Ἀλλ' ἐπειδήπερ οὔτε τοῖς πᾶσιν αἱ αὐταὶ τυγχάνουσι κράσεις καὶ ἡλικίαι, οὔτε ταὐτὰ γυμνάσια καὶ τροφαί, οὔτε μὴν ὧραι καὶ χῶραι αἱ αὐταί, καὶ τἄλλα, ὅσα ἀλλοιοῦν τὸ σῶμα πεφύκασιν, ἀποχρῶσαν οἶμαι λαβεῖν τὸν λόγον τῆς μεθόδου συνθήκην, εἰ καὶ περὶ τούτων φαίην καθ' ἕκαστον, καὶ ταῦτα μέντ' ἂν ῥηθείη μετ' οὐ πολύ, τοῦ πράγματος ἀπαιτήσαντος. 9. Νυνὶ δ' ἂν εἴη προσῆκον, τὸν ἐν πᾶσι κατασκευάσαι σύμμετρον ἄνθρωπον, εἶθ' οὕτως ἐπιθεῖναι τοῦτο τὸ κατὰ φύσιν οὖρον. 10. Τῷ γὰρ εἰδότι, ὁποῖον εἴη τὸ κατὰ φύσιν οὖρον τῷ κατὰ πάντα συμμέτρῳ ἀνθρώπῳ, ὥσπερ ἀπ' ἐκείνου ἠργμένῳ, ἔσται καὶ τὰς ἐκεῖθεν συνιέναι τροπάς, ὥστε καὶ τὰς ἐπὶ τούτοις ῥᾳδίως ἀποφαίνεσθαι διαγνώσεις, καθὼς ἂν ὁ λόγος προβαίνων ἐξείπῃ σαφέστατα. 11. Κανὼν μὲν γὰρ καὶ στάθμη τά τε κάμπυλα καὶ λοξὰ καὶ διεστραμμένα τῶν ξύλων παριστῶσιν ἁρμοσθέντες, οὖρον δὲ ἐν πᾶσι σύμμετρον τὰς ἀπὸ τούτου κατὰ τὸ μᾶλλόν τε καὶ ἧττον ἐκτροπὰς ὑποφαίνει.

### Κεφ. δ'. Περὶ διαγνώσεως τοῦ κατὰ πάντα συμμέτρου οὔρου.

1. Ἔστω δὴ τοίνυν ἀνὴρ ἀκριβῶς ὑγιαίνων, ἀκμάζων τῇ ἡλικίᾳ, τῇ πάσῃ κράσει τοῦ σώματος σύμμετρος, χρώμενός τε τροφαῖς εὐχύμοις τε καὶ συμμέτροις καὶ γυμνασίοις μήτε ἐνδέουσι μήτε ὑπερβάλλουσιν, ἐν χώρᾳ τε καὶ ὥρᾳ συμμέτρῳ, καὶ ἁπλῶς φάναι τοῖς πᾶσιν ἔστω συμμετρία ἡ ἄμεσός τε καὶ ἄτμητος. 2. Τῷ τοιούτῳ οὐροῖτ' ἂν οὖρον τῇ μὲν χροιᾷ ὑπόπυρρον ἢ ὑπόξανθον, τῇ δὲ συστάσει σύμμετρον καὶ ἀναλογίαν ἔχον τῇ τοῦ πινομένου ποσότητι, οὔτε πομφολύγων ἐπινηχομένων, οὔθ' οἵων δήτινων ἑτέρων. 3. Ὑφιζανέτω δὲ τῇ ἀμίδι, ἀλλὰ μὴ προσισχέσθω ὑπόστασις λευκὴ καὶ λεία καὶ ὁμαλή, πάντῃ ἑαυτῇ ὁμοία, μή τινων συμπεπλεγμένων ταύταις ἐμφερομένων θριξὶ καὶ ψήγμασιν ἐοικότων καί τισι παραπλησίοις εἴδεσι. 4. Τὸ τοιοῦτον οὖρον ἄριστόν τε καὶ κατὰ

πάντα σύμμετρόν τε καὶ ὑγιές· καθ' ὅτι δ' ἂν τούτων ἐνδέῃ, λείποιτ' ἂν πάντῃ καὶ τῆς ἀκραιφνοῦς ὑγείας. 5. Καὶ ὑγείας μὲν πολὺ πάντως ὡς ἴσμεν πλάτος καί τινα εἰκότα τῶν ἀπαγορευθέντων ἐπὶ τῷ τῶν οὔρων κανόνι ἐπὶ τοῖς τῶν ἁπλῶς ὑγιαινόντων οὔροις φαίνοιτ' ἄν. 6. Ἀλλ' ὁ λόγος νῦν οὐ περὶ τῆς κατὰ πλάτος ἐπινοουμένης ὑγείας διέξεισιν, ἀλλὰ τῆς οἷον ἀμέμπτου πάντῃ καὶ ἀκραιφνοῦς. αὐτῆς γὰρ οἷον διαζωγραφηθείσης τῷ λόγῳ, ὁπόσον τις τῆς ἀρίστης ταύτης ὑγείας λείπεται, γνοίης ἂν ἀσφαλέστατα. 7. Ἐπεὶ οὖν δέδεικται, ὁποῖον οὖρον ἐν τοῖς εὐκράτοις καὶ κατὰ πάντα συμμέτρως ἔχουσι, προσῆκον ἂν εἴη ὥσπερ ἀπό τινος ἀσφαλοῦς σημείου ἡμᾶς ἠργμένους τοῦ ἐν πᾶσι δηλονότι συμμέτρου ἀφίστασθαι κατὰ βραχύ, ἵν' ὅπως ταῖς ἀποστάσεσι τὰ μέτρα τῶν νοσημάτων ἔχοιεν κρίνειν τε καὶ διαγινώσκειν δεόντως, ὅσοις ἂν ἄρα τοῦτ' ἔργον γένηται.

### Κεφ. ε'. Περὶ διαγνώσεως τῶν κατὰ γένη καὶ ἡλικίας οὔρων.

1. Καὶ δὴ περί τε τῶν κατὰ τὰς ἡλικίας καὶ γένη καὶ φυσικάς τινας δυσκρασίας καὶ γυμνασία καὶ προσέτι ὥρας τε καὶ χώρας καὶ διαίτας εἰπόντες, εἶθ' οὕτως καὶ περὶ τῶν ἑκάστῳ συμβαινόντων τῶν γενικῶν νοσημάτων ἐροῦμεν προσδιορισάμενοι τούτων ὅσα τά τε χρώματα καὶ αἱ συστάσεις καὶ τὰ παρυφιστάμενα καὶ τὰ ἐν τούτοις τεθεωρημένα βούλεται. 2. Ἀνδρῶν οὖν εὐκράτως ἐχόντων καὶ ἀκμαζόντων οὖρα ὑπόπυρρά τε καὶ ὑπόξανθα ἤδη καὶ συμμέτρως ἔχοντα καθ' ὑπόστασίν τε καὶ σύστασιν, γερόντων δ' ἤδη λεπτὰ καὶ λευκὰ καὶ βραχυτέρας ἔχοντα ὑποστάσεις καὶ πρὸς τὸ ὠμὸν ἰούσας. μικρῶν παίδων ὀλίγον μὲν τῶν ὑποπύρρων τε καὶ ὑποξάνθων δέουσι, τῇ δὲ συστάσει μικροῦ δεῖν καὶ τῶν ἀκμαζόντων ὑπερβάλλουσιν, ἀθρόας τε τὰς ὑποστάσεις ἔχουσι. 3. Καὶ ὅσῳ μὲν ταῖς ἡλικίαις οἱ παῖδες προβαίνουσι, τὰ μὲν χρώματα ἐπιτείνεται τῶν οὔρων, τῶν δὲ ὑποστάσεων ὑφαιρεῖται τὸ πλῆθος. εἰς ἀκμὴν δὲ ἰόντων τά τε χρώματα προβαίνειν τοῦ ὑποπύρρου πλέον παύονται, αἱ θ' ὑποστάσεις ἐν τῷ συμμέτρῳ ποσῷ γίνονται. 4. Καθ' ὅσον

δ' ἂν παρακμάζωσιν αἱ ἡλικίαι, καὶ ταῦτα τοῦ τοιούτου χρώματος ἀφίστανται πρὸς τὸ λευκότερον προϊόντα καὶ αἱ ὑποστάσεις μείους τε καὶ ἀμαυρότεραι γίνονται καὶ ἡλικιῶν μὲν τοιαῦτα οὖρα συνελόντα φαίνεται φάναι. 5. Γυναικῶν δὲ ἀκμαζουσῶν τε καὶ εὐκράτως ἐχουσῶν οὖρα ἐνδέοντα πολλῷ φαίνεται τοῦθ' ὑποπύῤῥου καὶ ὑποξάνθου πρὸς τὸ λευκὸν ἰόντα· ὑπόλεπτοί τε τούτοις αἱ συστάσεις, ἀθροωτέρας γε μὴν ἔχοντα φαίνεται τὰς ὑποστάσεις τῶν ἀνδρῶν. 6. Τάς γε μὴν διαφορὰς αὐτῶν ἐπὶ ταῖς τῶν ἡλικιῶν διαφοραῖς μαθεῖν ἐστιν ἀσφαλῶς ἐκ τῶν προσεχῶς ῥηθέντων. 7. Ἐπὶ τούτοις θέμις εἰπεῖν, οἷα διὰ τὰς φυσικάς τε καὶ κατὰ πάθος ἐπισυμβέβηκε δυσκρασίας. 8. Καὶ δὴ δυοῖν μὲν οὔσαιν ταῖν παθητικαῖν ποιοτήταιν, δυοῖν δ' αὖ ταῖν δραστικαῖν τε καὶ ποιητικαῖν, ὑγρότης μὲν καὶ ξηρότης, παθητικαὶ τελοῦσαι, πλεονάσασαι βραχύ τι ἂν ἀλλοιώσαιεν μόναι, θερμότης δὲ καὶ ψυχρότης τὰ μάλιστα, καὶ ὑγρότης μὲν πλεονάσασα ἀμβλύνειεν ἂν τὴν κατὰ φύσιν χροιὰν τοῦ οὔρου, ἐπιτείνειε δὲ τὸ πλῆθος, τραχύνοιτο δ' ἂν καὶ ἡ ἐπιφάνεια τούτου. 9. Αἱ δ' ὑποστάσεις πλείους τε καὶ ἐνωμότεραι φανεῖεν ἄν. ξηρότης δὲ τοῦ τε κατὰ τὸ χύμα καὶ παρυφισταμένου ὑφαιρεῖται ποσοῦ καὶ διαφάνειάν τινα ὧδε πλείω καὶ στιλπνότητα κέκτηται τὰ χρώματα σύμμετρα πεφυκότα αἵ τε ὑποστάσεις τούτοις τἄλλα σύμμετροι καί πως παχύτεραι τῇ συστάσει. 10. Καὶ θερμότης μὲν οὖν βραχύ τι μὲν ἐκστᾶσα τοῦ δέοντος ὑπόπυῤῥά τε καὶ ὑπόξανθα ἔτι ἀποδίδωσι ταῦτα, ἐπιταθεῖσα δ' ἤδη πυῤῥά τε καὶ ξανθά, ταῖς δέ συστάσεσιν ὑπερεκπίπτουσιν οἷον καὶ τὸ σύμμετρον, καί τις δ' αὐτοῖς ἐπιλάμπει στιλβηδὼν μετρία, ταῖς δ' ὑποστάσεσι συμμέτρως ἔχοντα φαίνεται τῷ λόγῳ τοῦ ποσοῦ, ἀφαιροῦνται δ' ἔτι καὶ τῆς συνήθους λεπτότητος. 11. Ψυχρότης δ' αὖ πρός τε τὰ λευκὰ τῶν χρωμάτων ποιεῖ χωρεῖν τὰ οὖρα καὶ τῆς συμμέτρου λείπεσθαι συστάσεως, προϊούσης δὲ τῆς ψύξεως ἤτοι ἔτι λεπτύνεται ἢ τοὐναντίον πάσχει παχυνόμενά τε καὶ ἀναθολούμενα, τούτοις ἢ πάνυ ἀμυδραί τε καὶ βραχεῖαι αἱ ὑποστάσεις ἢ πλείους μέν, ἀνωμάλῳ μέντοι ἔνεισι καὶ ἔνωμοι. 12. Καὶ οὔρων

μὲν ἰδίαι τοιαῦταί τινες κατὰ τὰς ἁπλᾶς πεφύκασι δυσκρασίας· σὺ δ' ἂν ἴσως τῷ λόγῳ ποδηγούμενος ἐντεῦθεν ἐπινοήσαις ῥᾳδίως καὶ τὰ ἐκ τῶν συνδυαζομένων δυσκρασιῶν γενόμενά τε καὶ φαινόμενα οὖρα. 13. Ὁποῖα δὲ τοῖς τε πολλὰ καὶ ὑπὲρ τὴν δύναμιν γυμναζομένοις γυμνάσια ἐπιφαίνεται, καὶ οἷα δ' αὖ τοῖς νωθρὸν καὶ ἥσυχον μετιοῦσι βίον νῦν ἂν εἴη λέξαι καιρός.

Κεφ. ϛ΄. Διάγνωσις τῶν κατὰ τὰ γυμνάσια καὶ ἀνέσεις οὔρων.

1. Καὶ δὴ τοῖς μὲν πλέον κεκμηκόσιν ἢ δεῖ γυμναζομένοις τά τε οὖρα ὑπόξανθα καὶ πρὸς τὸ ξανθὸν αὐτὸ χωροῦντα φαίνεται χρῶμα, αἱ θ' ὑποστάσεις πάνυ τι τούτοις βραχεῖαι καὶ λεπταί· ἀλλοιοῖντο δ' ἂν ἴσως καὶ κατὰ τὴν χροιὰν αὗται. 2. Ἐνίοτε γε μὴν καί τινα συντήγματα ἐπινήχεται τούτοις, πάνυ τἀνθρώπου κεκμηκότος, εἴ που καί τι ἕτερον εἴη συνεργὸν αἴτιον, ἀλλὰ τοιοῦτο μὲν ὀφθέν, τάχ' ἂν καὶ ἀρχή τις εἴη νοσήματος. 3. Ἡμῖν δὲ οὐκέτι πρόσθεσις περὶ τοιούτων οὔρων φάναι· τοῖς γε μὴν ἀργὸν καὶ ἥσυχον βίον ἔχουσι τά τε οὖρα πρὸς τὸ λευκὸν χωροίη ἄν, αἱ θ' ὑποστάσεις πλείους ἂν ὀφθεῖεν καὶ παχύτεραι καὶ τραχύτεραι. 4. Ταῦτα μὲν ἀρκούντως ὧδ' ἂν ἴσως ἔχοι· περὶ δὲ τῶν κατὰ τὰς ὥρας τε καὶ χώρας μεταβολὰς ἐπιφαινομένων τοῖς ἀνθρώποις οὔρων, ὧδε ἂν εἴη φάναι προσῆκον.

Κεφ. ζ΄. Διάγνωσις τῶν κατὰ τὰς ὥρας καὶ χώρας οὔρων.

1. Ἔαρος τοίνυν ὁπόσον ἂν ὁ καιρὸς προΐῃ ἐπὶ τὸ θερμότερον, τά τε χρώματα τῶν οὔρων τῶν ὑπώχρων καὶ ὠχρῶν ἀφιστάμενα πρὸς τὸ ὑπόπυρρον χωρεῖ καὶ ὑπόξανθον· καὶ τῆς ἀμετρίας φευγούσης τῶν συστάσεων ἀποκαθίστανται πρὸς ὃ κατὰ φύσιν ἢ σύμμετρον· αἵ θ' ὑποστάσεις τούτοις ἀπὸ τοῦ παχεῖαι εἶναι λεπτύνεσθαί τε ἄρχονται καὶ πρὸς τὸ σύμμετρον χωροῦσι· τά γε μὴν ποσὰ τῶν χυμάτων καὶ πλείω τῶν ἐξ ἀναλογίας τυγχάνουσιν. 2. Ἀλλ' ἐπειδὰν θέρος μὲν ἤδη ἄρχηται, παρῴχηκε δὲ τὸ ψυχρότερον, ὑπόπυρρα καὶ ὑπόξανθα τὰ οὖρα φαίνεται καὶ σύμμετρα ταῖς συστάσεσιν, αἱ δὲ ὑποστάσεις τούτοις

ἤδη καὶ λεπτότεραι ἄρχονται φαίνεσθαι τοῦ συμμέτρου, ἔτι λευκαὶ καὶ λεῖαι καὶ ὁμαλαὶ τυγχάνουσαι. 3. Προϊόντος δ' ἔτι τοῦ θέρους καὶ πρὸς τὸ ἀκμαῖον ἤδη χωρήσαντος, μείω μὲν τῷ ἐξ ἀναλογίας χρόνῳ τὰ ποσὰ φαίνεται, αἱ δὲ ὑποστάσεις τούτοις ἂν ἤδη μὲν ἀφαιροῦνται καὶ τὴν κατὰ φύσιν λευκότητα πρὸς τὸ ὕπωχρον οἷον χωροῦσαι μείους τε πολλῷ καὶ λεπτότεραι φαίνονται· λεπτότης δὲ μετά τινος ἐπιλάμπει τοῖς οὔροις στιλπνότητος, ἤδη καὶ αὐτὴ πρὸς τὸ ξανθόν τε ῥέπουσα καὶ πυρρόν. 4. Ὁπόταν μέντοι τὸ φθινόπωρον ἥκῃ, τὰ μὲν χρώματα ἤδη αὖθις ἀντιστρέφεται πρὸς τὸ σύμμετρον, ἡ δὲ στιλπνότης ἔτι καὶ πρὸς τούτοις ἡ λεπτότης μένει, αἵ θ' ὑποστάσεις ἀμαυραὶ μὲν ἔτι καὶ βραχεῖαι, λευκαὶ δὲ καὶ λεῖαι καὶ ὁμαλαί. 5. Προϊόντος δὲ τοῦ φθινοπώρου πρὸς τὸ κατὰ πάντα σύμμετρον χωρεῖ τὰ οὖρα. 6. Περὶ δὲ χειμερινὰς τροπὰς ἤδη τοῦ ἡλίου γεγονότος, κατὰ μὲν τὸ ποσὸν ἀναλογώτερον ἴσως ἀποδίδοται τὰ οὖρα· τὰ δέ γε χρώματα τούτοις ἰόντα φαίνεται πρὸς τὸ λευκὸν τοῦ χρώματος, αἵ θ' ὑποστάσεις πλείους τε καὶ ἔτι σύμμετροι κατὰ τὰ ἄλλα. 7. Προήκοντος δὲ τοῦ χειμῶνος αἱ μὲν συστάσεις ἀνώμαλοι φαίνονται καὶ λευκὰ τὰ χρώματα ἤδη, τὰ δὲ ποσὰ τοῦ χύματος καὶ πλείω τῶν ἐξ ἀναλογίας, παρυφιστάμενα τούτοις πλείω ἅμα καὶ ἔνωμα. 8. Ἐπειδὰν δ' ἤδη ἰσημερία ἐαρινὴ ᾖ, ἀνίεταί γε ταῦτα καὶ χωρεῖν ἐπείγεται πρὸς τὸ σύμμετρον. 9. Καὶ περὶ μὲν τῶν κατὰ τὰς ὥρας ἐπιφαινομένων οὔρων μαθεῖν ἔστιν ἐντεῦθεν· τὰ δὲ κατὰ τὰς χώρας ἀναλόγως ἔχει ταῖς ὥραις καὶ δεῖ τὸν συνετὸν παραβάλλοντα ἐκ τῶν κατὰ τὰς ὥρας ῥηθέντων στοχάζεσθαι καὶ τὰ ἐπὶ τοῖς διαφόροις τῶν τόπων ταῖς ὥραις ἀναλογοῦντα. 10. Τροφαὶ δὲ καὶ δίαιται θερμότεραι ἢ ψυχρότεραι καὶ ξηρότεραι ἢ ὑγρότεραι τοιαῦτα ἂν οὖρα τῷ χρόνῳ ποιήσαιεν, οἷα καὶ αἱ ῥηθεῖσαι δυσκρασίαι, εὐπέπτων δὲ καὶ εὐχύμων τροφῶν προσφοραί, τοιαῦτ' ἂν οὖρα ποιήσειεν οἷα καὶ ἐν εὐκράτοις τῇ κράσει γίνεται. 11. Δυσπέπτων δὲ καὶ κακοχύμων ἀνώμαλα παντοίως καὶ μείω μὲν καὶ διάφορα ταῖς συστάσεσι τὰ ἐπὶ τοῖς κακοχύμοις σιτίοις. 12. Καὶ περὶ μὲν τῶν κατὰ τὰς ἡλικίας τε

καὶ γένη δυσκρασίας τε καὶ χώρας καὶ ὥρας καὶ διαίτας φαινομένων οὔρων ἱκανῶς ἂν ἔχῃς κἀκ τούτων διαγινώσκειν.

*Κεφ. η'. Διάγνωσις τῶν κατὰ τοὺς ὕπνους καὶ ἀγρυπνίας οὔρων.*

1. Ὑπνηλῶν γε μὴν οὖρα κατὰ πάθος καὶ μὴ κατὰ φύσιν τῷ μὲν χρώματι πρὸς τὸ λευκὸν ἀπέστραπται, τῇ δὲ συστάσει εἴς τε τὸ ὑπόλεπτον καὶ παχύ. τὰ δὲ παρυφιστάμενα τούτοις πλείω τε καὶ ἔνωμα. 2. Τῶν δὲ φύσει ὑπνηλῶν ἧττον μὲν λευκά, ἤδη γὰρ ὠχρὰ τῇ συστάσει χωρεῖ πρὸς τὸ σύμμετρον, παρυφιστάμενα δὲ τούτοις πλείω τε καὶ ἀκριβῶς πεπεμμένα. 3. Ἀγρυπνούντων δὲ οὖρα, φύσει μὲν τοῦτο ἐχόντων, βραχύ τι ἂν καὶ ἀσαφὲς διαλλάξαιεν· πεπονθότων δὲ ὑφ' οἵας δήτινος αἰτίας τοῦτο, ταῖς μὲν ἀρχαῖς βραχύ τι ἂν διαλλάξαιεν τῇ τε συστάσει καὶ τοῖς χρώμασι καὶ τοῖς παρυφισταμένοις. 4. Προϊόντος δὲ τοῦ χρόνου διασκεδασθείη τε καὶ ἔτι ἐκλείψει, τὰ παρυφιστάμενα λεπτύνοιτο δ' αὖ κατὰ βραχὺ τὰ χύματα προχωροῦντα πρὸς τὸ λεπτότερον. 5. Τὰ δὲ χρώματα ἢ πρὸς τὸ λευκὸν καὶ ὑδατῶδες τούτοις χωρήσει, ἢ πρὸς τὸ πυρρόν τε καὶ ξανθίζον, ἐλαιῶδές τε καὶ μέλαν κατὰ τὴν τῆς αἰτίας οἰκειότητα. 6. Καὶ πλείω μὲν ἐδηδοκότων καὶ ἀπεπτησάντων λεπτά τε καὶ λευκὰ καί ποτε ἀνυπόστατα, χρονισάντων δὲ ταῖς ἀπεψίαις ἀνώμαλα ταῖς τε συστάσεσι καὶ τοῖς παρυφισταμένοις.

*Κεφ. θ'. Διάγνωσις τῶν κατὰ τὰς ἀδδηφαγίας καὶ λιμοὺς οὔρων.*

1. Ἀσιτησάντων δὲ οὖρα πυρρὰ ἤδη καὶ ξανθὰ καὶ λεπτὰ φαίνεται καὶ τὰς ὑποστάσεις ἔχοντα βραχυτέρας· λιμῷ δὲ πιεζομένων λευκὰ καὶ λεπτὰ καὶ ἀνυπόστατα μετά τινος στιλπνότητος· ἀλλ' ὁ μὲν περὶ τούτων λόγος ὧδε κείσθω. 2. Ἑξῆς δ' ἂν εἴη θέμις φάναι περί τε τοῦ ποσοῦ τοῦ χύματος καὶ τοῦ χρώματος καθ' ἕκαστα, ἔτι δὲ συστάσεως καὶ παρυφισταμένου καὶ τῶν ἐπινηχομένων τῇ ἐπιφανείᾳ, ἵν' ἑκάστου ῥηθέντος καὶ τίσι μάλιστα τῶν διαθέσεων αὐτῶν ἕκαστον ἕπεται, τὸ διαγινώσκειν ἀσφαλῶς ἐγγίνηται τοῖς περὶ τὰ τοιαῦτα σπουδαίοις. 3. Καὶ πρῶτα

μὲν ὧδε ῥητέον περὶ πλήθους καὶ ὀλιγότητος τοῦ χύματος, εἶθ' οὕτως καὶ περὶ τῶν ἐν τούτοις συμβαινουσῶν ἀλλοιώσεων. 4. Ἐπειδὴ γὰρ τοῖς μὲν ἀκριβῶς ὑγιαίνουσιν ἀναλογίαν τινὰ πρὸς τὰ πινόμενα σώζει τὰ διουρούμενα, ἀλλοίωσιν δέ τινα γεγονέναι τῶν ἐντὸς σημαίνει ἢ μείζω ἢ ἐλάττω, κἂν θ' ὑπερβάλλοιεν πολλῷ τὴν ἀναλογίαν, κἄν τε πολλῷ ταύτης ἐνδέοιεν, χρεὼν ἂν εἴη περὶ τοῦ κατὰ τὴν ποσότητα τοῦ χύματος φάναι γένους.

Κεφ. ι'. Διάγνωσις τῶν κατὰ τὴν ὀλιγότητα καὶ πλῆθος τοῦ χύματος.

1. Καὶ δὴ πλείω ὀφθέντα οὖρα τοῖς μὲν ὑγιαίνουσι πλείω προσενέγκασθαι πόσιν δηλοῖ καὶ μάλιστα ἣν ἐξίτηλος ὁ οἶνος ἢ καὶ τὰ χρώματα πρὸς τὸ λευκότερον ὧδε μεθίσταται, καὶ αἱ συστάσεις πρὸς τὸ λεπτότερον, τὰ δὲ παρυφιστάμενα λεπτά τε καὶ ἀνώμαλα, καὶ οὐ λεῖα. 2. Ἀλλὰ δὴ καὶ ἐγκειμένων ὠμοτέρων χυμῶν καὶ πεφθέντων, ἐπιρρωσθείσης πως τῆς φύσεως πλείω τε καὶ ὑπόλεπτα ἐκκρίνεται οὖρα, ἧττον μὴν τῶν ῥηθέντων λευκὰ καὶ ἀμείνω δὲ τούτοις τὰ παρυφιστάμενα. 3. Πλείω γε μέντοι φαίνοιτ' ἂν τὰ οὖρα κἀπὶ τῶν μείω διαχωρούντων διά τινα τῆς κοιλίας φυσικὴν διάθεσιν· ταῦτα δὲ τοῖς μὲν χρώμασι σύμμετρα, πλείω δὲ καὶ παχυτέραν τὴν ὑπόστασιν κέκτηνται, χωρήσει δ' ἂν καὶ διὰ φάρμακα διουρητικὰ τὰ οὖρα πλείω, ἃ τὸ μὲν κατὰ φύσιν χρῶμα μᾶλλον τοῦ προτέρου τηρήσει, τὴν δὲ ὑπόστασιν λεπτοτέραν ἀποφανεῖται, στιλβηδὼν δέ τις ἐπιλάμψει τῷ χύματι. 4. Καὶ ταῦτα μὲν ὡς ἐπὶ τῶν μετρίως ὑγιαινόντων εἴρηται· ἐπὶ δὲ τῶν νοσησάντων οὕτως ἔχει. 5. Πλείω οὖρα πρόεισιν ἐπὶ τοῦ διψακοῦ μὲν ἀπὸ τοῦ συμβαίνοντος πάθους ὀνομαζομένου· διαβήτου δὲ καὶ διαρροίας οὔρου εἰς ἀμίδα ἀπὸ τῆς παχύτητος κενώσεως λευκὰ πέφυκε καὶ λεπτὰ καὶ ἀνυπόστατα. 6. Κἀκεῖνο δὲ εἰδέναι χρεὼν ὡς ἐνίοτε ἐπὶ ταῖς κρίσεσι τῶν νοσημάτων οὔρων πλῆθος ἐκκρίνεται λευκοτέρων τε καὶ λεπτοτέρων καὶ μετρίας ἐχόντων τὰς ὑποστάσεις, μάλιστα παχυτέρων τε καὶ θρομβοειδῶν οὔρων ἡγησαμένων. 7. Τοῖς δὲ ἁλοῦσιν ὕδρωπος πάθει πλείω μὲν τοῦ συμμέτρου καὶ ὑδατώδη, ὠμὰς δὲ καὶ ἀνω-

*μάλους ἔχοντα τὰς ὑποστάσεις.* 8. *Τά γε μὴν πυρρὰ καὶ ὑπέρυθρα ἢ τισι παραπλησίοις χρώμασι καταβαφέντα καὶ πλείω ἰόντα μέμφεσθαι δεῖ καὶ μᾶλλον εἰ μὴ σὺν ἀγαθοῖς παρυφισταμένοις πρόεισιν· ἂν δέ γε οἰνωπὰ καὶ κυανὰ κατὰ τὰ χρώματα εἴη καὶ πλείω προΐοι καὶ μάλιστα μὴ πέψεώς τινος προηγησαμένης, ἔτι χεῖρω καὶ νέκρωσίν τινα καὶ σύντηξιν ὑποφαίνει τῆς καθόλου διαρτίας τοῦ σώματος.* 9. *Καὶ περὶ μὲν τῶν ὑπερβαλλόντων τῷ πλήθει οὔρων τοσαῦτά ἐστιν εἰπεῖν· ἐλάττω δὲ τῶν κατ' ἀναλογίαν συμμέτρων ἰόντα διὰ τἀναντία τούτων γενήσεται.* 10. *Ἥ τε γὰρ ξηροτέρα δίαιτα ὀλίγα ἂν τὰ οὖρα ποιήσαιεν καὶ ὑπόξανθα καὶ ἐλάττους ἔχοντα τὰς ὑποστάσεις καί πως τῶν συμμέτρων παχυτέρας· τά τε ἐμπλαστικὰ καὶ ἐμφρακτικὰ τῶν προσαρμάτων τε καὶ φαρμάκων ὀλίγα μὲν καὶ ταῦτα παρασκευάσει χωρῆσαι τὰ οὖρα, λεπτὰς δὲ καὶ ὀλίγας τὰς ὑποστάσεις.* 11. *Ἃ δὲ διὰ πλείονα τοῦ συμμέτρου κένωσιν τῆς γαστρός, ἧττω τῆς ἀναλογίας φαίνεται, πρὸς τὸ λευκότερον μὲν ἂν χωροίη, πάνυ δὲ ἀσαφεῖς ἕξει τὰς ὑποστάσεις καὶ λεπτὰς καὶ οὐ λείας.* 12. *Ἃ μέν τοι εἴη διὰ πάχος ἢ πλῆθος χυμῶν ἀπέπτων ὀλίγα, λευκὰ μὲν ἂν ὀφθείη καὶ λεπτὰ καὶ ἀνυπόστατα, ἔστι δ' ὅτε καὶ παχέα, ὠμοτέρας ἔχοντα τὰς ὑποστάσεις καὶ οὐ λείας.* 13. *Ὀλίγα δ' ἂν ὑποχωρήσει καὶ διὰ τὴν τοῦ πυρετοῦ σφοδρότητα καὶ τὰ χρώματα δ' αὐτὰ σημανεῖ σοι τὴν τοῦ τοιούτου πυρετοῦ ποσότητα.* 14. *Ἃ δ' ὀλίγα ἰόντα φαίνεται διά τινα τῶν οὐρητικῶν ἀγγείων διάθεσιν, αἵ τε τοπικαὶ ὀδύναι φαῖεν ἂν καὶ τὰ ἐν τοῖς οὔροις παρυφιστάμενα, περὶ ὧν ἂν εἴποιμεν τοῦ λόγου προϊόντος· νῦν δὲ περὶ ἑκάστου χρώματος τὰ ἐνδεχόμενα λέξομεν.* 15. *Τῆς τοίνυν περὶ τὰ χρώματα διαγνώσεως πολυσχεδοῦς τινος οὔσης, ἅτε μὴ πάντων τῶν φαινομένων χρωμάτων ὀνόμασί τισι διωρισμένων, ἀλλὰ τῶν μὲν γενικωτέρων διωρισμένων, τῶν δὲ μέσων τε καὶ παραμέσων καὶ ἁπλῶς τῶν κατὰ εἶδος ὁποιωνδήτινων ἀμοιρησάντων ὀνομάτων οἰκείων, ἔργον μὲν ἂν εἴη καθ' ἕκαστον ἐξαγγέλλειν καὶ τῷ δυσπερίληπτον.* 16. *Τῷ δέ γε νοῦ μὲν τετυχηκότι ὀξέως, φύσεως δὲ ἐπιμελοῦς, πείρας δέ τινος βραχυτάτης, ῥα-*

*δίως ἂν συμπερανθείη κἀκ τῶν ῥηθέντων καὶ τὰ μὴ λεχθέντα.*

*Κεφ. ια΄. Περὶ διαγνώσεως τῶν λευκῶν οὔρων.*

1. *Καὶ δὴ τὰ λευκὰ τῶν χρωμάτων — ἀρκτέον γὰρ ἐκ τοῦ λευκοῦ — ἐπειδήπερ τῶν ἁπλῶν τοῦτο πέφυκεν, αὐτὸ μὲν τοῦτο δείκνυσιν ὡς οὐ καταδεξάντά τινα καταβαφὴν παρ᾽ οἱουδήτινος χρίσματος.* 2. *Τέτμηνται μέντοι εἰς πλείονα εἴδη τὴν κατὰ τὸ μᾶλλόν τε καὶ ἧττον διαφορὰν εἰσδεξάμενα.* 3. *Ἀλλὰ ὁποῖα μὲν καὶ πόσα ἐν τοῖς περὶ διαφορᾶς οὔρων λόγοις σαφέστερον εἴρηται, ὥστ᾽ οὐδὲ μηκύνειν αὖθις δεῖ τὸν περὶ τούτων λόγον ἱκανῶς ἐκεῖ ῥηθέντα. ἐπιθῶμεν δ᾽ ἤδη τῷ λόγῳ, ὅσα ταῦτα διαφαινόμενα σημαίνει.* 4. *Ἐπεὶ τοίνυν δέδεικται, ὁποῖον οὖρον σύμμετρον ἐν πᾶσι κατά τε χρῶμα, σύστασιν καὶ προσέτι παρυφιστάμενον, ὥσπερ ἀπό τινος ἀκριβοῦς σημείου, τὸν ἀγχίνουν χρεὼν σκοποῦντα ταῖς ἀποστάσεσι τούτων καταμετρεῖν τὰ νοσήματα.* 5. *Καὶ πέψεσι μὲν οὖν ἀκριβέσι τῶν ἐν τῷ σώματι χυμῶν τὸ καθῆκον λάμπει χρῶμα τοῖς χύμασιν. ἀπεψίαις δ᾽ αὖ ὠχρότης τε καὶ λευκότης καὶ ὅσα τούτοις παράμεσα χρώματα, πλὴν ἀλλὰ διορισάμενοι τῷ λόγῳ τὰς λευκότητας ἐπιθήσομεν ἑκάστῃ τὰ δέοντα.* 6. *Τὰ τοίνυν λευκὰ τῶν οὔρων τοῖς ὑγιαίνουσιν ἅπαξ μὲν ὀφθέντα πολυποσίαν οἴνου σημαίνει καὶ μάλιστα εἰ εἴη ὁ οἶνος ἐξίτηλος, ἐπιμαρτυρήσει δὲ καὶ τὸ πλῆθος τὴν διάγνωσιν.* 7. *Σύμμετρα δὲ εἰ τῷ ποσῷ τυγχάνει καὶ ὑπόστασιν ἀναλογοῦσαν ἔχει, ψυχράν τινα δυσκρασίαν σημανεῖ τοῦ ἥπατος· εἰ δ᾽ ἀμυδρά τις εἴη πάνυ καὶ ἀσαφὴς ὑπόστασις, αὐτὰ δὲ πάνυ λευκά, ἢ τὸ κατὰ φύσιν ἢ τὸ ἐκ νόσου γῆρας ἀποφανεῖεν ἄν, λευκὰ δ᾽ ὡσαύτως καὶ ἐπὶ τῶν ὑδροπιώντων προΐεται, ἀνωμάλως μέντοι καὶ ὠμὰς τὰς ὑποστάσεις ἔχοντα φαίνεται.* 8. *Οὐχ ἧττόν γε μὴν κἀπὶ τῶν ἐμφραξίν τινα πεπονθότων τῶν ἐντὸς σπλάγχνων καὶ νεφρῶν, προαχθείη ἂν οὖρα λεπτά τε καὶ λευκά, ἃ δ᾽ ἐπὶ πυρέσσουσιν ὀξέως λευκὰ προΐεται, τοῦ χρωννῦντος τοιαῦτα φαίνεται μεταστάντος χυμοῦ.* 9. *Σύμμετρα δὲ ταῦτα ἢ καὶ πλείω πρόεισι τοῦ προσή-*

*κοντος, ὁτὲ μὲν διασκεδασμένον καὶ λεπτὸν παρυφιστάμενον ἔχοντα, ὁτὲ δ' αὖ γονοειδὲς, καὶ φεῦγον τὸν τῆς ἀμίδος αὐτῆς πυθμένα, ἐνίοτε δὲ καὶ ἐπιλέλοιπε πάντα τούτου τὰ παρυφιστάμενα, οὐχ ἥκιστα δ' αὖ καὶ τὴν ἐπὶ γαστέρα ῥοπὴν λαβὼν ὁ χρωννὺς χυμὸς σφοδροτέραν, ταῦτα δὴ λευκὰ τῇ ἀπουσίᾳ παρασκευάσει γεγονέναι.* 10. *Καὶ τοῦτο μαθεῖν ἐστιν ἀπὸ τῶν διαχωρημάτων, ὥσπερ καὶ τοὐναντίον ἐνίοτε συμβαίνειν εἴωθε, κατακεχρωσμένων μὲν τῶν οὔρων φαινομένων, ἐκ λεύκων δὲ τῶν διαχωρημάτων.* 11. *Πολλάκις γὰρ εἰώθεσαν οἱ χυμοὶ τοιαύτης ἀφορμῆς τινος δραξάμενοι ῥοπὰς λαμβάνειν, καὶ εἰ συνελεῖν προσήκει τὸν πάντα λόγον, οὕτω πως ἐστὶ φάναι· τὰ λευκὰ τῶν οὔρων ἤτοι διὰ πάχος τε καὶ πλῆθος χυμῶν ὠμῶν γίνεται, ἢ δι' ἔμφραξίν τινα τῶν πόρων, ἢ διὰ πολυποσίαν ἢ διὰ ἀπεψίαν καὶ προσέτι τοῦ χρωννῦντος ἀποχώρησιν χυμοῦ, καὶ κατὰ φυσικὴν καὶ κατὰ πάθος ἐπὶ τούτοις ψυχρότητα καὶ ταῦτα μὲν πάνυ τε λευκὰ καὶ μετὰ λεπτῆς συνέρχεται τῆς συστάσεως, τὰ δέ γε μετὰ πάχους ἰόντα λευκὸν ἧττον μὲν ἐκείνων, πολὺν δ' ἐμφαίνει τὸν ὠμὸν χυμὸν ἀκμάζειν τοῖς σώμασιν.* 12. *Καὶ τὰ μὲν λευκὰ τῶν χρωμάτων τοιαῦτα μὲν σημήνειεν, καθόσον δ' ἐπιτέταται καὶ χείρω νομιζόμενα ἢ τῷ τῆς ὑγείας λόγῳ.*

*Κεφ. ιβ'. Περὶ διαγνώσεως τῶν ὑπώχρων καὶ ὠχρῶν οὔρων.*

1. *Τὰ δ' ὕπωχρά τε καὶ ὠχρὰ ἐπιφαινόμενα ἧττον μὲν τῶν ῥηθέντων τὴν ἀπεψίαν δείκνυσιν, ἐπιχειροῦσαν οἷον τὴν φύσιν φαίνοντα ταῖς πέψεσιν.* 2. *Ἄπεπτά γε μὴν καὶ ταῦτα φαίνεται παραβαλλόμενα τοῖς συμμέτροις καὶ τοσούτῳ λείπεται τῶν ὑγειῶν, ὅσῳ πεπλεονέκτηκε τῶν λευκῶν· τὰ μὲν γὰρ λευκὰ πρὸς τῷ λείπεσθαι συμμέτρου συστάσεως καὶ χρώματος ἀμοιρεῖ προσήκοντος.* 3. *Τὰ δ' αὖ βραχύ τι καὶ τοῦ χρώματος καὶ τῆς συστάσεως λείπεται, ὥστε ταῦτα μὲν ἐκ λευκῶν φαινόμενα τὴν πέψιν ἀναζωπυροῦσθαι σημαίνει· ἀπὸ δὲ συμμέτρου μᾶλλον πρὸς τὸ μεῖον χωρεῖν τὴν ἔμφυτον θερμότητα.* 4. *Καὶ τοιούτοις μὲν οὖσιν οὐχὶ ῥᾳδίως ἄν τι ὑποσταίη παρυφι-*

*στάμενον πεπεμμένον· τοῦ γὰρ ἀπέπτου χύματος ἄπεπτα καὶ τὰ παρυφιστάμενα.* 5. *Καὶ τὰ μὲν ὠχρὰ τῶν οὔρων οὕτω πως ἐνδεῖ τοῦ κατὰ φύσιν χρώματος καὶ [συστάσεως] συμμέτρου· καταβαφέντα γε μὴν πλέον καὶ σύστασιν εἰληφότα σύμμετρον τὰ ὑπόπυρρα ποιεῖ καὶ ὑπόξανθα τελείας μὲν ὄντα πέψεως χρώματα, ἀσφάλειαν δ' ὑγιεινὴν ὑπαγορεύοντα τελεῖν παντὶ τῷ σώματι.* 6. *Οὐδὲν δ' ἂν διενέγκῃ ἴσως εἰ δι' εἰκότα λόγον καὶ ἀμφότερα συνιέναι πέφυκε τοῖς συμμέτροις καὶ κατὰ φύσιν οὔροις.* 7. *Καὶ ἡ αἰτία πρόδηλος, οἶμαι. τοῖς μὲν γὰρ αἱματηροτέροις μᾶλλον κατὰ φύσιν τὰ ὑπόπυρρα πέφυκε. τοῖς δ' αὖ ξανθοχόλοις κατὰ φύσιν τὰ ὑπόξανθα, ὥσπερ αὖ τοῖς τε μελαγχολικοῖς καὶ φλεγματώδεσι δόξαιεν ἂν πρὸς τὸ λευκὸν ῥέπειν τὰ σύμμετρα.* 8. *Καὶ περὶ μὲν τῶν συμμέτρων χρωμάτων οὔ μοι καιρὸς νῦν ἐπεξιέναι εἰρηκότι πρότερον ἐν τῷ περὶ τῶν οὔρων κανόνι οὐ μόνον περὶ συμμέτρου καὶ κατὰ φύσιν χρώματος, ἀλλὰ καὶ συστάσεως καὶ παρυφισταμένου συμμέτρων, ὥστ' ἄρα λείπεται περὶ τῶν μετὰ τοῦτον φάναι χρωμάτων ἤδη μὲν ἀφισταμένων τοῦ συμμέτρου ὁποιανδήτινα δὲ διάθεσιν ὑπαγορευόντων.*

**Κεφ. ιγ'. *Περὶ διαγνώσεως πυρρῶν τε καὶ ξανθῶν οὔρων.***

1. *Πυρρὰ τοίνυν καὶ ξανθὰ δ' ἐπὶ τοῖς ῥηθεῖσι φαίνεται οὔροις ἐπίτασίν τινα τῆς παρὰ φύσιν θερμότητος ὑποφαίνοντα, ὑπόλεπτά γε μὴν ἢ καὶ τοῦ συμμέτρου παχύτερα, καὶ ἀνυπόστατα ἢ βραχύ τι πάνυ καὶ ἀσαφὲς τὸ παρυφιστάμενον ταῦτ' ἔχοντα φαίνεται.* 2. *Καὶ τὰ μὲν πυρρὰ ἐπίτασιν μᾶλλον δι' ὕλης ποσότητα σημαίνει θερμοτάτης ἢ ταύτης δηλονότι τῆς θερμότητος ἐπίτασιν δι' ὕλης ἔνδειαν· μᾶλλον δ' αὖ διὰ τοὐναντίον γίνεται τὰ ξανθά.* 3. *Τὰ μὲν γὰρ πυρρὰ διὰ πλείω προσφορὰν τροφῶν τε καὶ φαρμάκων δριμέων καὶ ζέσιν αἵματος ἐκ θυμοῦ καὶ δυσκρασίαν τινὰ ἔτι τὸ θερμότερον τῶν σπλαγχνῶν ἐπισυμβαίη ἂν καὶ διὰ παραπλησίαν τινὰ ἑτέραν διάθεσιν, ἐκεῖνα δ' αὖ διὰ λύπην καὶ φροντίδα καὶ ἀγρυπνίαν καὶ πρὸς τούτοις κόπον καὶ ἡλιοκαΐαν καὶ ἄλλ' ὅσα ξαν-*

θὴν μὲν ἐπισωρεύει λεπτὴν χολὴν τῷ σώματι, ἔνδειαν δέ τινα παρασκευάζει τῆς φυσικῆς ὑγρότητος.

*Κεφ. ιδ'. Περὶ διαγνώσεως ὑπερύθρων καὶ ἐρυθρῶν οὔρων.*

1. Ὑπέρυθρον ἐπὶ τούτοις οὖρον φαίνεται παχὺ μὲν ὡς ἐπὶ τὸ πλεῖστον, ἔστι δ' ὅτε καὶ λεπτὸν φαινόμενον· ἀλλὰ τὸ μὲν ἐρυθρᾶς μᾶλλον καταβαφὴν ὑπαγορεύει χολῆς καὶ οἶδεν ὅ τε λόγος καὶ ἡ πεῖρα τοιοῦτον εἶδος χολῆς, καὶ ῥηθείη ἂν ἴσως ἐν οἰκείῳ τόπῳ. 2. Τὸ δ' αὖ ὀρρώδους πλεονασμὸν αἵματος καὶ τὸ μὲν μᾶλλον σφοδροτέροις συναναφαίνεται πυρετοῖς, τὸ δ' αὖ διὰ τὴν τοῦ χυμοῦ συγγένειαν ἐπ' ἀσθενεστέροις, εἰ μή πού τις προσαποδοθεῖσα αἰτία κἀπὶ τούτου σφοδρότερον ἀνάψῃ τὸν πυρετόν. 3. Ὃ δ' ἐρυθρὸν ὁ λόγος μεμάθηκεν ὑπὸ τῶν αὐτῶν μὲν οἶδε τῷ ὑπερύθρῳ χυμῶν συνίστασθαι· τοσούτῳ δ' αὐτοὺς ἐπιταθέντας ἐδέξατο, ὅσῳ καὶ τὸ χρῶμα γέγονεν ἐπιδηλότερον. 4. Κἀκείνου δὲ μεμῆσθαι χρεών, ὡς φλεβός ποτε ῥαγείσης περὶ τὰ οὐρητικὰ ἀγγεῖα ἢ καὶ προσωτέρω καὶ τοῦ αἵματος τοῖς οὔροις ἀνακραθέντος, τοιοῦτο δὴ τὸ χρῶμα φαίνεται, προσεπιγνωσθείη δὲ τῇ τε τοπικῇ ὀδύνῃ καὶ τῇ προηγησαμένῃ αἰτίᾳ, πυοποιηθείη δ' ἂν οὕτω προϊόντος τοῦ χρόνου τὸ τραῦμα καὶ τῷ οὔρῳ συνδιαδοθέντος τοῦ πύου ἡ διάγνωσις ἀκριβωθείη τ' ἂν καὶ μαρτυρηθείη, ὥσπερ αὖ κἀπὶ τῶν διυλιζόντων τὸν ὀρρὸν ἀγγείων δι' οἵαν δήτινα αἰτίαν ὑπὲρ τὸ δέον πεπονθότων ἀραίωσιν, ἀλλ' οὐ ῥαγέντων, συνδιακρίνεται καὶ αἷμα μιγὲν τοῖς οὔροις. 5. Ἀλλ' ὧδε καί τις τῶν νεφρῶν καταγνωσθείη χαυνότης, τῶν δὲ οὔρων ἔποιτ' ἂν πλείων ἔκκρισις καὶ πλείων ἀτονία γένοιτ' ἂν τῷ ἀνθρώπῳ, καὶ μᾶλλον, εἰ μὴ τὰ ἐπὶ φλεβὸς ῥαγείσης φαίνοιτο σημεῖα, καὶ τὸ μὲν ὑπέρυθρον καὶ ἔρυθρον τοῦ χρώματος μέτριόν τι τὸ κακὸν ὑπαγορεύει, κἂν ὑφ' ὁποίου εἴη γεγονότα χυμοῦ, εἴπερ ὁ μὲν οἰκεῖος μᾶλλον πέφυκε τἀνθρώπῳ. 6. Ὁ δ' αὖ οὐ πάνυ πονηρὸς καθέστηκεν ἀπὸ τῆς τῶν χρωμάτων τεκμαιρομένων ἡμῶν οἰκειότητος.

### Κεφ. ιε΄. Περὶ διαγνώσεως οἰνωπῶν οὔρων.

1. Τοσούτῳ γε μὴν ἐπὶ τὸ χεῖρον τὸ οἰνωπὸν τοῦ χρώματος πρόεισιν, ὅσῳ λείπεται τοῦ ἐρυθροῦ τὸ ὑπέρυθρον· ἤδη γὰρ ὀπτᾶσθαι τοῦτο σημαίνει τὸν ἀγαθὸν χυμὸν καὶ μεθίστασθαι ἤτοι πρὸς ξανθὴν ἢ μέλαιναν χολήν, αἳ δὴ καὶ χείρω τῶν ὑπαρχόντων πάθη τελέουσι. 2. Κἂν μὲν οὖν ἐμφαίνοιτό τι τῶν ἀγαθῶν ὑποστάσεων, μέτριον ἂν οὕτω εἴη τὸ δεινὸν καί τις ἐλπὶς τὴν φύσιν τέως ἐπικρατήσειν. 3. Εἰ δ' ἤτοι δεινὰ τελεῖ τὰ παρυφιστάμενα ἢ τὴν ἀρχὴν μηδοτιοῦν παρυφίσταται, σκιαυγῆ δ' οἷον εἴη τὰ χρώματα, φαῦλα πάντως καὶ πολλῆς τῆς ῥώμης ἐπιδεόμενα πρὸς ἀνάκτησιν. 4. Τό γε μὴν ἐπὶ τῶν ὑγιαινόντων ἐξουρούμενον ἐνίοτε οἰνωπὸν πολλὰ δραμόντων ἢ μακρὰν ἰόντων ἐπιφαίνεται πορίαν, καί τινα δ' ἂν αὐτῷ τῶν ἀγαθῶν συνδράμοι σημείων.

### Κεφ. ις΄. Περὶ διαφορᾶς κυανῶν οὔρων.

1. Κυανοῦ δ' ὁποῖον μὲν τῷ εἴδει καθέστηκε, φθάσαντες εἰρήκαμεν ἐν τοῖς περὶ διαφορᾶς οὔρων· ὅ, τι δὲ βούλεται νῦν ἂν εἴη προσῆκον φάναι. 2. Τὸ τοίνυν τοιοῦτον οὐρόν φαμεν πολλῷ μὲν ὑποφαίνει λείπεσθαι τοῦ συμμέτρου, πολλῆς δ' ἔτι δεῖσθαι τῆς ῥώμης ἐς ἀγαθὴν τὴν μεταβολήν. 3. Καὶ ὥσπερ δῆτα τὸ οἰνωπὸν τοῦ χρώματος ὑπηγόρευε τὸν αἱματικὸν ὀπτᾶσθαι χυμόν, οὕτω νῦν τὸ τοιοῦτον, τὸν χολώδη χυμὸν συγκάεσθαι, ὥστ' εἰκότως ἂν καὶ ἴκτερον προδιασημανεῖται γενέσθαι τὸ τοιοῦτον ἐπιμεῖναν οὖρον. 4. Ὅτι δ' ἂν ἐπιγένηται τῷ ἰκτέρῳ εἴτε τοῦ ζῆν αὐτοῦ διαμάρτοι, τοῦ πάθους ἐπικρατήσαντος, εἴτε καὶ νίκη τῆς φύσεως προανακρουσθεῖσα δηλονότι ἐπὶ σημείοις πέψεως, ἐκ τοῦ προγνωστικοῦ μαθεῖν ἀκριβέστερον, ὃ δὴ μετὰ τὸ περὶ αἰτίας οὔρων γράψομεν, τοῦ θεοῦ διδόντος.

### Κεφ. ιζ΄. Περὶ διαγνώσεως χλωρῶν οὔρων.

1. Τὸ δὲ χλωρὸν τοῦ χρώματος δεινὸν μὲν γεγονὸς πολλοῦ δὲ χρόνου δεόμενον ἐς ἀγαθὴν τὴν μεταβολὴν καὶ τύχην ἀγαθῆς καὶ καρτερᾶς δυνάμεως, πρόχειρον δ' αὖ

ὅτι φαῦλον ἐπενεγκεῖν τῷ κάμνοντι. 2. Παρακρουστικὸν γὰρ τὸ τοιοῦτον καὶ μᾶλλον εἰ ἀνατεταραγμένων εἴη, ὅτι καὶ πόρρω που τοῦ ὑγιεινοῦ καθέστηκε χρώματος· ἐπὶ τοσοῦτον γὰρ ἐμφαίνει τὴν χολώδη τῶν λοιπῶν ἐπικρατεῖσθαι χυμῶν, καθόσον τὸ χρῶμα τῶν λοιπῶν χρωμάτων ἐς φαυλότητα διήλλαξεν. 3. Ἂν δὲ καὶ πλέον ὀπτηθῆναι τὸν τοιοῦτον γένηται χυμόν, τὸ μέλαν μὲν ἐπιγενήσεται χρῶμα· ὅ, τι δ' ἂν κἀκεῖνο βούλοιτο μετ' οὐ πολὺ ῥηθείη, ἐν οἷς ἂν εἴποιμεν περὶ τοῦ μέλανος χρώματος· νῦν δὲ τῶν λοιπῶν χρωμάτων ἁπτόμεθα.

Κεφ. ιη'. Περὶ διαγνώσεως ἐλαιωδῶν οὔρων.

1. Ἐπειδή τις ὁμοιότης τοῖς χρώμασι τοῖς ἐλαιώδεσι καὶ τῷ χλωρῷ πέφυκεν, ἐνταῦθ' ἂν εἴη θέμις καὶ περὶ τῶν ἐλαιωδῶν οὔρων φάναι. 2. Τὰ τοίνυν ἐλαιώδη τῶν οὔρων εἰς τρία μὲν ὑποδιαιροῦνται εἴδη, ἕκαστον δ' ἂν τοῦ οἰκείου τετύχηκεν ὀνόματος. 3. Τὰ μὲν γὰρ ἐλαιοφανῆ, τὰ δὲ ἐλαιόχροα κέκληται, τὰ δ' ἐπὶ τούτοις ὡσαύτως τῇ διαφορᾷ ἐλαιώδη. 4. Καὶ ὁποῖα μὲν ἕκαστον τούτων τῷ φαινομένῳ εἴδει ἡ περὶ διαφορᾶς εἴληχε πραγματεία τὰς δὲ διαγνώσεις νῦν χρεὼν ἐπιθεῖναι. 5. Ὅτι μὲν οὖν παρὰ φύσιν ταῦτα θερμότητος σύμβολα, καὶ αὐτὰ ἂν ἐπιμαρτυρήσῃ τὰ χρώματα. 6. Αἱ δέ ἐπιτάσεις τῶν πονηρῶν τούτων χρωμάτων τὰς διαφορὰς σοι σημανοῦσι τῆς παρὰ φύσιν θερμότητος καὶ δὴ ἐντεῦθεν διακριτέον τῷ λόγῳ τὰ εἴδη καὶ τὰς διαγνώσεις ἀποδοτέον τοῖς θέλουσι. 7. Τῆς τοίνυν πιμελῆς τηκομένης ὑπὸ τυφούσης ταύτην δηλονότι τῆς νόθου θερμότητος καὶ ἀρχῆς καὶ ἐπιδόσεως καὶ προσέτι ἀκμῆς ἐπιγεγενημένης τῷ πάθει τὰ τοιαδὶ τῶν οὔρων ἐπιφαίνεται· καὶ ἀρχῆς μὲν τὰ ἐλαιόχροα. 8. Οὔπω γὰρ ἀκριβῶς ὧδ' ἐχρώσθη τὰ οὖρα βραχείας ἔτι πιμελῆς τακείσης· τὰ δ' ἐλαιοφανῆ ἐπιδόσεως ἤδη τῆς συντήξεως μείζω χῶραν ἐχούσης. 9. Ἀλλ' ἐπειδὰν ἐς τἀκριβὲς ἡ πιμελὴ συντακῇ, ἐς ἐλαιώδη μὲν χροίαν τὰ οὖρα μεθίστησιν· ἀκμάζων δ' ὧδέ πῃ τὸ πάθος ὑποσημαίνει, τὸ ἐπὶ τῇ διόλου δηλαδὴ τῆς πιμελῆς συντήξει. 10. Ἐκεῖνό γε μὴν οὐκ ἐπιλελῆσθαι χρεών, ὡς τὰ ῥη-

*θέντα τῶν οὔρων ἐνίοτε μὲν τῆς καθ' ὅλον τὸ σῶμα πέφυκε πιμελῆς σύμβολον τηκομένης, ἔστι δ' ὅτε τῶν νεφρῶν αὐτῶν μόνων.* 11. *Καὶ δὴ τῷ λόγῳ τούτῳ προσδιοριστέον καὶ τὴν ἐπ' αὐτῷ διάγνωσιν ὡς οἷόν τε ἀποδοτέον, ἵνα μή τις πλανῷτο τοῖς ἀλλήλων πάθεσι ἀπατώμενος.* 12. *Εἰ μὲν οὖν κατὰ βραχὺ τὸ χρῶμα τοῦτο προβαίνει ὡς διὰ πολλοῦ τοῦ χρόνου τὰ ἐλαιώδη ταῦτα καθίστασθαι χρώματα, τοῦ κατὰ παντὸς τοῦτο τοῦ σώματος καθέστηκε πυρετοῦ σημεῖον· εἰ δ' ἀθρόως καὶ διὰ βραχέος ταῦτ' ἀποκατασταίη τοῦ χρόνου, τῶν νεφρῶν ὑπαγορεύει τὸ πάθος, προσεπιμαρτυρήσει δὲ ταῦτα καὶ ἡ προσοῦσα θέρμη πλείων, ἐκείνως μὲν περὶ νεφροὺς ἐγειρομένη μόνους, ὧδε δ' αὖ ἐφ' ὅλῳ σμηχομένῳ τῷ σώματι.* 13. *Καὶ τὰ μὲν ἐλαιώδη τῶν οὔρων ὧδέ πῄ τις ἂν διαγνοίη ταῖς ῥηθείσαις μεθόδοις ἑπόμενος. ἑξῆς δ' ἂν εἴη προσῆκον φάναι καὶ περὶ τῶν λειπομένων χρωμάτων.*

### Κεφ. ιθ΄. *Περὶ διαγνώσεως φαιῶν καὶ πελιδνῶν καὶ μελάνων οὔρων.*

1. *Φαιὰ τοίνυν καὶ πελιδνὰ καὶ μέλανα τῷ αὐτῷ μὲν κέχρωσται χρώματι, τῇ δ' ἐπιτάσει καὶ ὑφέσει τοῦ χρωννύντος χυμοῦ διαφόρων τῶν τε εἰδῶν καὶ τῶν ὀνομάτων τετύχηκεν, ὥστε καὶ διάφορα τὰ πάθη διὰ τοῦτο σημαίνουσιν.* 2. *Καὶ τὰ μὲν φαιὰ τοσοῦτον λείπεται τῶν πελιδνῶν ἐς κακότητα, ὅσον τούτων τὰ μέλανα πεπλεονέκτηκε. τὰ μέλανα δ' οὐκ εἴασεν αὐτῶν χείρω χρώματα, αὐτοῖς δὴ τοῖς χρώμασι τὴν Ἅδου πύλην παρασημαίνοντα.* 3. *Πλὴν ἀλλ' ἔστι καὶ τούτοις προσιτὰ μέλανα χρώματα τὸ καινότατον, περὶ ὧν ἂν εἴη λέξαι μετ' οὐ πολύ.* 4. *Καὶ γοῦν τὰ μὲν οὖν φαιὰ τῶν χρωμάτων ἤτοι καταβαφὴν μετρίαν τοῦ μελαγχολικοῦ χυμοῦ δεξάμενα τοιαῦτα φαίνεται, ἢ ψύξιν ἐπιτεταμένην ἢ νέκρωσίν τινα ἐνίοτε παριστᾷ.* 5. *Τὰ δ' αὖ πελιδνὰ καὶ ταῦτα μὲν ἔστιν ὅτε, προσεπιμαρτυρεῖ δ' ἐνίοτε καὶ πληγὰς καὶ μάστιγας ἐπιτεθείσας τἀνθρώπῳ. καὶ ὑπόλεπτα μὲν ἂν εἴη μᾶλλον τῶν φαιῶν, τὰ δ' ἐπιπλοκὴν γινόμενα τοῦ μελαγχολικοῦ χυμοῦ πρὸς τὸ παχὺ δὲ ῥέποντα, τὰ διὰ ψυχρότητα πολλὴν φαινόμενα φαιά.* 6. *Ὅσα γε μὴν διὰ νενεκρωμένην δύναμιν, ἤδη οὐκ ἔσχε*

πη πρότερον σημεῖα πέψεως, καὶ ἀπὸ φαύλων ἐπὶ χείρω φέρεται χρώματα. 7. Τοῖς δ' αὐτοῖς δ' ἂν διαγνοίη καὶ τῶν πελιδνῶν τὰ παραπλήσια σημαίνοντα· ὅσα γε μὴν διὰ πληγὰς καὶ μάστιγας φαίνεται, τά τε στίγματα καὶ αἱ πληγαὶ δηλώσουσί σοι τοῦ σώματος. τάχα δ' ἂν καὶ ἕτερα προσεξεύρῃς σύμβολα. 8. Τά γε μὴν ἄκρατα μέλανα ἔστι μὲν ὅτε ἐπὶ τὸ ἔσχατον ἐπιταθείσης θερμότητος σημεῖα πέφυκεν, ὁπόταν δηλονότι τούτων χλωρὰ ἡγήσωνται ἤ τινα παραπλήσια. ἔστι δ' ὅτε ἄκραν διασημαίνει ψυχρότητα. 9. Καὶ διαγνοίη ἂν οὕτω ταῦτα ἔχοντα τῷ τε πελιδνὰ ἡγήσασθαι καὶ φαιὰ τούτων. 10. Ὅτι δὲ ἐς ἔσχατον ἀφικομένη οἷα δήτις ποιότης διαλύειν εἴωθε τὸ ὑποκείμενον τὴν ἀμετρίαν μὴ στέγον, εἴπερ ἐκ συμμέτρου ταῦτα πάντα συνέστηκεν· ἄλλων τε μαθεῖν ἔστι καὶ τῆς ἐνεργείας αὐτῆς τῶν ὁσημέραι γινομένων φθορῶν. 11. Πλὴν ἵνα μὴ πάμπαν ὦμεν δεδειχότες φαῦλα τὰ τῶν οὔρων μέλανα χρώματα, καὶ τούτῳ προσδιοριστέον τῷ λόγῳ. 12. Ἔστι γὰρ ἰδεῖν σωτήρια οὖρα μέλανα, παθῶν δηλονότι προηγησαμένων τἀνθρώπῳ ἀπὸ μέλανος καὶ σύστασιν εἰληφότων χυμῶν. τά τε γὰρ τῶν μελαγχολικῶν εἴδη, καὶ προσέτι ὁ τεταρταῖος διαλείπων πυρετός, μελάνων οὔρων ἐπιφανέντων διαλύεται τάχιστα. 13. Οὐ καινὸν δ' ἂν εἴη καὶ εἰ μελαγχολικῷ καὶ ὑποσπλήνῳ ἀνθρώπῳ φαρμάκου ἐπιδοθέντος ῥυπτικοῦ τε ἅμα καὶ διουρητικοῦ μεθ' ὑγροῦ ἁρμόζοντος τοιοῦτον οὖρον ἀποδοθείη καὶ μάλιστα εἴ τις ἑτέρα τούτοις προσαποδοθείη αἰτία. 14. Καὶ γάρ ποτε καὶ αὐτὸς τοιοῦτόν τι ἐφ' ἡμετέρου ἑωρακὼς θεράποντος οὐκ ἂν νῦν ὀκνήσαιμι διηγήσασθαι. τάχα γὰρ ἄν τι καὶ τοῦτο λυσιτελήσει τῷ λόγῳ καὶ ἄλλως χαριὲν ὂν λεγόμενον. 15. Ἐπί τινα θεραπείας τινὸς δεόμενον ἀφικόμην, ἕπετο δὲ καὶ ὁ θεράπων ἐκεῖνα νομιζόμενος τῶν φαρμάκων, ἃ δὴ λυσιτελήσειν αὐτὸς ᾠήθην τἀνθρώπῳ. 16. Καὶ τοίνυν μετὰ χεῖρας αὐτὸ λαβὼν τὸ φάρμακον — τρόχισκος δὲ ἦν ὁ πικρὸς οἶμαι — προσεπέμιξα τούτῳ καὶ ὀξυμέλιτος ὅσον ἀρκεῖν ἐνόμισα, προσενέχεον δὲ καὶ ὕδατος ζέοντος, ἵνα ὑγρότερόν τε ἅμα καὶ εὐκατάποτον εἴη τὸ φάρμακον καὶ τῷ θεραπευομένῳ πιεῖν παρέσχον.

17. Ὁ δὲ λαβὼν τὴν κύλικα καὶ τοῖς χείλεσι προσερείσας, ἐπεί τινος ᾔσθετο τοῦ φαρμάκου ἀηδείας πικροῦ μὲν αὐτοῦ καὶ δηλονότι τυγχάνοντος, ἀλλὰ δὴ καὶ τοῦ ἀνθρώπου τἆλλα μὲν ἀγερώχου καὶ ἐμβριθοῦς, πάνυ δὲ περὶ τὰς προσφορὰς τῶν φαρμάκων ἀγεννοῦς καὶ οὐκ εὐαγώγου, προσπαῖξαι μέν τι καὶ αὐτὸς βουλόμενος, ἐλέγξαι δὲ καὶ τὸ εὐεμὲς ἐκείνου τοῦ σοβάρου ὑπὸ χαυνότητος ψυχῆς γινόμενον. 18. Ἐπισυλλογισάμενος δὲ μηδέν τι ὑποστῆναι δεινὸν τὸν ἄνθρωπον, εἰ μὴ καὶ προσεπωφεληθῆναι, πιεῖν ἐνέδωκα τῷ θεράποντι, φήσας οὐ τὰ μέτρια λυσιτελεῖν τῷ σώματι. 19. Ὁ δὲ τὴν κύλικα λαβὼν ἀνὰ χεῖρας προσήγγισε τοῖς χείλεσι καὶ τὸ δέπας κενὸν ἐδείκνυεν, ἀσμένως πάνυ πεπωκὼς τὸ φάρμακον. 20. Κἀκεῖθεν ἐξιόντες ἐγὼ μὲν ᾠχόμην ὅπη ἐδεόμην, τὸν δὲ θεράποντα πέμψας εἴς τινα τῶν φίλων διά τινα τότε καλοῦσαν χρείαν καὶ συντονώτερον ἀφικέσθαι φήσας. 21. Ἦν γὰρ ὡσεὶ τριάκοντά που οἶμαι διάστημα σταδίων, — πειθήνιόν τε ἔσχον καὶ ταχέως παλινδρομήσαντα. 22. Ἐπεὶ δὲ εἰς οὖρον αὐτὸν ἠρέθισεν ἰέναι, μέλαν δέ οἱ ἐπεφάνη, ἐμοί τε ἤγγειλε τὸ δεινὸν καὶ τὴν αἰτίαν ἀγνοῶν οὐ μετρίως ἤσχαλεν. 23. Ἐπ' ἀμίδα τοίνυν φήσας αὐτὸν τὴν ἐπιοῦσαν δεῖξαι, οὕτω τε ἐποίει καὶ ἐλιπάρει τὸ ἀποβησόμενον μαθεῖν δεδιώς, μή πη λάθη θανὼν αἰφνίδιον. 24. Κἀγὼ μὲν ἐθαύμαζον πρῶτον ἐπιλαθόμενος τοῦ δοθέντος φαρμάκου οἱ ἔναγχος, μήτε τεταρταῖον αὐτῷ σκοπῶν ἐμφύντα μήτε μελαγχολίαν, μόνον δὲ τὴν κρᾶσιν ὁρῶν εἰς οἷον εὔκρατον ῥέπουσαν χυμὸν μέλανα. 25. Αὐτῇ δὲ μόνῃ οὐκ ἐπίστευον τὸ γεγονός, μή κέ τινος ἑτέρας προσαποδοθείσης αἰτίας. 26. Ἐπειδήπερ δὲ ἀπεμνήσθην τοῦ φαρμάκου, ἐδάην τε καὶ ἐγέλασα καὶ τὸν παῖδα θαρρεῖν ἐκέλευσα, ὡς μηδενὸς αὐτῷ προσδοκωμένου δεινοῦ. 27. Οὐκ ἀκριβῶς δέ οἱ τὰ οὖρα κέχρωστο τῷ μέλανι, ὅτι μὴ πλεονάκις οἶμαι τῷ φαρμάκῳ ἐχρήσατο, ἀλλὰ τὴν ἐπιοῦσαν φαιὸν φανέν, τὴν μετὰ αὐτὴν ἐνήλλακται πρὸς τὸ κατὰ φύσιν χωρῆσαν. 28. Τάχα δ' ἂν τὴν ἀρχὴν οὐκ ἐχρώσθη τὰ οὖρα, εἰ μὴ καὶ ὁ κόπος τὰ μέγιστα συνεβάλλετο, διαδοθέντος μὲν οὕτω ῥαδίως τοῦ φαρμάκου, ἐσπασαμένου δὲ τὴν ὕλην

*ἀκμάζουσάν τε καὶ πλήθουσαν.* 29. *Ταῦτά τοι δεῖ τούτων ἑκάστου μεμνημένον καὶ τὰ ἐπισυμβαίνοντα σκοπεῖν εἴτ᾽ ἐκ φαρμάκων εἴη δηλαδὴ τοιοῦτον χυμὸν κενούντων εἴτ᾽ ἐκ τροφῶν καὶ πωμάτων παραπλησίως χρωσθέντων χρώματι.* 30. *Καὶ ταῦτα μὲν ἐφ᾽ ὑγιαινόντων συμβαῖεν ἂν ἀνθρώπων, καὶ μέτριον ἢ οὐδὲν δεινὸν ὀφθέντα σημανεῖται, ἐπὶ δὲ νοσούντων χρονίως μὲν καὶ μάλιστα εἰ ἀπὸ μελαγχολικῶν ἡγησαμένων χυμῶν σωτήριά τε καὶ τὰς νόσους λύοντα πέφυκεν· ἐπὶ δὲ τῶν ὀξέων πυρεσσόντων ἀεί τι φαῦλα καὶ θάνατον τὸ πλέον ἀγγέλλοντα.* 31. *Ἐπεὶ τοίνυν δέδεικται, ὁποῖον μὲν ἄριστον οὖρον ἐν πᾶσι, ποῖα δὲ τίσι μάλιστα ἕπεται, ἐπὶ τούτοις δ᾽ αὖ ὅτι τῶν χρωμάτων ἕκαστον βούλεται, λείποιτ᾽ ἂν ἤδη· περὶ συστάσεως λέξαι οὔρων καὶ παρυφισταμένων, τὰς ἐφ᾽ ἑκάστῳ διαγνώσεως ἐπιτεθεικότι τῷ λόγῳ, ὅτι τούτων ἕκαστον διασαφοῦντι βούλεται.* 32. *Ἀλλ᾽ ἐπειδήπερ ἀρκοῦν ἴσως μέτρον ἐπιθήκαμεν τῷ λόγῳ καὶ οὐ χρεὼν μηκύνειν τοῦτον, ἵνα μὴ καὶ ἴλιγγον ἐπιθῶμεν τοῖς τοῦτον διεξιοῦσι, τοῦτον μὲν ὧδέ πη καταπαύσωμεν ἱκανῶς ἐν πᾶσι τοῖς ῥηθεῖσι τὰς ἐξευρημένας ἀπειληφότα διαγνώσεις.* 33. *Ἐπὶ δὲ τὸν ἑξῆς μετίωμεν λόγον, οὕτω τοῦ πράγματος ἐκκαλουμένου ἡμᾶς· θεοῖς δ᾽ ἂν εἴη δῶρον ἀσφαλῶς περαίνειν τὸ σπουδαζόμενον.* 34. *Ἡμῖν τε γὰρ τὸ ἀνέγκλητον ἕποιτ᾽ ἂν μὴ διαπεπτωκόσι τοῦ δέοντος καὶ τοῖς μαθεῖν ἐθέλουσι τὸ ἀπλανὲς παρομαρτήσει περὶ τὰς διαγνώσεις τῶν καθολικῶν τούτων ἀφορμῶν δραξαμένοις.* 35. *Οὐκ οἶδα δ᾽ ὅ,τι ἂν εἴη βέλτιον τῆς ἀληθοῦς διαγνώσεως ἐπὶ κακῶς οὕτω διατεθέντος σώματος, ἣν πάντα τρόπον ἀκριβῶς ἀσκεῖν προσήκει πειρᾶσθαι.*

# *ΠΕΡΙ ΔΙΑΓΝΩΣΕΩΣ ΟΥΡΩΝ*

## *ΛΟΓΟΣ Ο ΔΕΥΤΕΡΟΣ.*

---

### *Προοίμιον.*

1. *Τὸ διαγινώσκειν τῶν παθῶν τὰ κατέχοντα πεφυκὸς ἀρίστης μεθόδου καὶ μάλιστα λυσιτελούσης τῇ τέχνῃ πάλαι μὲν ἐσπούδασται τοῖς περὶ τὰ τοιαῦτα σπουδαίοις ἐν διαφόροις τόποις ἐξευρημένα, τῆς δὲ ἐκ τῶν οὔρων ἐπὶ τούτῳ πραγματείας οὐ πολλῷ τῶν ἄλλων δεούσης, οὐκ οἶδα ὅπως οὕτως ἀμεληθείσης ἤδη μὲν ἡμεῖς ταύτης ἠψάμεθα, μήπω δὲ τὸ πᾶν τῆς διαγνώσεως πρώτῳ λόγῳ περάναντες ἤδη καὶ δευτέρου ἐδεήθημεν λόγου, ἵνα εὐκρινὲς τὸ πᾶν τῆς περὶ διαγνώσεως μεθόδου ἀποδοθείη τῷ λόγῳ.* 2. *Ἂν τε μὴν μηκύνειν γένηται τοὺς περὶ ταύτης λόγους, ἀπεοικὸς ἂν τοῖς ἐγκαλεῖν προχείροις δόξειε καὶ μάλιστα ἂν τἀναγκαῖά τε καὶ ἀποχρῶντα οἱ λόγοι ὑπαγορεύοιεν.* 3. *Οἵ τε γὰρ μανθάνοντες ῥαδίως ἂν ἐντεῦθεν γνοῖεν παντὸς ἐξηπλωμένου ἐς τὴν τοιαύτην μέθοδον ἀρκοῦντος λόγου, οἵ τε θεραπεύειν ἐπιχειροῦντες ἐντεῦθεν διδασκόμενοι ῥαδίως μὲν ἂν κατατολμῷεν, ὡς ἂν διαγνοῖεν ὡς ἐπικρατηθησομένων, προχείρως δ' ἂν ἀπαγορεύσαιεν, ὧν μὴ προσῆκον ἅπτεσθαι νικηθείσης ὑπὲρ τῆς φυσικῆς δυνάμεως.* 4. *Τὸ μὲν οὖν καθ' ἑκάστην ἐξαγγέλλειν, ὁποῖον δή τι ἡ διάγνωσις τῇ τέχνῃ πέφυκε, τοῖς ἀπαιδεύτοις τὰ τοιαῦτα ἔργον ἂν ἴσως δόξειεν ἅπαξ καταγνωσθεῖσιν ἀπαιδευσίας, τοῖς δὲ περὶ τὰ τοιαῦτα σπουδαίοις ἀναμνήσεώς τινος οὐκ ἀχρήστου.* 5. *Ταυτά τοι παλιλλογεῖν μὲν ἔργον οἰηθείς, μὴ ἀναμνῆσαι δ' αὖ ἀλυσιτελές, ὁποῖόν τι ἡ διάγνωσις, καὶ αὖθις ἔφην, ῥυπὴν οὐχ ἧττον πορίζόμενος τοῖς λόγοις ἢ τῇ τῶν σπουδαίων ἡλίκῃ προθυμίᾳ.* 6. *Ἀλλὰ ταῦτα μὲν ὧδε κείσθω, μὴ πάνυ χρεὼν ὂν τὸν περὶ τούτου μηκύνων λόγον. ἡμεῖς δ' ἐπεὶ φθάσαντες ἔφημεν περὶ τοῦ κατὰ φύσιν ἐν πᾶσιν οὔρου ἐν τῷ πρὸ τούτου λόγῳ, ἔτι γε μὴν περὶ ποσότητος χύματος καὶ προσέτι χρωμάτων, λείποιτ' ἂν ἴσως ἐν-*

ταῦθα φάναι περί τε τῶν ἐν τῷ χύματι φαινομένων συστάσεων καὶ περὶ τῶν ἐν τοῖς οὔροις ὑφισταμένων καὶ προσέτι τῶν ἐν τοῖς παρυφισταμένοις διαφόρως τεθεωρημένων, ἔτι τε πομφολύγων, καὶ ἀλλοίων τινῶν τῇ ἐπιφανείᾳ νηχομένων καὶ πρὸς τούτοις εἴ τι ἕτερον ἐξήτηται περὶ τὰ οὖρα.

*Κεφ. α΄. Περὶ τῆς ἐκ τῶν κατὰ τὰ οὖρα συστάσεων διαγνώσεως.*

1. Πέψεως τοίνυν τῷ φλεβώδει γένει ἡγησαμένης προσηκόντως, σύμμετρος ἂν ὀφθείη ἡ σύστασις· καθ' ὅσον δ' ἂν αὕτη τοῦ δέοντος ἐλλείπῃ καὶ ἡ σύστασις διαπεπτωκυῖα ἂν ὀφθείη τοῦ συμμέτρου. 2. Ἀπεψίας γὰρ ἡγησαμένης τῷ φλεβώδει γένει αἱ διάφοροι συστάσεις γίνονται. 3. Ἐπεὶ δὲ ἡ τυχοῦσα ἀπεψία ἢ δι' ἀτονίαν γίνεται τῆς ἐμφύτου δυνάμεως, ὑφ' οἱασδήτινος δυσκρασίας πεπονθυίας, ἢ διά τινα χυμῶν ἐπικράτειαν ἀμβλύνουσαν τὴν φυσικὴν θερμότητα, αἱ μὲν διὰ τὴν πρώτην ἀπεψίαν ἐπιδεικνύμεναι συστάσεις λεπταί που πάνυ πεφύκασι, πολλὰς δ' ἂν ἴδῃς ἴσως ἀκριβούμενος τὸν λόγον διαφορὰς κατὰ τὸ μέτρον δηλονότι τῆς ἀποτυχίας τῆς πέψεως. 4. Αἱ δ' αὖ διὰ χυμῶν τινων ἐπικράτειαν γινόμεναι συστάσεις λεπταί που πάνυ πεφύκασι, πολλὰς δ' ἂν ἴδῃς ἴσως ἀκριβούμενος τὸν λόγον διαφορὰς κατὰ τὸ μέτρον δηλονότι τῆς ἀποτυχίας τῆς πέψεως. 5. Αἱ δ' αὖ διὰ χυμῶν τινων ἐπικράτειαν γινόμεναι συστάσεις παχύτεραί πως ἀναλόγως φαίνονται ταῖς ἐπιγινομέναις τῆς πέψεως διαμαρτίαις. 6. Τὰ δ' αὐτὰ ποιήσαιεν ἂν αἵ τε ἐμφράξεις τε καὶ ἐπὶ πλέον τῶν πόρων ἀποφράξεις. ἐκεῖ μὲν γὰρ οἷον στενοχωρουμένης τῆς ὕλης ἀμπέσχεται τὰ παχύτερα, ὥστ' ἐντεῦθεν φαίνεσθαι λεπτὰ τὰ διουρούμενα. 7. Ἐνταῦθα δ' αὖ παχύτερα φαίνεται, ἀπωθουμένης ὥσπερ τῆς φύσεως τῇ τῶν ἀγγείων εὐρύτητι καὶ τὰ καλῶς φθάσαντα μὴ πεπέφθαι. 8. Οὐ περιττὸν δ' ἂν ἴσως δόξειε, καὶ εἰ ταῦτα προδιορισθείη τῷ λόγῳ· τὰ γὰρ δι' ἔνδειαν τροφῆς λεπτὰ τυγχάνοντα ὑπόξανθα τῷ χρώματι φαίνονται καὶ βραχύ τι ἢ οὐδὲν παρυφισταμένων ἔχοντα, ὥσπερ τὰ δι' ἄμετρον χρονίσασαν κένωσιν εἴτε γαστρὸς εἴθ' αἵματος ἢ καὶ

οὔρου ὥσπερ ἐπὶ διαβήτου, λευκὰ μέν ἐστιν ἰδεῖν καὶ λεπτὰ δὲ τῷ χρώματι, μικροῦ δὲ καὶ ἀνυπόστατα. τὰ παραπλήσια γὰρ ἐπί τε τῷ ἐκ νόσου γήρᾳ καλουμένῳ καὶ τῷ κατὰ φύσιν συμβαίνοντι. 9. Τά γε μὴν εἰληφότα τῶν οὔρων πάχος ἤτοι τὸν πλεονάζοντα χυμὸν ὑποδείκνυσιν, ἤ τινα τῆς ἐπιφανείας ἐκ ψυχρότητος πύκνωσιν ἢ πέψεως ἀρχήν, ὡς ἐπ' ἐνίων εἴωθε συμβαίνειν νοσημάτων, ὁπόταν δηλονότι λεπτὰ τούτων οὖρα ἡγήσωνται. 10. Ἀλλὰ τὰ μὲν τῷ χρώματι διορίζεται, τὰ δὲ τῇ ῥαδίᾳ μεταβολῇ, τὰ δὲ τῇ τῶν παρυφισταμένων παχύτητι. 11. Ἐνδέχεται δὲ καὶ δυοῖν ἢ τριῶν ἢ καὶ πλειόνων συμπλακέντων αἰτίων καὶ τὰ οὖρα δεῖξαι τὴν φύσιν συμπεπλεγμένα. ἀλλὰ ἡμῖν ὁ λόγος νῦν οὐ περὶ συνδυαζομένων φάναι πρόκειται, ἀλλὰ περὶ ἁπλῶν. 12. Ἐκεῖνο μὲν γὰρ εἰς πολύ τε ἂν τὸν λόγον παρατείνοι καὶ δυσδιεξίτητον ἴσως δόξειε· τὸ δὲ οὐχ ἧττον πρόχειρον ἢ ῥᾴδιον καὶ τοῖς σπουδαίοις οὐκ ὀλίγας τὰς ἀφορμὰς παρέχον εὖ ἔχειν κρίνειν καὶ τὰ συμπεπλεγμένως φαινόμενα τῶν οὔρων. 13. Ἀλλ' ὁ μὲν περὶ διαγνώσεως συστάσεως οὔρων λόγος ἱκανῶς ἂν ὧδε διαγνωσθείη ἡμῶν τε τὰ καιριώτερα εἰρηκότων καὶ τῶν συνετῶν εὖ πεφυκότων καὶ ἀπὸ τούτων κρίνειν τὰ λείποντα, εἴ τι καὶ λέλειπται. 14. Τὸ γὰρ ἐπιμηκύνειν τὸν λόγον ὡς εὐδιάβλητον ὑφορώμενος ἐκπεφευγέναι δεῖν ἔκρινα· νυνὶ δὲ περὶ τῶν παρυφισταμένων προσῆκόν ἐστι σκέψασθαι. 15. Καὶ πρῶτον μὲν περὶ τοῦ κατὰ ποσὸν ἐνηλλαγμένου ῥητέον, εἶθ' οὕτως καὶ περὶ χρώματός τε καὶ συστάσεως, ἔτι τε λειότητος καὶ ὁμαλότητος καὶ εἴ τι ἕτερον συναναφαίνεται τούτοις.

### Κεφ. β΄. Περὶ τῆς ἐκ τῶν κατὰ ποσότητα τῶν παρυφισταμένων διαγνώσεως.

1. Τὰ τοίνυν τοῖς οὔροις παρυφιστάμενα σύμμετρα ἢ πλείω τῷ ποσῷ τελοίη ἢ ἐλάττω, ἢ πάντη σύμμετρα. καὶ συμμέτρων μὲν ὄντων, εἰ σύμμετρα μὲν εἴη τῷ ποσῷ, οὐδὲν καινόν, πλειόνων δ' ἢ ἐλαττόνων εἰκότως ἂν καί τις ἐπ' αὐτῶν ῥηθείη διάγνωσις, καὶ πλειόνων μὲν ὄντων τῷ ποσῷ, συμμέτρων γε μὴν κατὰ ἄλλα πολλῇ τροφῇ κε-

χρῆσθαι τὸν ἄνθρωπον ῥαδίως κατεργαζομένῃ ὑπὸ ῥώμης τῆς φυσικῆς δυνάμεως, ἀγυμνασίᾳ τε καὶ βίῳ ζῆν ῥαθύμῳ καὶ ἁπλῶς δηλονότι κεχρῆσθαι, ὅσα τρέφειν καὶ πιαίνειν εἴωθε τὸν ἄνθρωπον. 2. Ἔστι δ' ὅτε καὶ μετρία τις τῆς καθόλου διαπνοῆς ἐπίσχεσις καὶ οὐκ εὐδίοδος τῶν λοιπῶν φυσικῶν ἐκκρίσεων τρόπος· τοσαῦτα δὴ προβάλλεται τὰ παρυφιστάμενα· διὰ τἀναντία δ' αὖ τούτων ἐλάττω ἂν ἐπισυμβαίῃ τὰ παρυφιστάμενα, ὥσπερ καὶ διὰ τὰ σύμμετρα καὶ τὰ παρυφιστάμενα σύμμετρα. 3. Λεπτὰ δὲ ὄντα τῇ συστάσει τὰ παρυφιστάμενα, κἄν τε πλείω ᾖ κἄν τε ἐλάττω, κἄν τε καὶ σύμμετρα τῷ ποσῷ δηλονότι, οὕτω μαθεῖν ἐστιν, ὡς ἐνίοτε μὲν ὠμοῦ χυμοῦ λεπτυνθέντος πάνυ πέφυκε σύμβολον· γνοίης δ' ἂν ἐντεῦθεν. 4. Εἰ γὰρ μετρίως διακινοίης τὴν ἀμίδα, αὐτά τε μετεωρίζεται καὶ ἡ λειότης ἀπέοικεν. ἐνίοτε δ' αὖ ἀσθενῶς ἐχουσαν ὑπὸ ψύξεως τὴν τρίτην πέψιν μὴ ῥαδίως ἔχειν ἐς τὴν σύμμετρον σύστασιν ἀγαγέσθαι τὰ παρυφιστάμενα, πολλῷ δὲ πρότερον, ὧν ταῦτα πέφυκε περιττώματα. 5. Διενήνοχε δὲ ταῦτα τῶν προτέρων τῷ μὴ παχέως καθίστασθαι πρὸς τὸ σύμμετρον, χρόνου τε ἢ ῥώμης δεόμενα. ἥ γε μὴν ἐν αὐτοῖς διάφορος ποσότης τὰ μέτρια τῶν κατεργαζομένων χυμῶν παρίστησι.

Κεφ. γ'. Περὶ τῆς ἐκ τῶν κατὰ τὴν σύστασιν τῶν παρυφισταμένων διαγνώσεως.

1. Παχέος δὲ ὄντος τοῦ παρυφισταμένου, ἢν μὴ ὄζῃ τι, καὶ ἀκριβῶς λεῖον ᾖ, πῦον μὲν οὐκέτι ἂν εἴη, ὠμοχυμίας δέ τινος περὶ τὰς φλέβας ἀπόκομμα, ὥστε καὶ κατὰ τὴν ἀναλογίαν τοῦ τε ποσοῦ καὶ τοῦ πάχους ἐπιμαρτυρήσειε καὶ τὸν ἀκμάζοντα χυμόν. 2. Ἔστι γε μὴν ὅτε καὶ κριτικῶς ἐνταῦθα τῆς φύσεως ἀποκρινούσης τὸ περὶ τὰς φλέβας περίττωμα καὶ ἀθρόως οὕτω κενουμένης τῆς ὕλης, σφόδρα ὑπερβάλλοντα τὸ σύμμετρον φαίνεται τὰ παρυφιστάμενα, ὥστε καὶ δέος ἐπάγουσιν οὐκ ὀλίγον τοῖς ἀγνοήσασι τὴν αἰτίαν. 3. Προσδιορισθείη δὲ καὶ ταῦτα τῷ μὴ φαῦλα εἶναι, τότε μὴ κεκτῆσθαι χαλεπὰ τὰ χρώματα καὶ τῷ μετὰ τὴν ἀκμὴν τὸ πλέον δείκνυσθαι τοῦ νοοήματος.

4. Τὰ γὰρ ἐν ταῖς ἀρχαῖς καὶ ἀναβάσεσι φαινόμενα τοιαῦτα τῶν πυρετῶν ὑφορᾶσθαι ὡς πονηρὰ προσήκει καὶ μάλιστα εἰ μετὰ φαύλων ἐπιφαίνεται τῶν χρωμάτων. 5. Ἀλλὰ τοῦτο μὲν τῷ προγνωστικῷ ταμιευέσθω. ἐκεῖ γὰρ ἴσως εἴποιμεν ἄν, θεοῦ διδόντος, περὶ τούτων. 6. Προσαποδοτέον δὲ κἀκεῖνο τῷ λόγῳ, ὃ δὴ τοῦ μὲν αὐτοῦ γένους τῆς ὠμοχυμίας πέφυκε. διενήνοχε δὲ τῶν ῥηθέντων τῷ γλίσχρον εἶναι καὶ μιξῶδες, ἐξεταζόμενον οὐκ ὀλίγας ἔσθ᾽ ὅτ᾽ ὀδύνας ἐμποιεῖ ἀνθρώπῳ στηριχθὲν που περὶ τὰ οὐρητικὰ ἀγγεῖα. 7. Εἰκάσαις ἂν ἰδὼν πύῳ· διενήνοχεν ἐκείνου μέντοι τῷ τε μὴ ὄζειν καὶ πάνυ τυγχάνειν γλίσχρον. 8. Τό γάρ τοι πῦον καὶ αὐτό τινα γλισχρότητα κεκτημένον τῆς ἐπὶ τῷ ῥηθέντι ἤδη ὠμῷ χυμῷ λείπεται, διαγινώσκεται δ᾽ ἔτι τὸ πῦον τῷ τε προηγήσασθαί πη ὀδύνην καὶ αἷμα ἴσως διουρηθῆναι, ἀλλὰ δὴ καὶ τῷ ἐπ᾽ ἀνθράκων ἐντιθεμένων βαρέως ὄζειν. 9. Καὶ ἃ μέν ἐστι διαγνῶναι ἔκ τε τῶν πλειόνων τε καὶ ἐλαττόνων τοῦ συμμέτρου παρυφισταμένων, κἄν τε πάχος ἔχοιεν δηλαδή, κἄν τε λεπτότητα, κἄν τε καί τινα συμμετρίαν τηροῖεν, ἐντεῦθέν ἐστι μαθεῖν τὸν συνετὸν λογισάμενον· ἐπὶ δὲ τούτοις ῥητέον περὶ τῶν ἐνδεχομένων συναναφανῆναι τοῖς παρυφισταμένοις χρωμάτων.

Κεφ. δ΄. Περὶ τῆς ἐκ τῶν λευκῶν παρυφισταμένων διαγνώσεως.

1. Τὰ μὲν οὖν εὖ πεφυκότα τῶν παρυφισταμένων οὔτ᾽ ἐπιτεταμένως λευκά τις ἂν φαίη, οὔτ᾽ αὖ ὕπωχρα· ἑκατέρων γὰρ διαπέπτωκε τὴν τούτων εἰληφότα μεσότητα. 2. Ὁπόταν τοίνυν τὸ παρυφιστάμενον εἴη λευκὸν ἀκριβῶς ἢ χυμοῦ τινός ἐστι φλεγματώδους τεμμάχιον, ἢ πῦον ἀκριβῶς πεφθέν, ἀπό τινος τῶν ἐντός μορίων πεπονθότος συνεκκριθέν, καὶ διαγνοίης ἂν ταῦτα, οἷς ἔφην διακρίνεσθαι τά τε πῦα καὶ τοὺς χυμούς. 3. Τὸ γὰρ ταυτολογεῖν ὡς περιττὸν οἰόμενος διαπέφευγα, οὐχ ἧττον διαβάλλων ὡς ἄτοπον τοῦ τὰ δέοντα εἰρῆσθαι παραλελεῖφθαι ἐθέλοντι· τοῦτο γὰρ οὐκ ἄν τις ὡσαύτως μέμψαιτο, τοῖς πολλάκις ἐπ᾽ οὐδενὶ προσήκοντι γραφομένοις.

### Κεφ. ε'. Περὶ τῆς ἐκ τῶν ὑπώχρων καὶ ὠχρῶν παρυφισταμένων διαγνώσεως.

1. Ἐπειδὴ τούτοις τά τε ὕπωχρα καὶ ὠχρὰ τῶν παρυφισταμένων οὐκ ἀγαθὰ μέν, ὡς ἐκπεπτωκότα τοῦ κατὰ φύσιν χρώματος, ὑπενέγκοι δ' ἄν τις ταῦθ' ὡς μέτρια ὑπὸ μετρίας δηλονότι χολῆς χρωννύμενα περὶ τὰ βάθη καταδυομένης τοῦ σώματος. 2. Τὰ δὲ χολώδη τῶν παρυφισταμένων ἤδη καὶ φαῦλα πέφυκεν ἐπιταθεῖσαν τὴν ξανθὴν χολὴν ἐπὶ τῇ τρίτῃ πέψει σημήναντα, ὥσπερ ἔτι χείρω τὰ ὀρφνώδη τῶν παρυφισταμένων φαίνεται, ἐπικρατουμένης ἤδη τῆς ἀπωστικῆς τῶν πονηρῶν δυνάμεως. 3. Εἰ μὴ γὰρ ἀκράτως ἡ δύναμις ὡς οἶμαι εἶχεν, οὐκ ἂν τοιαῦτα χρώματα χυμῶν ἀλλόκοτα κατεδέξατο πολιορκουμένη ὥσπερ ὑπ' ἐφθαρμένης ὕλης.

### Κεφ. ς'. Περὶ τῆς ἐκ τῶν φαιῶν, πελιδνῶν καὶ μελάνων παρυφισταμένων διαγνώσεως.

1. Χείρω γε μὴν τούτων εἴη ὅσα τε φαιὰ καὶ πελιδνὰ καὶ μέλανα. τοσοῦτο δὲ κεκρατηκέναι φαίνονται τῆς φύσεως, ὅσῳ καὶ χείρω πέφυκε. 2. Καί τις ἂν εἰκάζων πράγμασι τὰ παρυφιστάμενα, πόλιν μὲν ἂν θείη τὴν διὰ παντὸς ἰοῦσαν φυσικὴν τοῦ σώματος οἰκονομίαν, πολιτικὸν δὲ στρατὸν τὰς τῆς δυνάμεως ἐνεργείας, νόμους δέ τινας καὶ κατάστασιν τὰς γινομένας κατὰ λόγον πέψεις. 3. Ἐπεὶ δὲ καὶ τῆς πόλεως τὸ μὲν εἰς πρόθυρα καὶ τὸν ἐκτὸς περίβολον διορίσθη, τὸ δ' εἰς αὐτὸν ἐτάχθη τὸν περίβολον καὶ τὰς ἐπάλξεις, τὸ τρίτον δὲ καὶ ἔσχατον ὡς εἰς αὐτὴν τὴν ἀκρόπολιν, ἐπὶ τῇ εἰκόνι δεῖ τὴν φύσιν παραβάλλοντας τὰ κατ' αὐτὴν γινόμενα μανθάνειν. 4. Τὰς μὲν οὖν μετρίας ἀπεψίας φαίη ἄν τις παρανομίαν, ὧν δὴ μετρίων οὐσῶν, βραχύ τι ἂν τὸ κοινὸν λυμαίνοιτο, προκοψασῶν δὲ καὶ στάσις ἂν ἐπενεχθείη· ἂν δὲ καὶ ἔτι μᾶλλον εἰς παντελῆ καθαίρεσιν ἡ πόλις καταστταίη ἄν, οὕτω ταῖς ἐσχάταις τε καὶ χρονιζούσαις ἀπεψίαις ἔσθ' ὅτε κίνδυνος τῷ χρόνῳ ἕπεται τοῖς κάμνουσιν, ὅσα δὲ δι' ἀτονίαν τῶν φυλασσόντων, ὑπ' ἐχθρῶν τῇ πόλει γίνεται, οἱ συναναδιδόμενοι φαῦλοι χυμοὶ τῷ σώματι δηλώσουσι περὶ

*τὰ βάθη ἤδη χωρήσαντες. 5. Ὁπόταν γὰρ ἤδη κατακρατῶντο καὶ αὐτῆς τῆς ἀκροπόλεως κατισχύωσι, τί ἂν τις οἰκειότερον κατασκαφῆς νομίσῃ τῇ πόλει, πάσης ἤδη ἀπορούσης δυνάμεως. 6. Ταῦτ' ἄρα καὶ θείη ἄν τις τῶν παρυφισταμένων τὰ μέλανα σημεῖα εἶναι τῶν πολεμίων ἐπικειμένων τοῖς τείχεσι καὶ τοσούτῳ ἐπὶ τὰ τῆς πόλεως ἰσχυρότερα, ὅσῳ καὶ τὰ παρυφιστάμενα πρὸς τὸν πυθμένα χωρεῖ. 7. Οὕτως ἂν κἀκ τῆς σχεδιασθείσης σοι εἰκόνος λογίσαιο τὰ κατὰ φύσιν ἡμῖν συμβαίνοντα. ἀλλὰ ἐπαναληπτέον τὸν λόγον καὶ περὶ τῶν λειπομένων ὧδε ῥητέον χρωμάτων.*

### *Κεφ. ζ΄. Περὶ τῆς τῶν ὑπερύθρων καὶ ἐρυθρῶν παρυφισταμένων διαγνώσεως.*

1. *Τὰ τοίνυν ὑπέρυθρα καὶ ἐρυθρὰ τῶν παρυφισταμένων ἀπεψίαν μέν τινα δεικνύουσι τῆς τρίτης πέψεως δι' ἀγαθῆς ὑπερβολὴν ὕλης· μέτρια δὲ καὶ ἴσως ἀκίνδυνα.* 2. *Τἄλλα μὲν γὰρ τῶν ῥηθέντων παρυφισταμένων οὐχ ἧττον ἀπέκνασε τῇ ποσότητι ἢ τῇ ποιότητι· ταῦτα δὲ τῇ ποσότητι μόνῃ τὴν δύναμιν αὐτὴν εἴωθεν ἀδικεῖν, ὧν δῆτα ὑφαιρουμένων ῥαδίως πρὸς ἑαυτὴν ἡ δύναμις ἐπανέρχεται.*

### *Κεφ. η΄. Περὶ τῆς ἐκ τῶν ὑφαίμων παρυφισταμένων διαγνώσεως.*

1. *Ἐπὶ δὲ τούτοις αἱ ὕφαιμοι τῶν ὑποστάσεων φαίνονται, αἳ χείρους μὲν τῶν ἐρυθρῶν πεφύκασι πάντως, ἀμείνους δὲ τῶν πελιδνῶν καὶ μελάνων.* 2. *Καὶ γὰρ μηδὲ κατειργάσθαι ὅλως τὸν αἱματικὸν χυμὸν σημαίνουσιν, ἀλλ' εἰ μὲν δια πλῆθος, ἀτονούσης τῆς δυνάμεως, τοῦτο γίνεται, ἀνεκτὸν ἂν ἴσως δόξῃ καὶ φέροι ἂν τοῦθ' ὁ ἄνθρωπος, χρόνου μέντοι δεηθεὶς ἐς ὑγίανσιν οὐκ ὀλίγου· εἰ δὲ δι' αὐτῆς τῆς φυσικῆς δυνάμεως ἀτονίαν καθ' αὐτὴν συμβᾶσαν, τοῦτο τῶν ἐσχάτων κακῶν ἀπαγορεύειν μὲν κατηγοροῦν τὴν δύναμιν τὰ ἑαυτῆς ἐργάζεσθαι, ἀπολύειν δὲ τοὺς μάλιστα λυσιτελεῖν χυμοὺς τῷ ζώῳ εἰωθότας.* 3. *Ἀλλὰ ταῦτα μὲν διαγνοίης ἂν πρός τε τὰς προηγησαμένας καὶ οὔσας πέψεις ἀποσκοπήσας, πρός τε τὴν*

*ἕξιν τε καὶ ἡλικίαν τοῦ κάμνοντος καὶ ὥραν τε καὶ δίαιταν, καὶ αὐτὴν δὴ τὴν εὐφορίαν. 4. Οὐχ ἧττον γὰρ τῶν ἄλλων καὶ ταῦτα εἰώθεσαν λυσιτελεῖν ταῖς διαγνώσεσιν, ὥστε καὶ ταῦτα πειρᾶσθαι θέμις ἐκμελετᾶν τὸ ἔργον τὸ διαγνώσκειν ἀσφαλῶς ποιούμενον.*

### Κεφ. θ΄. *Περὶ τῆς ἐκ τῶν ὀροβοειδῶν, πιτυρωειδῶν, πεταλωδῶν τε καὶ κριμνωδῶν ὑποστάσεων διαγνώσεως.*

1. *Νυνὶ δ' ἂν εἴη προσῆκον φάναι περί τε ὀροβοειδῶν καὶ πιτυρωδῶν ὑποστάσεων, καὶ προσέτι πεταλωδῶν καὶ κριμνωδῶν, ὅτι τούτων ἑκάστη διασημαίνεται.* 2. *Ὁποῖαι τοίνυν τῷ εἴδει πεφύκασιν, ἐκ τοῖς περὶ διαφορᾶς οὔρων ἔφθημεν εἰρηκότες· νῦν δ' ἐπιθήσομεν τὰς διαγνώσεις οὕτω πως προαγαγόντος ἡμᾶς τοῦ λόγου.* 3. *Αἱ τοίνυν ὀροβοειδεῖς τῶν ὑποστάσεων τοῖς οὔροις ἐπιφαίνονται, ὁπόταν ἤδη τῆς πιμελῆς τακείσης καὶ ἡ σὰρξ αὐτὸ δὴ τοῦτο πάσχειν ἄρξαιτο.* 4. *Οὐ δεῖ δὲ λανθάνειν ὡς ἐνίοτε καὶ τῶν νεφρῶν μόνων τὸ πάθος αἱ ὀροβοειδεῖς τῶν ὑποστάσεων τοῖς οὔροις ἐπιφαίνονται, ὁπόταν ἤδη τῆς πιμελῆς τακείσης καὶ ἡ σὰρξ αὐτὸ δὴ τοῦτο πάσχειν ἄρξαιτο.* 5. *Οὐ δεῖ δὲ λανθάνειν ὡς ἐνίοτε καὶ τῶν νεφρῶν μόνων τὸ πάθος αἱ ὀροβοειδεῖς τῶν ὑποστάσεων διαφαίνουσι πλὴν ἀλλ' ἔστιν ὧδέ πῃ διορίσασθαι τῷ λόγῳ, ἵνα μή τις ἀπάτη τοῖς ἀπειροτέροις ἐγγίνηται.* 6. *Ἐπὶ μὲν οὖν τοῦ διόλου πυρέσσουσι καὶ τοῦ παντὸς δηλοῦσι σώματος σύντηξιν, ἐπὶ δὲ τοῖς μὴ πυρέσσουσι τῶν νεφρῶν μόνον τελεῖν τὸ πάθημα.* 7. *Προσδιορισθήσεται δὲ ταῦτα μὴ ταῖς πέψεσιν· αἱ μὲν γὰρ ἀπεψίαι τοῦ παντὸς σώματος τὴν τηκεδόνα σημαίνουσιν· αἱ συναναφαινόμεναι δὲ πέψεις τῶν νεφρῶν μόνων.* 8. *Λοιπαὶ δὲ φαῦλαι ὑποστάσεις αἱ πιτυρώδεις οὕτω καλούμεναι, χείρους μὲν τῶν ῥηθεισῶν, ἐλλείπουσαι δὲ ἐς φαυλότητα τῶν πεταλωδῶν· φαίνοιντο δ' ἂν τοιαῦται, ὁπόταν ἐν τῷ βάθει τῶν ἀγγείων ὁ πυρετὸς κατασκήψῃ.* 9. *Δεῖ γε μὴν καὶ τούτου μεμνῆσθαι, ὡς ἔστιν ὅτε καὶ μόνης τῆς κύστεως πασχούσης σύμβολον γίνεται· διορισθήσεται δὲ καὶ αὕτη πέψεσί τε καὶ ἀπεψίαις, ἀπυρεξίαις τε καὶ πυρετοῖς, ὥσπερ δῆτα*

κἀπὶ τῶν ὀροβοειδῶν φθάσαντες ἐξεθέμεθα. 10. Τάς γε μὴν τῶν ὑποστάσεων πεταλώδεις μαθεῖν ἔστι γινομένας, ὁπόταν καὶ στερεῶν αὐτῶν ὁ πυρετὸς προοίκων ἅψηται· ἃ δ' ἐπὶ τῶν πεταλωδῶν ὑποστάσεων εἴρηται, ταῦτα μαθεῖν ἐστι καὶ ὧδε. 11. Ἡ γάρ τοι τοῦ παντὸς τὸ πάθημα νομίζεται σώματος, εἴπερ οἵ τε πυρετοὶ καὶ αἱ ἀπεψίαι ἔνεισιν, ἢ μόνης αὐτῆς τῆς κύστεως, ὁπόταν δηλαδὴ ἀπυρεξία μὲν τὸν ἄνθρωπον ἔχῃ. 12. Πέψις δ' ἐν τοῖς οὔροις δείκνυται· ἐπὶ δὲ ταῖς τρισὶ ταύταις φαύλαις ὑποστάσεσι ταῖς ῥηθείσαις χειρίστη καὶ ταύταις ὑπερβάλλουσα φαίνεται ἡ κριμνώδης, τοσοῦτον διενέγκασα τούτων τῇ φαυλότητι, ὁπόσον αὕτη τῇ νεκρώσει προσῴκειλεν. 13. Ἐπὶ γὰρ τῶν τριχῇ διαστατῶν σωμάτων ὁ πυρετὸς τομὴν πεφθακὼς τὰς κριμνώδεις ταύτας ὑποστάσεις τετέλεκεν. 14. Ἀλλ' οὖν ἔστι κἀνταῦθα διορίσασθαι τὰς κριμνώδεις τῶν ὑποστάσεων τοῦ κατοπτηθέντος αἵματος. 15. Εἰ μὲν δὴ λευκὰ τὰ παρυφιστάμενα εἴη, τῶν κριμνωδῶν ὑποστάσεων τοῦτο σημεῖον· ἐρυθρὰ δὲ τοῦ κατοπτηθέντος αἵματος σύμβολον καὶ δεῖ τὸν συνετὸν καὶ περὶ τὰ τοιαῦτα ἐπτοημένον ἀκριβῶς καταστοχάζεσθαι τῶν ῥηθέντων, καὶ οὕτω λέγειν τε καὶ πράττειν ὅ, τι προσῆκον, καὶ δὶς καὶ τρὶς καὶ πολλάκις, εἰ δίδωσιν ὁ καιρός, προδιασκεψάμενον, εἰ μή πω ἡ πρώτη τοῦτο ἐπιδοίη ἔφοδος, προσεπινοοῦντα δηλονότι τὸ ἀδιάπτωτον. 16. Τῷ μὲν γὰρ τἀληθοῦς διαπεπτωκότι, πρώταις ἐφόδοις κρῖναί τε καὶ πρᾶξαι σπουδάσαντι, γελὼς ἂν παρομαρτήσῃ· τάχα δ' ἂν νοσεῖν καὶ ἄγνοιαν καταψηφισθείη. 17. Τῷ δὲ προσεπεσκεμένῳ καὶ ἀκριβῶς συνεωρακότι τό τε τἀληθῆ λέγειν ἕποιτ' ἂν καὶ τὸ πείθεσθαι τοὺς κάμνοντας αὐτῷ γενήσεται. 18. Ἀλλὰ ταῦτα μέν, εἰ καὶ ἐκ παρόδου, ἀποχρώντως οἶμαι λέλεκται. οὐ δεῖ δὲ λανθάνειν ἡμᾶς, ὡς ἐνίοτε χυμοί τινες πρὸς τὸν τῆς ἀμίδος καθιζάνοντες πυθμένα καὶ ἤδη λεπτυνθέντες τε καὶ διαστάντες ὑπὸ παχέος πνεύματος, κατοπτηθέντες δὲ καὶ συστάντες φαντασίαν τινὰ δεικνύουσι τῶν ῥηθεισῶν ὑποστάσεων, ἀλλὰ ταῦτα ῥᾳδίως ἂν διαγνοίης τῷ τε προηγήσασθαι πλεῖον ὑποστάσεων πάχος καὶ τῷ ταύτας κατὰ βραχὺ μετεωριζο-

*μένας πέττεσθαί τε καὶ διασκεδάννυσθαι.* 19. *Αἱ δὲ ῥηθεῖσαι φαῦλαι τῶν ὑποστάσεων ἀεὶ μὲν πλῆθος καὶ πάχος ἐπικτῶνται, τὸ πλέον δὲ τὸν τῆς ἀμίδος τηροῦσι πυθμένα κατὰ μηδὲν διαλάττουσαι.* 20. *Ἀλλὰ περὶ μὲν τῶν ῥηθεισῶν ἀρκούντως ἂν ἔχῃ ὧδε· ἑπόμενον δὲ φάναι καὶ περὶ τῆς ἀνακεκραμένης ἀγαθῆς ὑποστάσεως φαύλοις τισὶ καὶ ἀπέπτοις κόμμασι χυμῶν οἵων δήτινων.*

*Κεφ. ι'. Περὶ τῆς ἐκ τῶν συμμεμιγμένων παρυφισταμένων διαγνώσεως.*

1. *Καὶ γάρ τοι ἔσθ' ὅτε ψήγματά τινα συνεπιθεωροῦνται τοῖς παρυφισταμένοις ἤτοι πρὸς τὸ πυρρὸν ἀπεστραμμένα ἢ πρὸς τὸ λευκὸν ἤ τι παραπλήσια.* 2. *Ἀλλὰ ταῦτα πλείω μὲν ὄντα ἡμίπεπτον μὲν τὴν ὕλην δείκνυσιν, ἐκεῖνον δὲ τὸν χυμὸν ἐν τῷ βάθει πλεονάζειν τε καὶ συγκαίεσθαι, οὗ ψήγματα τοῖς παρυφισταμένοις συνηνεγμένα, ἐλάττω δέ, μετριωτέραν μὲν τὴν τοιαύτην κακοχυμίαν δείκνυσι, πονηρὰν δέ τινα δίαιταν ἐπιγεννῆσαι ταῦτα.* 3. *Ἀντέστραπται δ' αὖ ὧδε τὸ πρᾶγμα ἐπὶ τῷ τοῦ μεγέθους λόγῳ· ὅσῳ μὲν γὰρ ᾖ μείζω τὰ τεμμάχια καὶ τὴν ἐντὸς τῶν φλεβῶν σύγκαυσιν ἐλάττω δηλοῖ, ὅσῳ δὲ ἐλάττω, καὶ τὴν θερμότητα μείζονα.* 4. *Καθ' ἣν ἂν ἡμεῖς αἰτίαν τοῦ λόγου προϊόντος ἀποδῶμεν· τὸ γὰρ νῦν ἔχον περὶ διαγνώσεως μόνον εἰπεῖν προὐθέμεθα· ἐνίοτέ γε μὴν καὶ οἷον τρίχες ὑπόλευκοι, παλαιστιαῖοι καὶ μείους τε καὶ μείζους συναναφαίνονται τοῖς παρυφισταμένοις, αἳ δή τι πάθος ὀφθεῖσαι τῶν νεφρῶν ὑπαγορεύουσι.* 5. *Τῶν οὖν συναναφαινομένων τοῖς παρυφισταμένοις ἑτερωειδῶν σωμάτων πλειόνων ὄντων καὶ διασκεδασθέντων ὑφ' οἵας δήτινος αἰτίας ἐς τὸ κύτος τοῦ χύματος, ὀδύναι λαμβάνουσι τὸν ἄνθρωπον ἐνεσπαρμέναι τῷ σώματι, ὥσπερ δῆτα καὶ ἡμεῖς που τεθεάμεθα ἐπί τινος γυναικὸς ἑλκώδη κόπον αὐτόματον νοσούσης, ἐφ' ἑτέρας δὲ χρονίως τὰς ἁρμονίας ἀλγούσης.* 6. *Ἀλλὰ τῆς μὲν προτέρας τὰ οὖρα πλείω τε καὶ παχύτερα τὰ συμφερόμενα τοῖς παρυφισταμένοις εἶχε, καὶ μικροῦ δεῖν πιτύροις ἔοικε παντὶ πλανώμενα τῷ χύματι ἤδη καὶ αὐτῷ πυρρῷ τυγχάνοντι.* 7. *Τῆς δὲ λεπτῆς ὑπόλεπτον μὲν καὶ λευκόν, ὀλίγον τοῦ κατὰ φύσιν κατὰ*

σύστασίν τε καὶ χροιὰν λειπόμενον· μείω δὲ καὶ λεπτότερα ἐδόκει τῶν προτέρων εἶναι τὰ παρεμφερόμενα τῷ χύματι. 8. Ἀλλ' ἡ μὲν τὸν αὐτόματον τόπον νοσοῦσα ὑφ' ἡμῶν διαιτηθεῖσα τοῦ πάθους ἀπήλλακται· ἡ δ' ἑτέρα φάρμακον μέντοι ὑφ' ἡμῶν πεπωκέναι πέπειστο λυσιτελῆσον τῷ πάθει. 9. Ἐπεὶ δ' οὐκ οἶδα ὅπως ἀνεβάλλετο περισχεθεῖσα δέει. οὔπω γάρ τοι ἔτυχε καὶ ὄνομα πυθομένη φαρμάκου, μή τοιγε ἐπεπώκει. 10. Ἦν γὰρ ἡ γυνὴ καὶ τἄλλα ἀγροικῶς ἐσταλμένη· ἐγὼ μὲν ταύτην παρεὶς ᾠχόμην, ὅ, τι δὲ οἱ γέγονεν ἀγνοῶ, καὶ ταῦτα λέλεκται οὐχ ἵν' ἐμπρέπων ᾖ ὁ λόγος ταῖς ἱστορίαις, ἀλλ' ἵν' ὑμεῖς εἰδῆτε, ὁπόσον εἴωθε λυσιτελεῖν ἐπίσκεψις ἀκριβὴς τῶν οὔρων. 11. Ταῦτά τοι βουλευσαίμην ἂν καὶ ὑμῖν ἡδέως, ὅσοι τῇ περὶ οὔρων ἐντροφαῖς πραγματείᾳ καὶ πρὸ ταύτης τῇ εἰδήσει τῶν ὁσημέραι γινομένων ἐπ' ἀνθρώποις κάμνουσι καὶ ταῦτα προσεπισκοπεῖν, οὐκ ὀλίγα συνεισενεγκεῖν δυνάμενα τῇ τέχνῃ· ἐφ' αἷς γε μὴν αἰτίαις ταῦτα γίνεται, ἐροῦμεν τοῦ θεοῦ παρεσχηκότος, ἐν οἷς ἂν λόγοις περὶ αἰτίας οὔρων γράψομεν. 12. Καὶ ταῦτα μὲν περὶ τῶν συμπεπλεγμένως φαινομένων παρυφισταμένων, περὶ δὲ λειότητος ὧδέ πη φάναι θέμις.

*Κεφ. ια'. Περὶ τῆς ἐκ τῶν κατὰ λειότητα τῶν ἀντικειμένων παρυφισταμένων διαγνώσεως.*

1. Λείων τοίνυν καὶ συνεχῶν μενόντων πάνυ τῶν παρυφισταμένων οὐδέν τι νεώτερον ἐπιγεγενῆσθαι δηλοῖ τἀνθρώπῳ. 2. Τραχυνθέντων δὲ καὶ οἷον διασκεδασθέντων, οὐκ ὀλίγη τις ταραχὴ τεκμαίρεται τῷ βάθει γεγενῆσθαι τοῦ σώματος ὑπό τινος νόθου καὶ βιαίου πνεύματος, ὃ δὴ διακινῆσαν οὕτω τὴν ὕλην διελίκμησε κατὰ τὴν τοῦ πνεύματος δηλονότι σφοδρότητα, ὡς ἐντεῦθεν συμβαίνειν καὶ ὅπερ ἤδη εἴρηται. 3. Ἂν τι τύχῃ πάνυ ὠμὸν συμπεπλεγμένον τοῖς παρυφισταμένοις πρὸς τὰ πέρατα τοῦ σώματος εὐθούμενον τῇ βίᾳ τοῦ πνεύματος, τῇ τῆς παχυμεροῦς ὕλης στενοχωρίᾳ οὐκ ὀλίγην αἴσθησιν ἀλγηδόνος γενέσθαι καὶ καθ' ὅσον μὲν τὰ ἀνομοιομερῆ ταῖς παρυφισταμέναις συστάσεσι πεπλεονέκτηκε, καὶ ἡ τοῦ

ἄλγους αἴσθησις γίνεται. 4. Καθ' ὅσον δ' αὖ ἐπὶ πλέον διανενέμηται τῷ κύτει τοῦ χύματος, καὶ τὴν ἐπὶ πλείω μέρη τοῦ σώματος ἀλγεινὴν γνοίης ἂν αἴσθησιν. μάθοις δ' ἂν ἴσως καὶ τὰς αἰτίας ἀκριβέστερον ἐν τοῖς περὶ αἰτίας οὔρων λόγοις. 5. Καὶ τὰ μὲν οὕτω τραχυνόμενα τῶν παρυφισταμένων, οὕτω τυγχάνοντα διάφορα, καὶ τὰς ἐπ' αὐτοῖς διαφόρους ἂν διαγνώσεις σχοίη, ὥσπερ καὶ τὰ συνιζάνοντα καὶ συμπιλούμενα πρὸς ἑαυτὰ τῶν παρυφισταμένων παχυμέρειάν τινα τῆς ὕλης ἐπισημαίνει δυσμετάβλητον, τῇ τῆς γλισχρότητος ἐπιμαρτυρουμένην ποιότητι, ὥστε καί, καθ' ὅσον ἂν τόπον ταῦτα χρονίσωσι τοῦ χύματος, καὶ τὴν ἐπ' ἐκείνῳ τοῦ σώματος διάθεσιν χρονίσαι φάσκουσι, καὶ μᾶλλον εἰ πολλῷ γλίσχρα ταῦτα τυγχάνοιεν ἐξ αὐτῆς τῆς ὕλης ἔχοντα τὸ δυσμετάβλητον. 6. Ἀλλ' ὁ μὲν περὶ λειότητος καὶ τῶν ἀντικειμένων ταύτῃ λόγος καὶ ὧδε ἂν διαγνωσθείη τῷ συνετῷ· νυνὶ δὲ λέξωμεν καὶ περὶ τῶν τοῦ παρυφισταμένου τόπων διοριζόμενοι καὶ ὅσα ἀπὸ τούτων ἔξεστιν εἰδέναι τῷ τὴν περὶ οὔρων θεωρίαν μυουμένῳ.

*Κεφ. ιβ'. Περὶ τῆς ἐκ τῶν κατὰ τόπον παρυφισταμένων διαγνώσεως.*

1. Ὅτι μὲν οὖν τῶν παρυφισταμένων τὰ πρὸς τὸν πυθμένα χωροῦντα ὑποστάσεις λέγεται, τὰ δὲ ἐπαιρόμενα πρὸς τὸ τῆς ἀμίδος μέσον ἐναιωρήματα, νεφέλαι δ' αὖ ὅσαι πρὸς αὐτὴν ἱκνεῖται τὴν περιφάνειαν, ἐν τοῖς περὶ διαφορᾶς οὔρων εἴρηται ἀκριβέστερον, ὥστ' οὐ δεῖ τὸν ἐπ' ἐκείνοις λόγον καὶ ὧδε μηκύνειν. ὅσα δ' ἐφ' ἑκάστῳ λέγεται τῶν τύπων, νῦν πως ἰθῦναι θέμις. 2. Αἱ τοίνυν πρὸς τὸν πυθμένα ἱζάνουσαι ὑποστάσεις, ἀγαθαὶ μὲν οὖσαι καὶ σύμμετροι, οὐδέν τι καινὸν σημαίνουσιν, ὠμαὶ δ' αὖ οὖσαι καὶ διάφοροι τῷ μὲν εἴδει φράζουσι τὴν πονηρίαν, τῷ δὲ τόπῳ φαίνουσι πολλὴν ῥαθυμίαν τῆς φύσεως μὴ διανισταμένης πρὸς τὴν τῶν λυπούντων ἀνατροπήν, ὥστε καὶ χρόνου ὧδε δεῖ σκοπεῖν καὶ ῥώμης. 3. Σκοπεῖν γε μὴν χρεὼν εἰ μὴ προσίσχοιντο τῷ πυθμένι προσπεφυκυῖαι· ἄλλως δὲ λεπταὶ τυγχάνουσιν. αὗται γάρ εἰσιν αἱ ῥηθεῖσαι τοῦ τρίτου τόπου τῶν ὑποστάσεων

*τυγχάνειν ἐν τῷ περὶ διαφορᾶς οὔρων λόγῳ· οὐ μετρίαν δ' ἄρα αἱ τοιαῦται τῇ κεφαλῇ τὴν βλάβην σημαίνουσι, λόγον ἔχουσαι νεφελῶν.* 4. *Αἱ δὲ μετεωρισθεῖσαι φαῦλαι μὲν οὖσαι μετριώτεραι τῶν ὑφιζανουσῶν πεφύκασι τῇ τόπου διαφορᾷ, τἄλλα δὲ ἀγαθαὶ τυγχάνουσαι κατὰ τὸν τόπον μόνον τοῦ τελείως ἀγαθαὶ τελεῖν λείπονται, ὑπὸ νόθου πνεύματος κουφιζόμεναι.* 5. *Τῶν δ' ἐπινεφελουμένων αἱ μὲν ἀγαθαὶ πάντη διὰ τοῦτο καταπίπτουσιν οὐ μέτριον ὂν πρὸς ἀπόστασιν τοῦ κατὰ φύσιν τόπου, ὥστε δεῖ καὶ πλείονος προσδεῖν ὡδὶ τοῦ χρόνου· αἱ δ' αὖ φαῦλαι τοσούτῳ μετριώτεραι δοκοῦσι τῶν λοιπῶν, ὅσῳ καὶ τοῦ τόπου τοῦ κατὰ φύσιν ταῖς κατὰ φύσιν ὑπεχώρησαν ὑποστάσεσι.* 6. *Κοινῷ γὰρ ὧδε δεῖ λόγῳ περὶ τούτων συνιέναι, ὡς τἀγαθὰ τῶν παρυφισταμένων ἀπὸ μὲν τῶν ἄνωθεν πρὸς τὰ κάτω χωροῦντα δεῖ προσίεσθαι. τοὐναντίον δ' αὖ, ἀποτρέπεσθαι· τὰ δὲ φαῦλα κρεῖττον ἀφίστασθαι τοῦ πυθμένος ἢ πρὸς αὐτὸν χωρεῖν.* 7. *Καὶ τὸ μὲν κατὰ διαφέροντας τόπους τοῦ χύματος παρεμφερόμενον παρυφιστάμενον ὧδ' ἄν, οἶμαι, διαγνωσθείη· σκέπτεσθαί γε μὴν ἀκριβῶς προσήκει τῶν παρυφισταμένων τὰς διαφοράς.* 8. *Τῶν μὲν γὰρ κατὰ φύσιν ἐπὶ τὴν ἐπιφάνειαν φερομένων, ἐπὶ πολλῷ τῷ πνεύματι ὠθουμένων, οὐκ ὀλίγην ἄν τις καὶ περὶ κεφαλὴν χειρίστην διαγνοίη διάθεσιν, ὥσπερ αὖ ἐπὶ τῶν ἐναιωρουμένων περὶ τὰ ἀνάλογα τοῦ σώματος μέρη τοῦ παντὸς ἐν οὔροις διαστήματος ἀναλογοῦντος τῷ τοῦ σώματος διαστήματι.* 9. *Τῶν δὲ νόθων ἅμα καὶ παρὰ φύσιν παρυφισταμένων χείρω δὴ καὶ τὰ συμβαίνοντα πρὸς τὸν πυθμένα χωρούντων, ὥστ' ἀκριβῶς προσήκει τὰς διαφορὰς μανθάνειν.* 10. *Ἐνίοτε γὰρ ἤδη χυμοὶ πεττόμενοι καὶ πρὸς τὴν ἐπιφάνειαν αὐτὴν χωροῦντες ἔμφασιν μὲν προυξένησαν τοῖς ἀπειροτέροις ἀγαθῶν παρυφισταμένων.* 11. *Οἱ δ' ἐπιθέντες τὰς ἐπὶ τοῖς πεπεμμένοις παρυφισταμένοις προρρήσεις πολλῷ διήμαρτον τοῦ σκόπου, ἀλλὰ τοῦτο μὲν τοῦ προγνωστικοῦ μᾶλλον ἴδιον, ὥστε δεῖ τὸν λόγον ἐκεῖσε ταμιεύεσθαι. ἡμεῖς δ' ὥσπερ ἀφ' ἑτέρας ἀρχῆς ἀρξάμενοι λέγωμεν.*

*Κεφ. ιγ΄. Περὶ τῆς ἐκ τῶν κατὰ τὰ οὖρα πομφολύγων διαγνώσεως.*

1. Ἐπειδήπερ ἐν τοῖς οὔροις τεθεώρηνται οὐκ ὀλιγάκις ἐπινηχόμεναι πομφόλυγες διάφοροι τῷ σχήματι καὶ τῷ μεγέθει καὶ τῇ ποσότητι, καθὼς περὶ διαφορᾶς οὔρων ἐξεθέμεθα, περὶ τούτων νῦν ἀκριβέστερον ἀποδοτέον καὶ τὰς ἐπ᾽ αὐτοῖς νομιζομένας διαγνώσεις, ἵν᾽ ὥσπερ κατ᾽ ἀριθμὸν τοῦ λόγου προβαίνοντος συνθήκη τις ἀποδοθείη εὔηχος. 2. Ἐπεὶ δὲ καὶ μετὰ διαφόρων αὗται χρωμάτων εἰώθασι συνιέναι, μετά τε γὰρ ὑπολεύκων καὶ ὠχρῶν πυρρῶν τε καὶ ὑπερύθρων ἴσως συναναφαίνεσθαι πεφύκασιν· οὔτε γὰρ τοῖς ἄγαν λευκοῖς συνδιαθεῖεν ἄν, οὔτε τοῖς τῶν ὑπερύθρων ἐπέκεινα χρώμασιν, ἅτε δηλονότι ταῖς ὑπερβολαῖς τῶν ἐπικρατουσῶν ποιοτήτων μὴ δυναμένων τοιούτων ἀποτίκτεσθαι πνευμάτων. 3. Πνεύματος γὰρ αὗται νόθου σύμβολα, καθὼς ἐν τοῖς περὶ αἰτίας οὔρων γράψομεν. 4. Δεῖ που δὴ καὶ ταῦτα μανθάνειν οὐκ ὀλίγα ταῖς ἐπὶ ταῖς πομφόλυξι συντείνοντα διαγνώσεσιν. 5. Αἱ μὲν οὖν περὶ στεφάνην μόνην ὁλοκλήρως περιδεδραμηκυῖαι πομφόλυγες, ἄν που τύχῃ καὶ τὸ τοῦ χύματος κατακεχρῶσθαι χρῶμα, μείζω σημανοῦσί σοι τὴν διάθεσιν, κεφαλῆς οὐ μέτριον ἄλγος ὑπαγορεύουσαι. 6. Αἱ δὲ διεσπαρμένως περιϊοῦσαι τὴν στεφάνην, ὑπ᾽ ἀσθενεστέρας μὲν αἰτίας γεγένηνται, τὰ παραπλήσια δὲ σημαίνουσι, καὶ τοσούτῳ μείζους φέρουσιν αὗται τῇ κεφαλῇ τὰς ἀλγηδόνας, ὅσῳ καὶ μετὰ πυρρωδεστέρων ἐπιφαίνονται τῶν χρωμάτων πολλὴν τὴν τοῦ λυποῦντος πνεύματος δριμύτητα καταγγέλλουσαι. 7. Αἱ δὲ μετὰ λευκῶν χρωμάτων καὶ τῶν ἐγγὺς λευκῶν πομφόλυγες συνιστάμεναι περὶ τὴν στεφάνην βραχύ τι ἢ οὐδὲν σημαίνουσιν ὀδυνῶδες τῇ κεφαλῇ, καὶ μᾶλλον, ὅσῳ λευκὰ τυγχάνουσι τὰ χρώματα. 8. Κἂν μὲν οὖν λευκὰ τὰ οὖρα τότε εἴη, καὶ οὐ πεπεμμένα πάντῃ τὰ παρυφιστάμενα κέκτηται, τὴν τοῦ φυσικοῦ θερμοῦ ἂν ἴσως γνοίης ἀρρωστίαν τούτων πρόξενον· εἰ δὲ παχέα πάντῃ, τοῦ κατ᾽ ἐκεῖνα χυμοῦ τὰ πνεύματα ἔγγονα. 9. Ἐπί γε μὴν τῶν λεπτῶν τε καὶ ἀνυποστάτων ἔμφραξις ἂν μᾶλλον τῶν νεφρῶν διαγνωσθείη, καὶ περὶ μὲν τῶν κατὰ τὴν στεφάνην μόνον πομφολύγων τοιαῦτα

ἄν τις διαγνοίη. 10. Ἐπεὶ δ' ἐνίοτε πρὸ τῆς στεφάνης καὶ περὶ τὸ μέσον τῆς ἐπιφανείας συνηγμέναι τινὲς συνίστανται πομφόλυγες, καὶ ταύτας οὕτω διαγινώσκειν προσήκει. 11. Ἐπείπερ αἱ περιοῦσαι τὴν στεφάνην ἀλγεινήν τινα διάθεσιν τῇ κεφαλῇ ὑπεσήμαινον, νῦν κἀπὶ τὸ μέσον αὐτὸ χωρήσασαι ἄνεσίν τινα τῶν ἀλγεινῶν σημανοῦσιν, ὥσπερ παλινδρομησάσης τῆς τὰς ἀλγηδόνας προξενούσης προφάσεως. 12. Αἱ δ' ἐπὶ ταύταις ἕτεραι πομφόλυγες ἀνωμάλως διακεχυμέναι τῇ τοῦ οὔρου ἐπιφανείᾳ, τοιοῦτο μὲν οὐδέν τι σημανοῦσι, πολλὴν δ' ἂν ἴσως καταγνοῖεν ἀρρωστίαν τῆς φύσεως, καὶ μᾶλλον ὅσῳ πλείους εἶεν, ἐμφράξεις τε καὶ χυμῶν ὠμῶν πλῆθος, καὶ ὅσα ἂν ἕτερα εἰκότως φαίης, καὶ ὁ περὶ προγνώσεως σοι ἀποδώσει λόγος. 13. Ἐφ' αἷς γε μὴν αἰτίαις αὗται συνίστανται, καὶ διὰ τί μὴ μετὰ πάντων τῶν χρωμάτων, ἐν τοῖς περὶ αἰτίας οὔρων ἀποδώσομεν λόγοις. 14. Προσεπιθεῖναι δὲ τοῦτο μόνον δεῖ τῷ λόγῳ, ὅτι πολλάκις ἤρκεσαν ἂν τἀγαθοῦ σημείου πέψεως ἐπιφανεῖσαι πομφόλυγες μὴ πρότερον ὀφθεῖσαι, ἐπιχειρούσης ἤδη δηλονότι πέττειν τῆς φύσεως. 15. Τοῖς γε μὴν γονορρυέσι πυκνότεραι μὲν τοῖς οὔροις ἐπιφαίνονται πομφόλυγες περὶ τὴν στεφάνην. ἐνίοτε δὲ καί τινα συνεπιφέρεται ταύταις πάνυ βραχύτατα σωμάτια, θριξὶ τὸ πάχος ἐοικότα, οὐ μέντοι ἐπιμήκη, ἀλλ' ὅσην ἄν τις τὴν ἐπὶ ταῖς ῥηθείσαις οἰηθείη πομφόλυξι διάμετρον, καὶ βραχύ τι μείους τε καὶ μείζους εἴτε τῆς γονῆς αὐτῆς ὡς ἄν τις φαίη κόμματα καὶ τῶν νεφρῶν συντήγματα. 16. Ἀλλ' ὁ μὲν ἐπὶ ταύταις λόγος ἱκανῶς ῥηθεὶς ὧδέ πῃ καὶ πανέσθω· ἐπεὶ δὲ τῶν περὶ στεφάνην λόγων ἐμνήσθημεν, καὶ ταῦθ' ὥς πως ἐξευρημένα τῷ λόγῳ προσαποδοτέον.

### Κεφ. ιδ΄. Περὶ τῆς ἐκ τῶν ἑτεροχρόων στεφανῶν διαγνώσεως.

1. Ἐπεὶ γάρ ποτε καὶ διαπίπτοντες τὰ χρώματα περὶ τὴν στεφάνην διαφαίνεται τῆς ἀμίδος τοῦ παντὸς ἐν χύματι χρώματος, ὅσα μὲν μεθίσταται πρὸς τὰ προηνέστερα τῶν χρωμάτων, κἂν τὰ λοιπὰ τῶν ἀγαθῶν οὐκ εἴη, τούτοις ἀγαπᾶν ὡς ἀγαθοῖς σημείοις· ὅσα δ' αὖ εἰς

χείρω τῶν τοῦ χύματος, ἀποστρέφεσθαι καὶ μᾶλλον εἰ πρὸς τὰ πολλῷ χωροίη χείρω χρώματα. 2. Ἐπὶ πυρρῶν γὰρ ἤδη καὶ ἐρυθρῶν καὶ οἰνωπῶν καί τινων παραπλησίων οὔρων λευκῆς διαδραμούσης στεφάνης ἤ τινος παραπλησίας, ἀγαθὰ τοῖς οὔροις σημαίνει, ὥσπερ ἠργμένης ἤδη κρατεῖν τῆς φύσεως. χλωρῆς δ' αὖ καὶ κυανῆς καὶ χείρονος διαδραμούσης τἀναντία τούτων δεῖ τεκμαίρεσθαι, κρατεῖν τῶν φαύλων πειρωμένων χυμῶν. 3. Οὕτως ἔσται κἀκ τῶν περὶ τὴν στεφάνην ἐμφαντικῶς οἷον ἐνδεικνυμένων χρωμάτων διαγινώσκειν τὰ τοῖς ἰατροῖς προσήκοντα καὶ τοῖς κάμνουσιν, ἵν' οἱ μὲν ὀρθῶς θεραπευόμενοι τελοῖεν, τοῖς δὲ τὸ ἀσφαλῶς διαγινώσκειν γίνηται.

Κεφ. ιε'. Περὶ τῆς ἐκ τῶν ἐπινηχομένων τῷ χύματι διαγνώσεως.

1. Ἐπεὶ δὲ καί τινα ἑτεροειδοῦς αἰτίας ἐπινήχεται τοῖς οὔροις ἀραχνίαις τε καὶ στίγμασιν ὡς ἐξ ἐλαιῶν ἐοικότα, καὶ ταῦτα εἰδέναι θέμις σύμβολά τινος συντήξεως τυγχάνοντα, ἤτοι τῶν νεφρῶν αὐτῶν μόνων, ἢ καὶ τοῦ παντὸς αὐτοῦ σώματος, ἀλλὰ πρὸς ὀλίγον μὲν ὀφθέντα, ἀναλύσαντα δ' αὖθις οὐδέν τι δεινὸν σημαίνουσι, ἐπίμονόν τινα δ' εἰληφότα ὡς ἀρχὴν σημαίνοντα συντήξεως ταῦτ' ἀποστρέφεσθαι προσήκει.

Κεφ. ις'. Περὶ τῆς ἐκ τῶν κατὰ τὴν ὀσμὴν διαγνώσεως.

1. Ἐπεὶ δὲ κἀκ τῆς δυσώδους ἀποφορᾶς τῶν οὔρων τῶν ἐντός τινα σῆψιν μερῶν ἤτοι μείζω ἢ μείω τεκμαιρόμεθα καὶ ταῦτα ὧδε χρὴ διαγινώσκειν. 2. Εἰ μὲν καὶ πῦόν τι τοῖς οὔροις διαφαίνηται, πρόδηλον τὸ αἴτιον· εἰ δὲ τοῦτο οὐκ εἴη, μέτρια δ' ἅττα πέψεως εἴη σύμβολα, τάχ' ἂν τινος μορίου νέκρωσιν διασημαίνοιτο, ὥσπερ αὖ φαύλων τῶν ἐπὶ τοῖς οὔροις ὄντων σημείων, ἡ διὰ παντὸς τοῦ σώματος συνάγεται περιοῦσα νέκρωσις καὶ δεῖ κἀκ τῆς ὀσμῆς οὕτω λογίζεσθαι. 3. Ἐπεὶ τοίνυν περὶ πάντων τῶν τοῖς οὔροις γενικῶς παρυφισταμένων εἴρηται, καὶ αἱ ἐπ' αὐτοῖς ὡς οἷόν τε ἐξετέθησαν διαγνώσεις, νῦν ἂν εἴη χρεὼν καὶ τὰς ἐπὶ τοῖς ἀνυποστάτοις ἐπιθεῖναι τῷ

λόγῳ διαγνώσεις τὰ μάλιστα προσήκουσας τῇ περὶ οὔρων πραγματείᾳ.

Κεφ. ιζ΄. Περὶ τῆς ἐκ τῶν ἀνυποστάτων οὔρων διαγνώσεως.

1. Τῶν τοίνυν ἀνυποστάτων οὔρων τὰ μὲν καὶ πάνυ πέφυκε λεπτά, τὰ δ' αὖ σφόδρα, ἔνια δ' ὑπερπηδήσαντα τὸ σύμμετρον τῶν μὲν συμμέτρων φαίνεται πυκνότερα· οὐ μέντοι γε παχέα ταῦτα ῥηθείη μεταξὺ τυγχάνοντα τῶν τε συμμέτρων καὶ τῶν μετρίως παχέων. 2. Ἐπεὶ δὲ καὶ οὐ τοῖς αὐτοῖς τὰ πάντα κέχρωσται χρώματι, (τὰ μὲν γὰρ πάνυ λευκὰ καθέστηκε, τὰ δ' αὖ μέτρια, ὠχρὰ δ' αὖ ἕτερα καὶ ξανθὰ καὶ οἱαδήτινα ἕτερα· οὐ γὰρ δεῖ τὰ πάντα νῦν καταστρωννύειν τοῖς γράμμασι πολλάκις εἰρηκότα), ὥστε δεῖ ποθεν ἐντεῦθεν λέγειν ἀρξάμενον. 3. Τῶν τοίνυν λεπτοτάτων οὔρων λευκῶν πάνυ καὶ ἀνυποστάτων τελούντων ἤτοι ἀξιόλογός τις ἔμφραξις ἐπινοεῖται τῶν ἀγγείων ἤ τις ἐξαισία ψύξις τε καὶ ἀπεψία, μετριαζόντων δὲ καὶ ταῦτα συμμετριάζεται. 4. Τά γε μὴν ὠχρὰ καὶ ὕπωχρα ἧττους μὲν καὶ τὰς ἐμφράξεις σημανεῖται, οὐχ ἧττους δὲ καὶ τὰς ἀπεψίας· μὴ γὰρ ἡγησαμένης πέψεως τάχ' ἂν οὐδὲ παρυφιστάμενον ἔψοιτο περίττωμα τελοῦν τῆς γινομένης πέψεως. 5. Τὰ δὲ πυρρά τε καὶ ξανθὰ ἥσσους μὲν φαῖεν τὰς ἐμφράξεις· ἀπεψίαι δὲ ἐμποιητικὰ τυγχάνουσιν ὥσπερ ἀπομαχομένης τῇ φυσικῇ τῆς νόθου θερμότητος· ταῦτα δ' ἂν ἴσως ἀνυπόστατα ὀφθεῖεν καὶ δι' ἀμετρίαν μὲν κόπου τε γυμνασίων, οὐχ ἥκιστα δὲ καὶ δι' ὕλης ἔνδειαν. 6. Ἃ δὲ τῶν οὔρων τοῖς ἐπέκεινα τῶν ῥηθέντων χρώμασι κέχρωσται, ἐρυθρὰ καὶ κυανὰ καὶ οἱαδήτινα τυγχάνοντα, τοῖς μὲν χρώμασιν ἐπιμαρτυρήσει τὴν τῶν ἐπικρατούντων χυμῶν ποιότητά τε καὶ ἰδιότητα καὶ λέλεκται περὶ χρωμάτων ἰδιότητος ἐν τῷ πρὸ τούτου λόγῳ. 7. Τῷ δέ γε τελεῖν ταῦτα ἀνυπόστατα ἐμφράξεις μὲν οὐκ ἂν δηλοῖεν ἐπιδήλως, μάλιστά γε μὴν οὐχὶ βραχεῖάν τινα τελεῖν τὴν σηπεδόνα τε καὶ ἀπεψίαν τῷ φλεβώδει γένει, καί ποτε φλεγμονή τις ἀξιόλογος μορίων τῶν καιριωτέρων τοιαῦτα οὖρα ἤνεγκεν οὐκ ἀπεικότως ἐκεῖσε δήπουθεν ἐφελκομένης τῆς ὕλης ὡς διὰ σικυίας τινὸς τῆς ἐπισωρευ-

*θείσης νόθου θερμότητος.* 8. *Ἀλλὰ τοῦτο μὲν τοῦ περὶ αἰτίας οὔρων λόγου, ὥστ᾽ ἐκεῖσε μᾶλλον θέμις εἰπεῖν φυλάττειν. τὰ νῦν δὲ τῶν ἑξῆς ἐχόμενοι λέγωμεν.* 9. *Καὶ δὴ τὰ ἀνυπόστατα τῶν οὔρων ἀεὶ μὲν ὡς ἴσμεν φαῦλα πέφυκε πολλῷ λειπόμενα τοῦ κατὰ φύσιν· τοσοῦτον δ᾽ ἀλλήλων διαφέρουσιν ἐς κακίαν, ὁπόσον ἂν καὶ τὰ χρώματα διενέγκωσιν.* 10. *Ἂν μέντοι τὰ μὲν χρώματα καὶ αἱ συστάσεις βραχύ τι λείπονται τοῦ συμμέτρου, ἀφανῆ δ᾽ εἶεν αὐτοῖς τὰ παρυφιστάμενα μέμφεσθαι χρεὼν καὶ ταῦτα νωθρότητά τινα κατηγοροῦντα τῆς φύσεως· προσίεσθαι δ᾽ ὡς μετ᾽ ὀλίγον ὑπόστασιν ἐπιδειξόμενα.* 11. *Τῆς γὰρ δυνάμεως βραχύ τι τῶν σφετέρων ἔργων διαπεπτωκυίας καὶ ἡ ἀνάκτησις ῥᾳδία ἕψεται, φαίνοιντο δ᾽ ἂν ἀνυπόστατα καὶ δι᾽ ἀλγηδόνας τε καὶ ἀϋπνίας ἐπιταθείσας πάνυ· ἀξιόχρεος γὰρ τούτων ἑκατέρα, τὴν δύναμιν ἐπὶ τοσοῦτῳ καταλῦσαι, ὥστ᾽ ἀφελέσθαι καὶ τῶν οὔρων τὰ παρυφιστάμενα.* 12. *Ἑκάτερον γὰρ ὡς εἴρηται γεγονὸς ἀξιόλογον δι᾽ ἑαυτὸ ὑφ᾽ οἵας δήτινος αἰτίας καταλῦσαι μὲν τὴν δύναμιν χρονίσαν δύναται, τὰ πέψεως δ᾽ αὖ ὑφελέσθαι σύμβολα· θατέρου γὰρ ἐνίοτε συμβαίνειν τελεῖν σύμπτωμα, ἀλλ᾽ οὐ μὲν οὖν τοῦ συμπτώματος τὸ αἴτιον τῆς ἀπολήψεως τοῦ παρυφισταμένου, ἀλλὰ τοῦ διὰ τὸ σύμπτωμα γέγονεν.* 13. *Κἀκεῖνο γοῦν δεῖ προσεξευρίσκειν τῷ λόγῳ· ἐφ᾽ αἷς γε μὴν καὶ ταῦτα αἰτίαις γίνεται, ὁ περὶ αἰτίας οὔρων ἐπαποδώσει λόγος, ὥστ᾽ οὐ δεῖ λανθάνειν τὰς διαγνώσεις τῶν ἀνυποστάτων οὔρων, ἀποδιδομένων καὶ τῶν αὐτῶν.* 14. *Καί τινος δὲ δεῖ ῥοπῆς οἰκείας τῷ διαγινώσκοντι ἔς τ᾽ ἀγχίνοιαν καὶ στοχασμὸν ἀδιάπτωτον.* 15. *Ἐπεὶ γὰρ οὐχὶ ποσοῖς τισιν ὡρισμένοις αἵ τε συστάσεις καὶ τὰ χρώματα καὶ προσέτι τὰ παρυφιστάμενα καὶ ὅσα περὶ αὐτὰ συμβέβηκεν, ἐνδέχεται διορίσασθαι. τῆς γὰρ ἀεὶ ῥεούσης καὶ κινουμένης ὕλης οὐδεὶς ἂν θείη ἑστῶτα μέτρα καὶ ἀδιάπτωτα.* 16. *Τοῦτο γὰρ τῶν ὑπὸ τὴν αἴσθησιν ὡσαύτως ἐχουσῶν οὐσιῶν πέφυκεν, ἀλλὰ διορισμοῖς τισι καὶ συμβόλοις οἷον ὑποτετύπωται τὰ τῆς φύσεως ἐν κινουμένοις σώμασιν ἔργα.* 17. *Δεῖ τινος δὴ στασίμου καὶ μὴ βεβηκότος πράγματος, ᾧ τις ἂν ἐχόμε-*

νος ταῖς αἰσθήσεσιν ἐπικρίνοι ἂν τὰ τῶν κινήσεων καὶ ἀλλοιώσεων μέτρα. 18. Νοῦ δ' ἂν εἴη πάντως ἀκραιφνοῦς ἔργον τοῦτο, ἐξευρεῖν τε ὅσον εἰκὸς μέτρα μεταβολῶν ἐπὶ τῶν μὴ ἀεὶ ὡσαύτως ἐχόντων καὶ διαφορὰς αὐτοῖς ἐπιθεῖναι τοὺς λόγους τούτων προδιευκρινήσας. 19. Ὥστ' ἄν τις ἐτυχέ τινος τοιαύτης ἀστειότητος, τῆς φύσεως ῥαδίως μὲν κἀκ τούτων ἕξει διαγινώσκειν, προχείρως δ' αὖ καὶ τὰ τῷ λόγῳ λείποντα προσεξευρίσκειν, ἃ τοῖς καθολικοῖς ὡς οἶμαι προσδιορισμοῖς ἐμπεριείληπται, ταῖς δὲ κατὰ μέρος ἀπολέλειπται γραφαῖς. 20. Ἀλλὰ ταῦτα, κἂν μὴ πρὸς τὸν προκείμενον ἐπὶ ταῖς διαγνώσεσι σκοπὸν συντείνῃ, ἀλλ' οὖν οὐδ' ἀπῳδὰ τῷ λόγῳ πάντῃ πέφυκεν. 21. Ἡμεῖς δ' ἐπιθέντες τὸν λόγον καὶ περὶ τῶν ἐνδεχομένων οὔρων τοῖς ὁποίοις δήτισι τῶν νοσημάτων (τοῦτο γὰρ ἤδη μόνον ἐς ἀπαρτισμὸν τῶν περὶ διαγνώσεως λόγων λείπεται), τέλος ἐπιθήσομεν τοῖς περὶ διαγνώσεως οὔρων λόγοις. 22. Καὶ ἄλλως τὸ μακροὺς ὡς εὐδιάβλητον ἀπομηκύνειν φεύγοντες λόγους, οὐ μείων δ' ἂν εἴη πρόφασις καὶ τὰ ῥηθησόμενα τῶν οὔρων τοῖς συμπεπλεγμένως ἐξεταζομένοις οὔροις. 23. Τάχα γὰρ εἰ μὴ ἐν πᾶσιν ἀλλ' οὖν τοῖς πλείοσι μεθόδοις ταῦτ' ἂν δοίη τοῖς σπουδάζουσι διαγνώσεων.

Κεφ. ιη'. Ὅτι ἀδύνατον τὰ κατὰ μέρη διαλαβεῖν εἰς ἀπειρίαν οἷον διαπίπτοντα.

1. Εἰδέναι μέντοι πρὸ τούτων χρεών, ὡς ἡμεῖς περὶ ἁπλῶν χρωμάτων τὸν λόγον ποιούμενοι — ἐπὶ τούτοις γὰρ μόνοις ὀνομάτων ἀπορήσομεν οἰκείων τε καὶ γνωρίμων —, ἀποδείξαντες, τίσι μάλιστα τῶν χρωμάτων τίνες συναναφαίνονται χυμοί, περὶ τῶν συμπεπλεγμένων οἷον ἐν τοῖς χρώμασιν ἐπιφαινομένων χυμῶν, οὐθ' ἡμῖν ῥᾴδιον καταλέξαι γέγονεν οἰκείων ἀπορήσασιν ὀνομάτων, ὑμῖν τε τοῖς περὶ ταῦτα σπουδαίοις οὐκ εὔληπτον ἂν ἔδοξεν, ἤτοι χρώμασί τινων εἰδῶν παραβαλλόντων ταῦτα ἢ καί τισι διορισμοῖς ὑπογραφόντων οὐκ ἀκριβέσι, καὶ ἄλλως ἀπείρου τε καὶ δυσχεροῦς τῇ γνώσει τοῖς ἐν διαφόροις τῶν χυμῶν ποσοῖς μίξεως τυγχανούσης. 2. Ἐπεὶ τοίνυν δέδεικται

τὰ γενικώτερα τῶν χρωμάτων καὶ οἶδε πᾶς τις νοῦν ἔχων ταῦτα διορισμοῖς τισι καὶ ὁμοιότησί τινων γνωρίμων παραβληθέντα, προσῆκον ἂν εἴη τῷ συνετῷ καὶ τῶν ἐκ διαφόρων χυμῶν συνιόντων καταστοχάζεσθαι χρωμάτων καὶ τὰς ἐπὶ τούτοις ποίας μίξεις ὡς οἷόν τε ἐξετάξειν. 3. Οὐδεὶς γὰρ ἂν χρόνος ἀρκέσῃ οἶμαι ἐς ἀκριβῆ κατάληψίν τε καὶ ὑπογραφὴν ἐπὶ τὴν ὁσημέραι συμπλικῶν τοῖς οὔροις φαινομένων. 4. Εἰ γάρ τις τὰ χρώματα ῥηθέντα καὶ τὰς ἐπὶ τούτοις ἐπιτάσεις τε καὶ ὑφέσεις καὶ τὰ ἐκ τῆς πρὸς ἀλλήλας τῶν μίξεων ἀποτελούμενα ἴσως τε καὶ ἀνίσως λόγους τε καὶ ἀναλογίας καὶ ὅπως ἄλλως ἔτυχε, καὶ τὰς ἐπὶ τούτοις μικροῦ δεῖν ἀπείροις οὖσι, μεθ' ἑκάστης τῶν ἐνδεχομένων ἑνώσει συστάσεων καὶ τὰ ἐν ἀμφοτέροις συναγόμενα τοῖς ἐνδεχομένοις φαίνεσθαι ἐπισυνάψει παρυφισταμένοις καθ' ἕκαστα, πολυσχιδῆ ἂν οἶμαι καὶ μικροῦ δεῖ καὶ ἄπειρα ποιήσειεν. 5. Ἐῶ δὲ λέγειν εἴ τις πειρῷτο λέγειν τὰ συμπλεκόμενα ἐπὶ ταῖς διαφοραῖς ἡλικιῶν καὶ κράσεων καὶ γενῶν κατὰ ἓν καὶ κατὰ δύο καὶ τρία καὶ ἄλλως πως ἐθῶν τε καὶ τροφῶν καὶ γυμνασίων, ὡρῶν καὶ χωρῶν καὶ ὕπνων καὶ ἀγρυπνιῶν καὶ οἵων δήτινων ἀρρωστημάτων. 6. Τάχα γὰρ ἂν καὶ νοῦς ἰλιγγιάσειεν ἑκάστῳ τούτων τὰ κατὰ μέρος ὑφ' ἓν ἐπιμιγνύς· οὔτε γὰρ οἶμαι χρόνου πρὸς ἀπαρτισμὸν τοῦ βεβουλευμένου εὐπορήσει καὶ τὰ χρείω ἀπορήσας χρόνου διαφεύξεται, ὥστε μένειν ἔτι ἄπορον τὸ ἄπορον. 7. Ἀλλὰ τί πρὸς ταῦτα γέγονεν ἡ πρόσληψις τῆς διανοίας ἐμμεθόδως πως τὰ κατὰ τὴν θεωρίαν προσδιασκεψαμένη καὶ καθολικαῖς τισι προλήψεσι τὰ κατ' αὐτὴν συναγαγοῦσα ἠκριβωμένην μέθοδον ἐν πᾶσιν ἔθεντο τῇ τέχνῃ, ὅθεν καὶ τὰς ἐπ' αὐτοῖς διαφοράς τε καὶ διαγνώσεις καὶ προσέτι αἰτίας καὶ προγνώσεις ἀκριβῶς ἐξέθετο, ὥστ' ἐντεῦθεν καὶ τῶν μὴ εἰς προῦπτον καταστοχάζεσθαι ῥηθέντων. 8. Σκεπτέον τοίνυν ἐνταῦθα καὶ περὶ τῶν λειπομένων τῷ λόγῳ, ἵν' ὅπως πέρας εἰληφότες τοῦ προκειμένου σκοποῦ καὶ τοῦ περὶ αἰτίας οὔρων θεοῦ διδόντος ἁψώμεθα.

Κεφ. ιθ΄. Ὅτι οὐ ῥᾳδίως ἐντεῦθεν οἱ ἐφήμεροι διαγινώσκονται πυρετοί.

1. Τῶν οὖν ἐφημέρων πυρετῶν ὅσοι ἐκ θυμοῦ καὶ λύπης, κόπου τε καὶ ἀγρυπνίας καὶ φροντίδος καὶ ἐγκαύσεως καὶ ψύξεως, ἐπ᾿ ἀσιτίᾳ τε καὶ ἀπεψίᾳ γινομένων καὶ τῶν λοιπῶν κατὰ εἶδος ἐξευρημένων ὀλίγην ἄν τινα διαφορὰν ἐν οὔροις ἴδῃ τις, μή τινος ἑτέρου πάθους παραπεσόντος ἢ σήψεώς τινος χυμῶν συμπεσούσης ἐντεῦθεν. 2. Ἐπεὶ γὰρ ἀλλοιωθέντος μόνου πνεύματος τὰ τοιαῦτα τῶν ἐφημέρων εἴδη γίνεται πυρετῶν, τὰ δ᾿ οὖρα δέδεικται τὰ περὶ τοὺς ἐν φλεψὶ χυμοὺς τελοῦντας συμβαίνοντα μαρτυρεῖν μᾶλλον, εἰκότως οὐκ ἂν ἀξιολόγως ἐπὶ τούτων ἀλλοιωθείη τὰ οὖρα, εἰ μή που κατὰ τὸ χρῶμα· τοῦτο γὰρ εὐπαθέστερον καὶ τοῦτο δ᾿ οὐκ ἐπὶ πολύ. 3. Πρὶν ἢ γὰρ αἰσθέσθαι τε καὶ ἠλλοιῶσθαι τοὺς ἐν φλεψὶ χυμοὺς ὑφ᾿ οἱωνδήτινων ἐφημέρων πυρετῶν, ἐκεῖνοι μὲν ἔφθασαν λυθέντες καὶ μᾶλλον εἰ προσηκούσης τύχοιεν διαίτης· ἐκεῖνα δὲ βραχύ τι ὅσον ἀλλοιωθέντα κατὰ τὰ χρώματα, τήν τε σύστασιν μικροῦ δεῖν παρεφυλάξαντο σύμμετρον καὶ τὰ παρυφιστάμενα τὴν καθήκουσαν ἀναλογίαν προτείνοντα. 4. Καὶ ἐφημέρων μὲν πυρετῶν οὕτως οἴομαι· τῶν δ᾿ ἀπὸ σήψεως ἀναφθέντων μαθεῖν ἐστιν ὧδε τοῦ λόγου διεξιόντος. 5. Ἀλλ᾿ ἐπειδήπερ οἱ μὲν αὐτῶν εἰσι διαλείποντες, οἱ δὲ συνεχεῖς, περὶ τῶν διαλειπόντων πρώτως εἰπόντες καὶ περὶ τῶν συνεχῶν εἶθ᾿ οὕτως ἐροῦμεν.

Κεφ. κ΄. Διάγνωσις τριταίου ἀκριβοῦς καὶ νόθου πυρετοῦ.

1. Τριταίου τοίνυν ἀκριβοῦς ἐπιγεγονότος, οὖρα ἂν φανείη ἤδη πυρρά τι καὶ ξανθὰ τὴν σύστασιν καὶ τοῦ συμμέτρου παχυτέραν εἰληφότα· καὶ ταῖς μὲν ἀρχαῖς οὐδέν τι τούτοις παρυφίσταται σημεῖον πέψεως, τοῦ χρόνου δὲ προϊόντος καὶ πέψεως ἐπιφαίνεται σύμβολα καὶ τἄλλα πρὸς τὸ σύμμετρον αὐτὸ χωρεῖ κατὰ λόγον. 2. Ὅ γε μὴν νόθος τριταῖος τό τε χρῶμα πολλῷ διηλλαγμένον ἐν τοῖς οὔροις δείκνυσιν ἐπὶ τὸ χολωδέστερον καὶ τὴν σύστασιν εἴληχε καὶ τἀκριβοῦς παχυτέραν. 3. Καὶ πλείω δὲ τούτοις τῆς ἀπεψίας ἐν τοῖς παρυφισταμένοις δείκνυται σύμ-

*βολα, καὶ τριταίου μὲν ἀκριβοῦς τε καὶ νόθου τοιαῦτ' ἂν οὖρα ὀφθείη.*

Κεφ. κα'. *Διάγνωσις ἀκριβοῦς τεταρταίου καὶ νόθου πυρετοῦ.*

1. *Τεταρταίου δὲ ἀπὸ σπληνὸς εἰληφότος τὴν σύστασιν δυσπραγήσαντος λεπτὰ μὲν καὶ λευκὰ καὶ ἀνυπόστατα ἐν ταῖς ἀρχαῖς ἐμφαίνεται, τοῦ χρόνου δὲ προήκοντος ταῖς μὲν ἀνέτοις μᾶλλον τῶν ἡμερῶν καὶ ἀθρόας ἐπιφαίνεται τὰς ὑποστάσεις ἔχοντα, καὶ αὐτὰ δὲ τεθόλωται ἐνίοτε, τῇ δὲ τῶν παροξυσμῶν ἐχούσῃ ἔτι λεπτὰ καὶ λευκά, καί πως ἀμυδρὰν ὑπόστασιν ὑποφαίνοντα, εἴ γε πέψιν ἤδη λαμβάνει τὸ νόσημα.* 2. *Ἐπειδὰν δ' ἤδη καθαρῶς εἰς πέψιν τὰ τοῦ πάθους χωρήσῃ, τά τε οὖρα καθαρώτερα φαίνεται πρὸς τὸ κατὰ πάντα σύμμετρον χωροῦντα, καὶ τὰ πολλὰ τῶν συμπτωμάτων παραλύεται τῆς καθ' αὑτὰ δυνάμεως.* 3. *Ἔστι γε μὴν ὅτε καὶ μέλανος ἐπιρρυέντος χυμοῦ τοῖς οὔροις, ἀνεῖται λήξαντα τὰ δεινά.* 4. *Τοῦ δ' ἥπατος φλεγμαίνοντος καί πως ἄλλως θερμῶς διατεθέντος ἐπὶ γεγονότι τεταρταίῳ, ἐξέρυθρα ἂν καὶ σανδαραχώδη οὖρα φανείη, παχύτερα μὲν τοῦ συμμέτρου τυγχάνοντα, μετρίας δὲ καὶ ἀνωμάλους τὰς ὑποστάσεις ἔχοντα.* 5. *Ἔσθ' ὅτε δὴ καὶ διὰ ὅλου ταῦτα φαίνεται παχέα καὶ ἐρυθρὰ κατὰ τὴν τῶν χυμῶν ἐπιπλοκήν τε ἅμα καὶ ἐπικράτειαν. καὶ τεταρταίων μὲν τοιαῦτ' ἂν εἴη οὖρα.*

Κεφ. κβ'. *Διάγνωσις ἀμφημερινῶν πυρετῶν.*

1. *Τοῦ δέ γε ἀμφημερινοῦ κρατοῦντος λεπτά τε καὶ λευκὰ καὶ οἷον ὑδατώδη καὶ ἀνυπόστατα ταῖς ἀρχαῖς ὥσπερ κἀπὶ τῶν τεταρταίων εἴρηται.* 2. *Προβαίνοντα δὲ παχύνεται καὶ ὑποστάσεις ἀθρόας δείκνυσι καὶ παχείας, ἔγγονά τινα τελούσας τῆς τῶν χυμῶν ὠμότητος, ἔτι δὲ προβαίνοντος τοῦ χρόνου, καὶ πέψεώς τινος ἀμυδρὰ σημεῖα φαίνεται, ὁπότε δὴ τὸ πάθος εἴη κεχωρηκὸς πρὸς τὸ μηδέν.* 3. *Τῶν γὰρ τοιούτων πυρετῶν διαλειπόντων τότε τεκμαιρόμεθα τὴν λύσιν ἔσεσθαι ἐξ ὑπογυίου, ὁπόταν δηλονότι πέψεώς τινος ὀφθῇ σημεῖα.* 4. *Πεπλεονέκτηκε δὲ τούτων τῇ παχύτητι ὁ τριταῖος διαλείπων πυρετός· τότε γὰρ ἅπαν*

τῆς ἐπικρατείας τούτου οὐκ ἂν ὑπάρχῃ τὴν δευτέραν ἑβδομάδα, εἰ μή που νόθος εἴη τριταῖος καὶ καθόσον ἂν ἡ πέψις προίσχῃ, καὶ τὴν λύσιν ὅσον οὔπω παραγεγενῆσθαι σημαίνει. 5. Συνεχῶν δὲ ἐπὶ σήψει πυρετῶν πρώτως μὲν ἂν τὰ χρώματα ἀλλοιωθείη πρός τε τὸ πυῤῥὸν καὶ ἐρυθρὸν καὶ οἰνωπὸν καὶ κυανοῦν καὶ τὰ παραπλήσια χωροῦντα κατὰ τὴν τῶν χυμῶν ποιότητά τε καὶ ποσότητα καὶ αἱ συστάσεις τούτοις ἀνώμαλοι καὶ μᾶλλον πρὸς τὸ παχύτερον ῥέπουσαι· ἐνίοτε μὴν ἐπὶ τὸ λεπτότατον. 6. Ὅτι δὴ καὶ τὰ χρώματα ἤτοι λευκὰ ἢ ἑτεροῖα τυγχάνει, παρυφιστάμενα δὲ ταῖς ἀρχαῖς οὐκ ἂν ὀφθείη πεπεμμένα, ἀλλ᾽ ἀνώμαλά τε καὶ διάφορας προχωρούσης δὲ τῆς νόσου, εἴ γε ῥάω τὰ πάντα γίνεται, καὶ πέψεως ἤδη φαίνεται σύμβολα.

Κεφ. κγ΄. Διάγνωσις οὔρων τῶν ἐπὶ σήψει πυρετῶν.

1. Οὐ δεῖ δὲ καὶ τοῦτο λανθάνειν, ὡς ἐνίοτε μετὰ τὰς ἀκμὰς ἀθρόα τε καὶ παχέα ὑφιζάνει παρυφιστάμενα τὴν ὁρμὴν ἐκεῖσε λαβούσης τῆς ἐπὶ τῷ φλεβώδει γένει τῶν χυμῶν σήψεως. 2. Καὶ τούτου μὲν ἀποδέχεσθαι δεῖ ἔγγιον ὑγείαν σημαίνοντα, ἀποστρέφεσθαι δὲ τὰ τοιαῦτα κατὰ τὰς ἀρχὰς ἐπιφαινομένας· δεῖ γὰρ ἐνταῦθα χρόνου τε καὶ ῥώμης εἰς πέψιν δυνάμεως. 3. Χείρονα δ᾽ ἂν εἴη τούτων τὰ οὖρα, εἰ μή γε προχωρούσης τῆς νόσου καὶ παρυφιστάμενα φαίνεται μήτε καὶ φαινόμενα τῶν ἀμείνων ᾖ. 4. Τάχα γὰρ ὧδ᾽ ἐπιδοθείσης τῆς νόσου καὶ τῶν δεινῶν ἐν οὔροις φαινομένων σημείων, προσαφέλῃ θάνατος τῆς παρακμῆς τὸν κάμνοντα, ἀλλὰ τοῦτο τοῦ προγνωστικοῦ μέρους ὂν ἐκεῖσε δὴ καὶ ταμιευέσθω. 5. Λοιπὸν οὖν ἂν εἴη φάναι καὶ περὶ τῶν ἐφ᾽ ἑτέροις τρόποις ἀλλοιουμένων οὔρων.

Κεφ. κδ΄. Διάγνωσις οὔρων τῶν ἐπί τισι τῶν καιρίων πεπονθότων μορίων.

1. Φλεγμονῆς τοίνυν καὶ ἐρυσιπέλατος καὶ τινος ἑτέρας παραπλησίας διαθέσεως ἐπὶ τὸ θερμότερον ῥεπούσης περί τινα τῶν καιριωτέρων γεγονότων μορίων, ἀξιολόγως

ἂν καὶ τὰ οὖρα ἀλλοιωθείη. 2. Τοσούτῳ γε μὴν πρὸς ἄλληλα διαφόρως ἕξει, ὅσῳ καὶ τὰ μόρια ἀλλήλων εἰς τε καιριότητα καὶ ἐγγύτητα τοῦ πρώτου θερμοῦ διενήνοχε. 3. Καὶ ἥπατος μὲν καὶ πνεύμονος τοιαύτην τινὰ καυσώδη διάθεσιν ὑφ᾽ οἱουδήτινος ἐσχηκότων χυμοῦ, ἐξερυθρα ἂν καὶ αἱματώδη οὖρα καὶ οἰνωπὰ ὀφθείη κατὰ τὸ ποσὸν καὶ τὴν ποιότητα τῆς θερμότητος. 4. Ἐλάττω τούτων δὲ ὅσα δρᾷ τε τὸν ἐγκέφαλον καὶ τὸν ὑπεζωκότα ὑμένα καὶ τὴν κοιλίαν, τοὺς τοιαῦτα πάσχοντας ἀλλοιοῦται οὖρα· ἐπὶ σπληνὸς μέντοι φαῦλα μὲν τὰ χρώματα διὰ τὴν τοῦ πλεονάζοντος ἐκεῖσε χυμοῦ σκαιότητα. 5. Εἴ γε τὴν ὁρμὴν ἐν οὔροις τῆς ἐκκρίσεως λάβῃ, μείω δὲ ὁ πυρετὸς τῶν ἐν τοῖς ῥηθεῖσι μορίοις, μήτρα δὲ καὶ νεφρὸς καὶ κύστις, κῶλόν τε καὶ ἀρχός, ἀλλοιώσει μὲν καὶ ταῦτα πεπονθότα τὰ οὖρα, ἔλαττον μέντοι ἐγκεφάλου καὶ ὑπεζωκότος τοῦ αὐτοῖς ἑαλωκότων πάθεσι. 6. Τά γε μὴν ἐπὶ πᾶσι τούτοις παρυφιστάμενα ἐπισημανεῖται μὲν καὶ τὰς τῆς φύσεως ἐπικρατείας καὶ ἀρρωστίας, ἐπιδηλοτέρους δὲ καὶ τοὺς πεπονθότας ἀποδείξει τόπους, ὧν τὰ μὲν εἴρηται, τὰ δὲ καὶ λεχθήσεται. 7. Τῶν δὲ ἐκτὸς καὶ πόρρωθεν κώλων τοιαῦτα νοσησάντων, μετρίως μὲν τὰ οὖρα καὶ οὐ πάνυ σαφῶς ἀλλοιωθείη. 8. Πέψεως δὲ μᾶλλον σημεῖα δείξει, μὴ προσαναφθέντος ἀπ᾽ ἐκείνων δηλονότι σηπεδονώδους τινὸς πυρετοῦ, οὗ δὴ τὰ σύμβολα πρὸ βραχέος τῷ λόγῳ τούτῳ παραδεδώκαμεν. 9. Ὅσα δ᾽ αὖ τὴν ἀρχὴν τοῦ πάθους ἀπό τινος ἐπιρρυέντος εἴληφε ψυχροῦ χυμοῦ, εἴτ᾽ ἐγκέφαλος εἴη, εἴθ᾽ ἧπαρ ἢ πνεύμων, εἴθ᾽ ὑπεζωκὸς ὑμήν, ἢ γαστὴρ ἤ τι ἕτερον μόριον τούτων, τὰ μὲν πόρρω τοῦ θερμοῦ μᾶλλον ἂν ἀλλοιωθείη καὶ ψυχρότητος καὶ ὠμοχυμίας ὑποδείξειεν οὖρα. 10. Ἧττον δ᾽ αὖ ὅσα πεπλεονέκτηκεν ἐκείνων τὴν φυσικὴν θερμότητα διά τε τῶν ἀγγείων τὰ ἀξιόλογα, καὶ διὰ τὴν τῆς καρδίας ἐγγύτητα· ἢ γὰρ τὴν ἀρχὴν οὐ καταδέχεται ἢ παραδεξάμενα μετρίαν ὑποφαίνει τὴν μεταβολὴν τοῖς οὔροις γεγενημένην. 11. Φαυλότερα μέντοι οὖρα κινηθέντα δείκνυσι τῶν πόρρω που τοῦ θερμοῦ πεφυκότων, εἴτε τόπῳ εἴτε φυσικῇ τινι κράσει. προσδιορισθήσεται δὲ περὶ τούτων

οἰκειότερον κἀν τῷ περὶ προγνώσεως οὔρων βιβλίῳ. 12. Ἐπεὶ δὲ τὰ τῶν ἁπλῶν κράσεων ἐπιταθεισῶν μεμάθηκας οὔρων εἴδη, οἶσθα δὲ καὶ τὰ τῶν πλεοναζόντων ἐξευρίσκειν χυμῶν ἐν οὔροις εἴδη, ῥᾳδίως ἂν καὶ τὰ ἐπὶ τοῖς κατέχουσι νοσήμασι ἐξεύροις οὖρα, ὥστ' ἀκριβῶς καὶ τὰ ἐπὶ τούτοις ἐπιθεῖναι διαγνώσεις. 13. Οὐ γὰρ ἐξὸν ἡμῖν καθ' ἕκαστον ἐξαγγέλλειν, ὅσα δῆτα τοῖς κατὰ μέρος ἐπιφαίνεται νοσήμασι, τὸ μὲν τὸ πλάτος τοῦ λόγου φεύγουσι, τὸ δ' αὖ ἀρκούσας ἀποδεδωκόσι πρὸς διάγνωσιν μεθόδους, ὥστε καὶ ῥᾷον ἂν δόξειεν τὸ πολὺ τοῦ λόγου συνελόντι τις σπουδαίῳ καὶ προανεγνωκότι περὶ τῆς τῶν νοσημάτων διαφορᾶς τε καὶ αἰτίας βιβλία τὸ διαγνώσκειν ἕκαστα τῶν φαινομένων οὔρων. 14. Εἰ γάρ τις ταῦτα ἀκριβῶς εἰδείη καὶ ἐφ' ὁποίοις μάθοι χυμοῖς συνίσταται τῶν ἀξιολόγων νοσημάτων ἕκαστον, ἐν ἕξει δὲ καὶ τῶν ῥηθεισῶν ἐνταῦθα μεθόδων γένηται, ῥᾷστα ἂν λογισάμενος ἐξεύροι, οἷά τισιν οὖρα νοσήμασιν ἐπιφαίνεται μάλιστα. 15. Τὰ μὲν γὰρ ἐκ προχείρου ἴσως μάθοι, ὅσα δῆτα περὶ τὸ φλεβῶδες γένος συνίσταται· ὅσα δ' ἐπέκεινα τούτων, δυσχερὲς μὲν ἴσως, οὐ μέντοι καὶ τούτων τὰ σπουδαιότερα διαδιδράσκουσι τὸν ἀκριβεῖς τὰς ἐπισκέψεις ποιούμενον. 16. Ὅσα καὶ γὰρ ἢ πνεύματος ἀλλοιωθέντος μόνου γίνεται, ἢ τοῦ νευρώδους πεπονθότος γένους, ῥᾳδίως ἀπὸ τῆς τῶν οὔρων οὐκ ἂν γνοίης ἐπισκέψεως, εἰ μή πως ἐπιδοθέντος τοῦ τυχόντος πάθους τὸ φλεβῶδες αἴσθησιν λάβῃ γένος· ἐντεῦθεν γὰρ τοῖς οὔροις ἐπίδηλα τὰ πάθη γίνεται.

Κεφ. κε΄. Ὅτι δεῖ τὸν ἀκριβῶς ἐπισκέπτεσθαι βουλόμενον καὶ τὴν περὶ σφυγμῶν πραγματείαν ἀκριβῶς ἐπίστασθαι.

1. Ἀσφαλέστερον δ' ἂν ἴσως περὶ τούτων γνοίη ὁ τὰς τῶν σφυγμῶν κινήσεις ἐξησκηκὼς κρίνειν. αἱ γάρ τοι ἀρτηρίαι νευρώδους μὲν κεκοινωνήκασιν, ὡς ἴσμεν, χιτῶνος· πνεῦμα δ' ἐν αὐταῖς ἔμπλεον ἔχουσιν, ὥστε πρώτως ἂν αὗται γνῶσιν παράσχοιεν τοῖς εἰδόσι σφυγμῶν ἅπτεσθαι γεγονυῖαν τινα περὶ τὸ πνεῦμα καὶ τὸ τῶν νεύρων ἀλλοίωσιν. 2. Αὐτῶν μέντοι κρεῖττον δηλώσουσι τὰ οὖρα,

ὅσα περί τε χυμοὺς καὶ τὰς πέψεις καὶ ὅσα ἐπὶ τούτοις συμβέβηκε, καὶ εἰ τἀληθὲς δέον εἰπεῖν, καὶ ἀμφοτέρων δεῖ τῶν μαθημάτων τῷ διαγινώσκειν ὀρθῶς σπουδάζοντι. 3. Ὥσπερ γὰρ τῷ διερρωγότα οἶκον ἀνακαινίσαι σπεύδοντι καὶ ἀμφοτέρων δεῖ χειρῶν, δυοῖν γὰρ θατέρας λειπομένης οὐκ ἀσφαλές ἐστι διευθετεῖν τὰ δέοντα, οὕτω τῷ τὴν τέχνην μετιόντι καὶ ἀμφοτέρων δεῖ τῶν πραγματειῶν. 4. Ἀλλ' ὁ μὲν περὶ διαγνώσεως οὔρων λόγος ἀγαθὸς μὲν τοῖς ἀκούουσιν οὕτω φανείς, ὠφέλιμος τοῖς κάμνουσι σώμασιν, ὁπόσον ἂν ἀληθείας ἅπτηται καὶ σπουδαστέος ἂν τοῖς γε νοῦν ἔχουσιν εἰκότως κρίνοιτο, ἡμῖν δὲ σύμμετρον ἀποδεδωκόσι τῷ λόγῳ μέτρον, δίκαιον ἂν εἴη καταπαύειν ὡδέ πη τὸν λόγον, ἵνα μὴ καὶ πολυλογεῖν ἐγκληθῶμεν. 5. Ἃ δ' ἄν τις ἐγκαλῶν τῷ λόγῳ νομίσει λείπειν τοῦτο νῦν ἡμῶν πυθόμενος παυέσθω, ἐπειδήπερ τὰ μὲν ὡς ἐκ τῶν ῥηθέντων ἐπίδηλα νομισθέντα λέλειπται, τὰ δ' αὖ γε καὶ λεχθήσεται ἐν τοῖς περὶ προγνώσεως λόγοις, ἐκεῖσε μᾶλλον ἐφαρμόζειν δόξαντα. 6. Κεκοινωνήκασι γὰρ ἀλλήλων πολὺ τῶν ἄλλων ταῦτα τῆς πραγματείας τὰ μέρη, ὥστε οὐ δεῖ θαυμάζειν, εἴ τι καὶ λελεῖφθαι δοκεῖ, μᾶλλον ἐκεῖσε δόξαν ἡμῖν ἁρμόσειν. 7. Ἔπειτα κἄν τι καὶ λελεῖφθαι τῷ λόγῳ δόξειε, συγγνοίη δ' ἄν τις πάθος ἐγκαλῶν ἀνθρώπινον καὶ πολλοῖς τῶν ὁσημέραι μετιόντων λόγους συμβαῖνον. 8. Καὶ ταῦτα μὲν οὕτω· δίκαιον δ' ἂν εἶναι τῷ λόγῳ δόξῃ καὶ τὰς τῶν ῥηθέντων αἰτίας τοῖς μετὰ τούτους ἐπιθεῖναι λόγοις, βραχύ τι μὲν λυσιτελούσας ἴσως τῇ τέχνῃ, ἀσφαλῆ δ' ὅμως παρασκευαζούσας τὴν ἐπὶ τῶν λεχθεισῶν μέθοδον διαγνώσεων. ἀποδοθεισῶν γάρ τοι τῶν αἰτιῶν, πιστώσαιτ' ἄν τις μᾶλλον τὰ λελεγμένα. 9. Καὶ ὁ μὲν περὶ τῆς διαγνώσεως οὔρων λόγος ἀφείσθω ἤδη ῥηθεὶς ἀρκούντως· ἐφεξῆς δ' ἀρχέσθω ὁ περὶ αἰτίας, οὕτω τῆς ἀκολουθίας ἀπαιτούσης τῆς ἐπὶ πάσης συνθήκης. ὁ θεὸς δὲ δοίη κἀκεῖνα συμπερᾶναι λόγοις ἀληθείας πιστούμενα.

# ΠΕΡΙ ΑΙΤΙΑΣ ΟΥΡΩΝ.

## ΤΟ Α.

### Προοίμιον.

1. Ἐπειδήπερ τῷ περί τινος αἱρουμένῳ γράφειν ζητήματος, οὔτ' ἀναγκαῖα μόνον θέμις καταστρωννύειν τοῖς γράμμασιν, ἀλλὰ καὶ ὅσα χρήσιμα τῷ προκειμένῳ σκοπῷ πέφυκεν, οὕτω γὰρ διὰ πάντων ἰὼν ὁ λόγος τέλειος νομισθείη καὶ ὁ περὶ αἰτίας οὔρων δεόντως νῦν ἀποδοθείη τῇ πραγματείᾳ. 2. Τοῖς μὲν γὰρ πείρᾳ τὸ πλέον ἐγγυμνασθεῖσι τῇ τέχνῃ καὶ λόγων ἀλογήσασιν οἱωνδήτινων μόνος ἂν ὁ περὶ διαγνώσεως ἀρκέσῃ λόγος· τοῖς δὲ φιλοσοφίᾳ τὴν τέχνην καλύνουσι καὶ προεῖσι πάντα ἢ μηδέν τι ἀναίτιον βούλεσθαι εἰδέναι, ἀναγκαίως ἂν καὶ ὁ περὶ αἰτίας οὔρων λόγος ἀποδοθείη· ὁ μὲν γὰρ ἀκριβῶς εἰδὼς ἐξετάζειν τὰς τῶν γινομένων αἰτίας, ῥαδίως ἂν καὶ τὰ διαγνωσθέντα δέξαιτο καὶ τὰ λείποντα προσθείη ἂν βουληθείς. ὁ δ' ἀγνοήσας τοὺς περὶ αἰτίας λόγους οὐδ' ἐπιστημόνως ἕξει τὰς διαγνώσεις τούτων, ὥστε δίκαιον ἂν εἴη καὶ τοὺς περὶ αἰτίας οὔρων λόγους ἐπιθεῖναι τῇ πραγματείᾳ, ἵνα διὰ πάντων καλῶς καὶ τελείως ἥκων ὁ λόγος πᾶσιν ἀρκῶν ὀφθείη τοῖς περὶ τὰ τοιαῦτα ἐσπουδακόσιν. 4. Ἐπεὶ τοίνυν περὶ αἰτίας οὔρων οἱωνδήτινων φαινομένων εἰπεῖν προυθούμεθα, χρεὼν ἂν εἴη προεπιθεῖναι τῷ λόγῳ τοὺς περὶ αἰτίας πέψεως ὥπερ ἐπαναλαβοῦσι τὸν λόγον.

#### Κεφ. α'. Περὶ αἰτίας τῆς τῶν ζῴων διαμονῆς.

1. Τῆς τοίνυν αὐτῆς φύσεως ἀεὶ μὲν τὸ παράμονον ταῖς τῶν εἰδῶν διαδοχαῖς τηρούσης ταῖς ἐξ ἀλλήλων δηλονότι γεννήσεσι, τοῖς δὲ καθ' ἕκαστον δεῆσαν αὖθις διαμονῶν, ἵνα μὴ τῷ γεγενῆσθαι ἅμα διαφθείροιτο, τὴν ἐπὶ ταῖς τροφαῖς ἐξεῦρε μέθοδον. 2. Καὶ ταύτῃ τοῦ καθ' ἕκαστον συνεστήσατο τὴν ζωήν, προεποικοδομήσασα τροφῆς ἀγγεῖα ποικίλα καὶ τούτοις ἐπιθεῖσα τὴν ζωτικὴν

αὐτὴν δύναμιν. 3. Ὑγρῶν οὖν καὶ ξηρῶν καὶ πνευμάτων ὄντων τῶν τὴν σύστασιν αὐτὴν τοῦ σώματος διειληφότων καὶ διὰ τούτων τῆς ζωῆς ἐνεργουμένης, ὁ μὲν περὶ τροφῆς ἐκ πνεύματος λόγος ἄλλοις μᾶλλον ἂν πραγματείαις ἀρκέσαι, ὁ δέ γε περὶ ξηρᾶς καὶ ὑγρᾶς τροφῆς δίκαιος ὢν λελέχθαι ἤδη που καὶ καταρχέσθω λυσιτελήσων οὐ τὰ μέτρια τῇ περὶ οὔρων πραγματείᾳ. 4. Τῆς τοίνυν τροφῆς πρῶτον διαμασηθείσης καὶ προπαρασκευασθείσης εἰς πέψιν ἕτοιμον, αὐτήν τε καὶ τὰ πινόμενα ἡ γαστὴρ εἰληφυῖα καὶ περιπτυξαμένη τῷ ἐμφύτῳ ἀλλοιοῖ θερμῷ, μηδενός τινος ἐμποδὼν τυγχάνοντος. 5. Ἐπειδὰν δὲ ταύτην χυλοποιήσῃ, ὅσον μὲν λεπτότερον καὶ ἀκραιφνέστερον ταύτης, διὰ τῶν καθηκουσῶν ἀφ' ἥπατος φλεβῶν ἐκμυζᾶται οἷον καὶ ἀνιμᾶται πρὸς κρείττω τινὰ ταύτης μεταβολήν. 6. Πρώτην μὲν γὰρ ἀληθῶς ἀλλοίωσιν ἡ τροφὴ περὶ τὴν γαστέρα δεξαμένη τὴν ἐν φλεψὶ καὶ ἥπατι ἐπὶ ταύτην δευτέραν λαμβάνει κρείττω μὲν τῆς προτέρας, μείω δὲ τῆς μετ' αὐτὴν τρίτης πέψεως. 7. Ἀλλ' ἐπειδὰν ἀρκούντως, ὡς εἴρηται, ἡ περὶ τὴν γαστέρα τροφὴ πεφθῇ, καὶ τὸ μὲν ἀρχεῖον ταύτης δι' ἐντέρων ἀποκριθῇ, τὸ δ' ὡς χρήσιμον ἀναδοθῇ, τοῦτο ἡ ἐν ἥπατι καὶ φλεψὶ δεξαμένη δύναμις καὶ αὐτὴ καθ' αὐτὴν ὑγιῶς ἔχουσα ἀλλοιοῖ τε καὶ εἰς ἐρυθρότητα μεταβάλλει αἵματος, κἀκεῖσέ που περὶ τὰ κοῖλα γεγονυίας τῆς τοῦ αἵματος διακρίσεως. 8. Οὐ γὰρ ἐᾶται ἔτι πορρωτέρω βαίνειν τοῦθ' ὡς ἔτυχεν, ἵνα μὴ οὐκ ἀκραιφνοῦς ἀποδοθείσης τῷ σώματι τροφῆς καὶ ἡ σὰρξ φαύλη κατασκευασθείη, ἐκεῖ που παρὰ τὰ κυρτὰ παραθεμένη τοῦ ἥπατος τὴν χοληδόχον κύστιν, τὸ μὲν λεπτότερόν τε καὶ δριμότερον τοῦ αἵματος ἐκεῖ που διὰ τοῦ καθήκοντος πόρου μεταχωρεῖν ποιεῖ· ὁπόσον δὲ γεῶδές τε καὶ παχύτερον ὁ σπλὴν πρὸς ἑαυτὸν ἐφέλκεται· 9. Καὶ δὴ τοῦ μὲν ξανθηχόλου τε καὶ γεώδους οὕτω διακριθέντος χυμοῦ, λειπομένου δὲ τοῦ ὀρρώδους, ἐκεῖ μὲν αὐτὸς οὐκέτι εἰάθη διακριθῆναι, οὕτω δόξαν, καὶ τοι τῶν νεφρῶν παρακειμένων. 10. Διὰ δὲ τῆς στελεχιαίας φλεβὸς καὶ τῶν κοίλων διαβιβασθέντος τοῦ ἥπατος καὶ ἐπὶ τὰ κυρτὰ διαδοθέντος ἐπὶ τῇ κοίλῃ καλουμένῃ φλεβί,

ἵν᾽ ὅπως δηλονότι καὶ τὸ αἷμα διαπορθμευεσθείη. 12. Στενοχωρία γὰρ τῶν πόρων πέφυκε μεταξὺ τῶν τε κοίλων καὶ κυρτῶν τοῦ ἥπατος διὰ τοῦ ἀποσχιζομένου κατὰ τὸ λαβδοειδὲς σχῆμα καλούμενον τῆς κοίλης φλεβὸς περὶ τοὺς νεφροὺς διακρινόμενον χωρεῖ τὸ ὀρρῶδες οὖρον μόνον ἐκεῖθεν φερόμενον. 12. Ὅσον δὲ τοῦ αἵματος πέφυκεν, ἐπ᾽ αὐτὴν ἤδη χωρῆσαν τὴν καρδίαν καὶ κρείττω τῆς προϋπαρχούσης δεξάμενον ἀλλοίωσιν ἐπὶ τὰ τοῦ σώματος ἐκεῖθεν διὰ τῶν φλεβῶν κατακερματίζεται μέρη, ἄρδον οἷον τὸν αὐχμὸν τοῦ σώματος. 13. Καὶ γοῦν πρώτης μὲν πέψεως τῆς περὶ τὴν γαστέρα δηλονότι περιττώματά τε ἐμούμενα καὶ διαχωρούμενα δείκνυται· τῆς δ᾽ ἐν τοῖς κοίλοις τοῦ ἥπατος αἵ τε χολαὶ καὶ τὰ οὖρα. 14. Λείποιτο δ᾽ ἂν οὖν καὶ περὶ τῆς τρίτης ἤδη πέψεως φάναι ἐπὶ τῷ φλεβώδει μέρει ἐνεργουμένης· οὕτω γὰρ ἀποδοθέντος τοῦ λόγου ἀρκοῦσαν ἂν οἶμαι προπαρασκευὴν ἕξειν πρὸς τὰ ῥηθησόμενα ἐπὶ ταῖς τῶν φαινομένων αἰτίαις οὔρων.

*Κεφ. β᾽. Περὶ αἰτίας τῆς τῶν παρυφισταμένων γενέσεως.*

1. Τῆς τοίνυν τελεωτέρας τε καὶ τρίτης πέψεως γινομένης κατὰ τὸν αὐτῆς προσήκοντα λόγον καὶ τὰ ἐπ᾽ αὐτῇ ἐν τοῖς οὔροις φαίνεται παρυφιστάμενα περιττώματα, ὧνπερ δὴ τὰ λεπτότερα οἱοί θ᾽ ἱδρῶτες καὶ τὰ διαπνεόμενα πεφύκασιν ἀδήλως, καὶ καθόσον ἂν διαμαρτία κἀπὶ τῇ τοιαύτῃ τρίτῃ πέψει γίνηται, καὶ τὰ παρυφιστάμενα δείξουσιν. 2. Ὁ γοῦν ταῦτα εἰδώς, ἐφ᾽ αἷς αἰτίαις μεταβάλλεται, καὶ τὰς διαγνώσεις ἀσφαλέστατα τῷ λόγῳ ἂν ἀποδοίη, ἀλλ᾽ ὁ μὲν περὶ διαγνώσεως λόγος ἤδη που λέλεκται. 3. Ῥηθείη δ᾽ ἂν νῦν εἰκότως ὁ περὶ τῆς αἰτίας οὕτω προαγάγοντος τοῦ παντὸς λόγου. 4. Προδιασκεψάμενοι γοῦν τὰς αἰτίας τῶν παρυφισταμένων οὕτω τῶν λοιπῶν ἁψόμεθα καθ᾽ εἱρμὸν προβαίνοντες τὸν προσήκοντα, οἷον οὖν τι συμβαίνειν εἴωθεν ἐν τοῖς ἀφοστήμασι καὶ οἱοισδήτισιν ἕλκεσιν· ἂν μὲν ἐπικρατοῦσα ᾖ ἡ φυσικὴ καὶ πεπτικὴ δύναμις, βραχύ τι ἢ οὐδὲν τὰ πῦα ὄζει καὶ λευκὰ καὶ λεῖα καὶ ὁμοιομερῆ πάντα τυγχάνει· κρατηθείσης δὲ τῆς φυσικῆς δυνάμεως, τἀναντία φαίνεται τρα-

γέα καὶ ἀνώμαλα καὶ τοῖς χρώμασιν αὐτῶν διάφορα· ὄζει τε βαρέως καὶ πάντη τῶν ὑγειῶν αὐτῶν ἀπέοικε. 5. Τοιοῦτόν τι κἀπὶ τῶν παρυφισταμένων ἐστὶ συνορᾶν· τὸ γὰρ μὴ φθάσαν ἐν φλεψὶν ἀλλοιωθῆναι εἰς αἷμα, εἰς ἀνάλογον μὲν τῷ πύῳ εἶδος μεταβάλλεται, ἐπικρατούσης τῆς πεπτικῆς δυνάμεως. 6. Καθόσον δ' ἂν αὐτὴ μὴ κρατοῦσα διαμαρτάνῃ, καὶ ταῦτα πρὸς τὰ χείρω μεταβάλλεται εἴδη. 7. Καὶ ταῦτα μὲν ὡς εἴρηται γέγονεν· ἑξῆς δ' ἀναληπτέον τὸν λόγον.

### Κεφ. γ΄. Περὶ αἰτίας τῶν γενομένων ἀπεψιῶν.

1. Αἱ τοίνυν ἀπεψίαι αἱ κατὰ γαστέρα γένοιντ' ἂν μὲν καὶ διά τινα δυσκρασίαν αὐτῇ συμβᾶσαν, γένοιντο δ' ἂν καὶ διά τι συμβὰν ὀργανικὸν πάθος, ὥσπερ καὶ διὰ πάχος ἢ πλῆθος ἢ γλισχρότητα ἤ τινα ποιότητα ἀλλόκοτον τῶν χυμῶν ἢ καὶ διά τινα τῆς τροφῆς ἰδιότητα. 2. Αἱ δὲ δὴ καθ' ἧπαρ καὶ διὰ ταῦτα μέν, ἀλλὰ καὶ διὰ τὴν τῆς πεπτικῆς καὶ αἱματοποιητικῆς δυνάμεως ἀρρωστίαν. 3. Διὰ δὲ τὰς αὐτὰς ἂν καὶ παραπλησίας αἰτίας καὶ ἡ τῆς τρίτης πέψεως διαμαρτηθείη ἂν ἐνέργεια. 4. Καὶ δι' ἃς μὲν ἂν τῶν πέψεων ἑκάστη ἀποτύχοι αἰτίας τοῦ προσήκοντος ἔργου, συνελόντα με φάναι αὗταί εἰσιν. 5. Ἐκεῖνο δὲ θέμις εἰδέναι, ὡς κἂνθ' ὑπερβάλοιεν τὸ σύμμετρον τὰ χρώματα κἂν τε λείποιντο τούτου, ἄπεπτ' ἂν εἶεν εἰκότως, τῷ γενικῷ τῆς ἀπεψίας ὀνόματι καὶ οὕτω λέγειν προσήκει. 6. Πῶς δ' ἂν ἑκάτερα ῥηθεῖεν ἄπεπτα, οὐ τοῦ νῦν ἐστι λόγου, εἴτ' ἀμαυρουμένης ὑφ' οἱασδήτινος ψυχρότητος τῆς ἐμφύτου θερμότητος εἴτε πλεονεκτουμένης ὑφ' ὁποιασοῦν νόθου θερμότητος. 7. Τῶν τε γὰρ φυσημάτων καὶ τῆς ὑδαλέας ἕξεως, ἀρθρίτιδός τε καὶ τῶν παραπλησίων ὑπ' ἀπεψίας τῶν γινομένων διὰ οἱανδήτινα ψυχρότητα καὶ τῶν ἰκτερικῶν παθῶν ἑρπήτων τε καὶ τριταίων καὶ τῶν παραπλησίων ὑπ' ἀπεψίας ὕλης διὰ οἱασδήτινος ἐπικρατησάσης νόθου θερμότητος τῆς ἐμφύτου τε καὶ προσηνοῦς θερμότητος. 8. Δικαίως ἂν πάντα τὰ ἐπὶ τούτοις οὖρα τὸ σύμμετρον ἀποφυγόντα τῶν οὔρων κληθείη ἄπεπτα. 9. Ἐπεὶ γὰρ ἐπέκεινα τοῦ συμμέτρου

καὶ κατὰ φύσιν οὔρου οὐκ ἔστιν εὑρεῖν ἄμεινον, πάντως, ὅσ᾽ ἂν ἐκλείπῃ τε καὶ ὑπερβάλλῃ, ῥηθείη ἂν ἄπεπτα. 10. Σὺ δὲ καὶ ἄλλο εἴ τι βούλει πρόσθες ὄνομα τὸν λόγον διορίζον· οὐ γὰρ ἐγὼ διοίσομαι ἐπὶ σφῶν τινων ὀνομάτων, μόνον μὴ διαμάρτανε τοῦ σκοποῦ τῷ λόγῳ. 11. Καὶ ὁ μὲν περὶ ἀπεψίας λόγος ὑφ᾽ οἱασδήτινος αἰτίας γίνεται, ἱκανῶς ἂν κἀκ τῶν ῥηθέντων γνωσθείη, τῆς κατὰ φύσιν πέψεως δηλονότι ὑπὸ συμμέτρου τε καὶ κατὰ φύσιν θερμότητός τε καὶ ὑγρότητος γεγονυίας. 12. Νυνὶ δὲ πρώτως ῥητέον περὶ ποσότητος τοῦ χύματος, δι᾽ ἃς αἰτίας πλέον τοῦ προσήκοντος φαίνεται· εἶθ᾽ οὕτως καὶ περὶ τῶν ἑξῆς, καθὼς κἀν τοῖς περὶ διαφορᾶς τε καὶ διαγνώσεως οὔρων λόγοις ἐξεθέμεθα.

## Κεφ. δ΄. Περὶ τῆς κατὰ τὸ ποσὸν τοῦ χύματος αἰτίας.

1. Τὰ οὖρα τοίνυν πρόεισιν πλείονα, ὁπόταν πλείονι τροφῇ καὶ μάλιστα ὑγροτέρᾳ καὶ πολυποσίᾳ οἴνου καὶ μᾶλλον εἰ ὑδαρὴς ὁ οἶνος τυγχάνει, ὧν ἂν ὁ ἄνθρωπος χρήσηται. 2. Ἐπεὶ οὖν ἐν ἄλλοις δέδεικται ὡς αἱ ὑγρότεραι καὶ εὔχυμοι τροφαὶ μάλιστά τε ἀναδίδονται καὶ διαρρέουσιν αὖθις, τῶν μὴ τοιούτων ὁ δὲ οἶνος πλέον τῶν ἄλλων ἀναδίδοται καὶ ῥᾳδίως διαφορεῖται, εἰκότως ἂν διὰ ταῦτα πλείω ποθεὶς καὶ διουρηθείη ἄν, οὕτως εἰς τουτό πως ἐπιτηδείως ἔχοντος τοῦ ὑδαροῦς τῶν οἴνων· μὴ τῶν παχέων ὡσαύτως τούτῳ δηλονότι διουρουμένων, τὰς γε μὴν καὶ ἐπὶ τούτοις αἰτίας οὔ μοι νῦν καιρὸς ἐπιπλέκειν τῷ λόγῳ, ἄλλων τε εἰπόντων περὶ τούτου ὡς οἶμαι ἀποχρώντως, καὶ μηδὲ τῆς νῦν τοῦτο ἀπαιτούσης πραγματείας. 3. Εἰκότως ἄρα τε καὶ πλείω καὶ λεπτότερα καὶ προσέτι ἀχρούστερα φανείη τὰ οὖρα. 4. Τὸ μὲν γὰρ ποσὸν τούτοις διὰ τὸν τοῦ ποσοῦ μᾶλλον ἀποδίδοται λόγον· ἡ δὲ λευκότης τε καὶ λεπτότης διὰ τὴν τῆς πέψεως ἀτονίαν μὴ ἐξικνουμένης πλείονος τοῦ προσήκοντος ἐπικρατῆσαι ποσοῦ. 6. Εἰ γὰρ ἐπεκράτει, τάχ᾽ ἂν ἐπέθηκεν αὐτοῖς καὶ χρῶμα σύμμετρον καὶ σύστασιν καί τινα προσαπεδόθη δέοντα παρυφιστάμενα, πλείω δὲ μᾶλλον τοῦ πινομένου ἐπὶ τῶν ἤδη πεφθέντων ὠμῶν χυμῶν οὖρα φαινόμενα.

6. *Διὰ τοιάνδε τινὰ τὴν αἰτίαν γένοιτ᾽ ἄν, ἐπειδήπερ ταῖς πέψεσι καὶ θρέψις ἕπεται καὶ ἀνάδοσις πρὸ ταύτης, εἰκὸς δὲ καὶ περιττὸν ὑγρὸν ἀποδίδοσθαι τῇ πεττομένης ὕλης, δεόντως ἂν ἐπὶ τῶν ἤδη χυμῶν ὠμῶν πεφθέντων καὶ οὖρα φανείη.* 7. *Καὶ τῷ μὲν οὖν ὑγραίνειν τε καὶ τρέφειν αὐτοὺς τὰ σώματα πεττομένους οὐ χρεία τις τοῦ θύραθεν ἐπιγίνεται πόματος, εἰ μή τις βραχεία τῆς συνηθείας μᾶλλον καὶ ταύτῃ βιασαμένης.* 8. *Τῷ δὲ θεῖσθαι τὰ περιττώματα τῆς ἐκκρίσεως οἱ νεφροὶ καὶ τὰ διουρητικὰ ἀγγεῖα τοῦτ᾽ ὑπηρετοῦσι.* 9. *Μαθεῖν δ᾽ ἔστι τοῦτο κἀπὶ τῶν ὁσημέραι γινομένων ἐπ᾽ ἀνθρώποις κάμνουσί τε καὶ μικρὸν ὑγιαίνουσι σώμασι.* 10. *Διενήνοχε δὲ τούτων τὰ ἐπὶ τῷ λόγῳ κρίσεως τὰ ἐπὶ τῶν πυρεσσόντων ἐκκρινόμενα πλείω οὖρα, τῷ μὴ μόνον δι᾽ ὠμότητα χυμῶν πεφθεῖσαν ἐκεῖθεν τὰ περιττὰ ἐκκρίνεσθαι, ἀλλὰ καὶ τὴν πᾶσαν τῶν οἱωνδήτινων νοσερῶν διαφθορὰν χυμῶν ἐκεῖθεν ἀποκρίνεσθαι, διουρητικὰ δὲ φάρμακα πλείω χωρεῖν παρασκευάζει τὰ οὖρα τῇ τε φυσικῇ λεπτομερείᾳ καὶ τῇ θερμότητι· μικροῦ γὰρ πάντα τὰ τοιαῦτα διουρητικὰ καθέστηκε.* 11. *Καὶ τῇ μὲν οὖν θερμότητι ῥᾳδίως ἀναδίδοται ταῦτα· τῇ δὲ λεπτομερείᾳ τὰ προσόντα τῆς ὠμοχυμίας τέμνοντά τε καὶ διαιροῦντα δι᾽ οὔρου μᾶλλον οἰκειότητα τῇ τῶν φαρμάκων χωρεῖν παρασκευάζουσιν.* 12. *Ἐπὶ δὲ τοῦ διαβήτου καλουμένου πάθους δυσκρασία τις ἐπιτεταμένης θερμότητος περὶ τοὺς νεφροὺς αἰτία πέφυκεν· αὕτη γὰρ νεφροὺς οὕτω διαθεῖσα ἐπισπαστικοὺς εἰργάσατο τῆς τοῦ οὔρου οὐσίας· οἱ δ᾽ ἀφ᾽ ἥπατος καὶ τοῦ φλεβώδους γένους τῇ ἀνθελκῇ ταχέως ἐπισύρονται.* 13. *Ἐπεὶ δ᾽ ἐντεῦθεν ἔνδειαν συμβαίνει γίνεσθαι καὶ φυσικῆς ὑγρότητος συνεπιφερομένης τῇ τοσαύτῃ τῶν ὑγρῶν ῥύμῃ, οὐκ ἀγεννὴς μὲν ἐπιγίνεται τῷ ἀνθρώπῳ δίψα· οὐ μείω δὲ τῆς δίψης πόματα καὶ οὔρων ἐπὶ τούτων ἐκκρίσις ἀνάλογος, αὐτῶν δὴ τῶν νεφρῶν πρὸς αὐτοὺς ἐφελκομένων τὰς ὑγρότητας.* 14. *Διὰ ταῦτα γοῦν πολλὰ μὲν τὰ οὐρούμενα πέφυκεν, οὐ μείω δ᾽ αὖ τούτων τὰ πινόμενα· ὅπῃ δ᾽ οὐκ ἔστι μέλησις τις καὶ εὐκρασία, οὐδ᾽ ἂν ἴσως πέψις ἕποιτο· τοῖς γε μὴν ξηρὰν κατὰ φύσιν ἔχουσι τὴν γαστέρα αὐτὸ*

*δὴ τοῦτο παρασκευάζει πλείω τὰ οὖρα φέρεσθαι.* 15. *Τὰ γάρ τοι περιττώματα δέον ὂν κρίνεσθαι καὶ τῆς γαστρὸς μὴ τὰ πλείω κενούσης διὰ τὸ κατὰ φύσιν αὐτῷ συμβὰν πάθος, ἐκεῖσε μᾶλλον τὴν ὁρμὴν λαβόντα φέρεται.* 16. *Ἐπεὶ τούτοις κἀκεῖνο δεῖ προσεπιθεῖναι τῷ λόγῳ, ὃ μᾶλλον τῇ τηκεδόνι μὲν τῆς πάσης ἕξεως, τῇ δὲ νεκρώσει τῆς καθεκτικῆς ἐγγίνεται δυνάμεως.* 17. *Ἐπειδὰν γὰρ ἀπαγορευούσης τῆς φύσεως διὰ χειρίστην τινὰ διάθεσιν οἱουδήτινος νοσήματος ἡ καθεκτικὴ τῶν χυμῶν δύναμις ὥσπερ παρεθεῖσα τούτους ἀπολύσῃ, αὐτοὶ μὲν τὴν ἔξοδον ἐπισπεύδοντες ἀποκρίνονται, ὅπῃ δ' ἂν τὴν ὁρμὴν οἵδε λάβοιεν, οὐκ ἔστιν ἰδεῖν ὡσαύτως.* 18. *Ὁτὲ μὲν γὰρ δι' ἱδρώτων χωρήσαντες πεπληθυσμένων ὤφθησαν, ὁτὲ δ' αὖ διὰ γαστρός, ἔστι δ' ὅτε καὶ δι' οὔρων, ὧν νῦν τὸν λόγον ἡμεῖς προὐθέμεθα.* 19. *Ἀλλ' οἱ μὲν περὶ πεπληθυσμένων ὁπωσδήποτε ἰόντων οὔρων λόγοι ὧδε κείσθωσαν, ἀρκούντως σφίσι καὶ τῆς αἰτίας ἀποδοθείσης· ἑξῆς δ' ἂν εἴη φάναι καὶ περὶ τῶν ἐλαττόνων φερομένων οὔρων, δι' ἅστινας αἰτίας μείω φέρεται.* 20. *Εἴρηται μὲν οὖν ἐν τοῖς περὶ διαγνώσεως οὔρων λόγοις, δι' ὅσους τρόπους ἐλάττω φαίνεται· ῥηθείη δ' ἂν καί τινος νῦν ἀναμνήσεως ἕνεκεν, ἵν' ὅπως καὶ τὰς ἐπὶ τούτοις αἰτίας προσαποδοίημεν τῷ λόγῳ.* 21. *Ἐλάττω τοίνυν φέρεται διὰ ξηρότητα τροφῆς καὶ ὀλιγοποσίαν, γυμνάσιά τε πλείω καὶ ὅσα ξηραίνειν εἴωθε τὰ σώματα.* 22. *Ἐπεὶ τοίνυν ἴσμεν ὡς ταῖς μὲν ξηροτέραις τροφαῖς ἡ διὰ γαστρὸς μᾶλλον ἁρμόζει ἔκκρισις, τότε δὲ καὶ τὸ θερμὸν αὐτὸ τῆς ὑγρότητος τοῦ σώματος κατισχῦον ἀναλοῖ ξηραῖνον, εἰκότως ἐπὶ τούτοις καὶ τὰ οὖρα ὀφθείη μείω, μὴ ἐξαρκοῦντος τοῦ ὑγροῦ πρὸς παντελῆ τοῦ σώματος ἄρδειαν, τῶν ἰσχναινόντων ὥσπερ ἀφαιρουμένων αὐτοῦ τὴν ποσότητα.* 23. *Ἐλάττω δ' ἂν ὀφθείη καὶ διὰ φάρμακά τε καὶ τροφὰς ἐμπλαστικὰς τοὺς πόρους ἀποκλείσαντα.* 24. *Ἐνταῦθα γὰρ οὔτε ἀνάδοσις ῥᾳδία γένοιτο ἂν οὔτε γεγονυῖα τἀναδοθέντα ῥᾳδίως διακριθείη, ὥστε συμβαίνειν ὧδε μὴ δι' ἔνδειαν, ἀλλὰ δι' οἷον ἔμφραξιν τὰ οὖρα μείω φέρεσθαι.* 25. *Τὰ παραπλήσια δ' ἂν συμβαίη διὰ πάχος καὶ γλισχρότητα τῶν χυ-*

μῶν οὐχ ἧττον τῶν ἐμπλαστικῶν τροφῶν τε καὶ φαρμάκων, καὶ τούτων ἐπεχόντων τὰς προσηκούσας ἐξόδους, ὥστ' ἐντὸς μὲν συμβαίνειν τόσην πλήθειν ὑγρότητα, μείω δ' ἐκτὸς προχεῖσθαι τοῦ δέοντος. 26. Ἃ δὲ διὰ γαστρὸς πλείω κένωσιν ἐλάττω φαίνεται, προδήλους ἐπιδείκνυσι τὰς αἰτίας, μήτε δεούσης ὧδ' ἀναδόσεως γινομένης καὶ τοῦ πλείονος περιττοῦ τὴν ὁρμὴν ἐκεῖσε εἰληφότος. 27. Χρεία μὲν γὰρ τῇ φύσει τὸ πᾶν ἀποκενοῦσθαι τῶν περιττωμάτων διὰ τῶν συνήθων πόρων· ἄν τι δὲ τύχῃ πλεονεκτήσας ἅτερος ἑτέρου πόρος, ἐπὶ θατέρῳ τοὔλαττον φέρεται, ἐπὶ δὲ τούτοις καὶ διὰ σφοδρότητα φυρετοῦ ἐλάττω φέρεται τὰ οὖρα, καίτοι πλείω τοῦ συνήθους τοῦ κάμνοντος πίνοντος. 28. Καὶ οὐδὲν ἀπεικὸς εἰς σφοδρότητα διενέγκας ὁ πυρετὸς ἅπασαν ἐμφερομένην ἀποδαπανᾷ τοῦ σώματος ὑγρότητα περιττήν, ὅπου γε καὶ πιμελῆς ἐσθ' ὅτε καὶ τῶν στερεῶν αὐτῶν χρονίσας ἅπτεται. 29. Ἃ δ' ἤτοι τῶν νεφρῶν μόνων ἢ τῶν λοιπῶν οὐρητικῶν ἀγγείων πεπονθότων μείω φαίνεται ἢ καὶ τῆς τοῦ σύμπαντος ἀποκριτικῆς δυνάμεως ἡττονηκυίας, πρόδηλον μὴν τὴν αἰτίαν ἔχει, ὡς ἤτοι διά τινα δυσκρασίαν ἢ πάθος ὀργανικὸν γίνεται. 30. Ὁ δὲ τὸ περὶ αἰτίας νοσημάτων βιβλίον ἀνεγνωκὼς γνοίη ἂν ἐκεῖθεν μαθὼν ἀσφαλέστερον. 31. Καὶ ὁ μὲν περὶ ποσότητος οὔρων λόγος ἀρκούσας εἰληφὼς αἰτίας ὧδέ πῃ καὶ πανέσθω, λειπόμενον δ' ἂν εἴη καὶ τὰς ἐπὶ τοῖς χρώμασιν αἰτίας ἐπιθεῖναι καὶ μετὰ ταύτας τὰς ἐπὶ ταῖς συστάσεσιν, εἶθ' οὕτως καὶ τὰς ἐπὶ τοῖς παρυφισταμένοις, ἵνα διὰ πάντων ἀποδοθέντος τοῦ λόγου καὶ τῶν ἐπὶ τούτοις ἀναπτυχθεισῶν αἰτίων ῥᾳδίως μὲν ἕκαστος πιστεύῃ ταῖς ῥηθείσαις διαγνώσεσι, προχείρως δ' ἔχῃ λέγειν τε καὶ πράττειν τὰ ἐπὶ τούτοις δέοντα. 32. Ὁ γὰρ οἶμαι τοὺς λόγους ἀγνοήσας τῶν γινομένων οὔτ' ἂν ῥᾳδίως πιστεύσῃ ταῖς διαγνώσεσιν οὔτε πιστεύσας ἀντίσχῃ κατασεισθεὶς ὑφ' ἑτέρων λόγων. 33. Ταῦτά τοι αἱ μὲν αἰτίαι οὕτω γνήσιαι φανεῖσαι τῇ περὶ οὔρων πραγματείᾳ ἤδη καὶ λέγονται. 34. Ὡιδ' οὖν προσῆκον τοῦ περὶ αἰτίας λόγου χρωμάτων ἅπτεσθαι. καὶ δὴ περὶ λευκῶν πρῶτον εἰπόντες, καθὼς ἐν τοῖς περὶ διαφορᾶς τε καὶ διαγνώσεως

οὔρων λόγοις ἔφθημεν εἰρηκότες, οὕτω κἀπὶ τὰ λοιπὰ τῶν χρωμάτων προάξομεν τὸν λόγον τὴν ἐπ' ἐκείνοις τάξιν κἀνταῦθα φυλάττοντες. 35. Καὶ γοῦν, καθάπερ ὁ λόγος πρώην ἔδοξε, τῆς ἀκριβοῦς τε καὶ συμμέτρου ἐν τοῖς σιμοῖς τοῦ ἥπατος γεγονυίας πέψεώς τε καὶ διακρίσεως καὶ τοῦ μὲν γεώδους ὁλοκλήρως διαδοθέντος χυμοῦ τῷ σπληνί, ὡς μὴ ῥᾳδίαν τούτου τὴν ἀνάδοσιν ἔχοντος, τοῦ δ' ὀρρώδους συμπαρομαρτοῦντος τῷ αἵματι, δι' ἣν ἔφημεν χρείαν, τοῦ πικροχόλου τὸ μὲν πλέον καὶ μικροῦ δεῖν ἅπαν ἐκεῖ που περὶ τὴν χοληδόχον κύστιν ἀθροιζόμενον φαίνεται. 36. Συνάνειοι δέ τι μέρος τούτου καὶ τῷ αἵματι τῷ τε λεπτομερὲς τελεῖν καὶ εὐανάδοτον, τῷ τε λυσιτελεῖν τῷ ὀρρῷ τῇ τοῦ αἵματος διόδῳ. 37. Τῇ γὰρ δακνώδει ποιότητι τὴν ἀποκριτικὴν ἐρεθίζον δύναμιν συνέξεισι μὲν τῷ οὔρῳ ἤδη φανὲν ἀχρεῖον τῇ τρίτῃ πέψει, χρῶμα δὲ χαρίζεται μιγὲν τῷ χύματι, οἷονπερ ὁ λόγος καὶ ἡ αἴσθησις οἶδε τὸ σύμμετρον. 38. Τοσούτῳ μέντοι κεκοινώνηκεν αἵματος ἐμφάσεως τῶν οὔρων τὰ χρώματα, ὅσαπερ καὶ τὸ λαμπρὸν ὑπογελᾷ τοῖς χύμασιν ἀκτινοβολοῦν, τοῦ γάρ τοι αἵματος τοῦτ' εἶναι τοῖς εὖ εἰδόσι κρίνειν πιστεύεται, ἀλλ' ὁ μὲν περὶ συμμέτρου λόγος τοιοῦτος. 39. Ἐπεὶ δ' εἰκὸς πλεονάζειν τε καὶ ἐλλείπειν τὸν τοιοῦτον ξανθήχολον χυμόν, ἐξυδαροῦσθαί τε καὶ καταχρώννυσθαι δι' οἱασδήτινας αἰτίας δεόντως κατὰ τὰς ἐπ' αὐτοῖς γινομένας διαφοράς, διάφορά τινα καὶ τῶν οὔρων χρώματα φανείη. 40. Ἐπεὶ τοίνυν τῶν λευκῶν χρωμάτων καὶ μάλιστ' ὅσα κρυσταλλοειδῆ τε καὶ ὑδατώδη, ἤτοι παντελῆ τις ἂν ἀπεψίαν διὰ ψυχρότητα καταγνοίη τῆς φύσεως, ἢ ἔμφραξιν μεγίστην τῶν τὰ οὖρα μάλιστα διακρινόντων πόρων, ἢ καὶ τῆς χολῆς αὐτῆς τῆς χρωννυούσης ἐπ' ἄλλα μέρη τοῦ σώματος μετοχεύτεσιν. 41. Ὅσα δ' ὑφειμένην δείκνυσι τὴν λευκότητα καὶ μᾶλλον ἤδη πρὸς τὰ γλαυκὰ καὶ χαρωπὰ τῶν χρωμάτων χωρεῖ, διὰ μὲν μετάστασιν οὐκ ἂν ῥᾳδίως γένηται τοῦ πικροχόλου χυμοῦ, δι' ἀτονίαν δέ γε τῆς τ' ἀλλοιούσης καὶ πεττούσης τοὺς χυμοὺς δυνάμεως καὶ πᾶς τις νοῦν ἔχων ὁμολογήσειεν.

*Κεφ. ε'. Πρὸς ὑφ' αἵματος φάσκοντας τὰ οὖρα πάντοτε χρώννυσθαι.*

1. Ἐπεὶ δέ τινες ὑφ' αἵματος τὰ οὖρα κεχρῶσθαι οἴονται πρὸς αὐτοὺς βραχύ τι λέξομεν τὴν σφῶν ἀπάτην ἀνακαθάραντες. 2. Τὴν φύσιν ἴσμεν μηδέποτε, ὑγιῶς ἐχόντων τῶν σωμάτων καὶ μάλιστα ἐν συμμετρίᾳ χυμῶν τυγχανόντων, ἐᾶν τινα τῶν τρέφειν εἰωθότων χυμῶν ἐκκρίνεσθαι ἀεὶ τροφῆς τοιαύτης δέουσαν. 3. Ἄλογον πάντη καὶ γὰρ ἐδόκει, εἰ τόσα πρὸς τροφὴν μηχανωμένην τοῦ ζώου καὶ ἀεὶ τοῦ πλήρους λειπομένην ἀλόγως οὕτως οὐκ ὀλίγον αἷμα τοῖς οὔροις συνεξεκρίνετο. 4. Ἔπειτα τοῦ αἵματος ἐρυθροῦ τῷ χρώματι τυγχάνοντος, ὑπολευκοῦ δὲ τοῦ ὀρροῦ, ἔδει οἷον ὑπέρυθρον τὸ κατὰ φύσιν οὖρον τυγχάνειν. 5. Τοῦτο δὲ τοσοῦτο λέλειπται τοῦ ὑγειοῦς, ὅσῳ καὶ τοῦ ἐρυθροῦ παρέσχε χρώματος ἔμφασιν. 6. Τί δ' ἂν ἐκώλυεν ἀεὶ τοῦ αἵματος πλήθοντος μὴ πάντοτε τὰ οὖρα τοιαῦτα φαίνεσθαι, οἷα ὁ λόγος οἶδε σύμμετρα; ἔπειτα δὲ προσῆκε τοῖς ξανθὴν ἀπογεννῶσι χολὴν τῷ σώματι πλείω τοιαῦτα οὖρα ἐργάζεσθαι, οἷα τοῖς ἐκείνων δοξάσουσιν ὑφ' αἵματος μᾶλλον ἔδει ηὐξημένου χρώννυσθαι. 7. Τοῦτο δ' ἐς τοὐναντίον ἔστραπται ἥπερ ἐκείνοις ἔπεισι δοξάζειν καὶ πολλὰς ἂν ἴσως ἐμεσαιέν τε καὶ διαχωρήσαιεν χολὰς οἱ τοιαῦτα οὐροῦντες οὖρα καὶ ἐμεθεισῶν ἀποκατασταίη αὐτὰ συμμέτρα (καὶ πολλά τις ἂν ἐξεύροι ἕτερα τὸν νοῦν γυμνάζων πείθοντα) τὰ σύμμετρα τῶν οὔρων καὶ τὰ προσεχῆ ὑπὸ ξανθῆς χολῆς, ἀλλ' οὐχ ὑφ' αἵματος χρώννυσθαι. Εἰ δέ τινα καὶ ὑφ' αἵματος καὶ μελαγχολικοῦ χυμοῦ χρώννυται, ὁ μετ' ὀλίγον δείξει λόγος.

*Κεφ. ς'. Περὶ αἰτίας ὑπώχρων καὶ ὠχρῶν παρυφισταμένων.*

1. Ἐπεὶ δὲ οἶσθα ὅστις χυμὸς τὰ οὖρα μάλιστα χρωννύων πέφυκε, μεμάθηκας δὲ καί, δι' ἃς οὐκ ἐπιτίθησι τοῖς οὔροις χρώματα, λευκὰ δὴ ταῦτα παρεὶς ῥαδίως ἂν ἐντεῦθεν καὶ τὰς ἐπὶ τοῖς λοιποῖς χρωματουργίαις γνοίης, τὴν τῶν χρωμάτων μέθοδον κατειληφώς. 2. Πλὴν ἀλλ' ἐπειδήπερ ἀμφιγνοεῖς τὸν λόγον, τὸ δὲ σαφὲς ἐν πᾶσι καὶ ἀνεπτυγμένον ἀσφαλέστερον εἰς διδασκαλίαν καθέστηκεν, οὐδ' ἂν ἡμεῖς ἐᾶσαι μέν σε δονεῖσθαι ὑφ' οἱωνδήτινων

*τροφάσεων, ἕκαστον τῶν πρώην ἐν ἄλλοις ἀποδειχθέντων χρωμάτων ἀποδεικνύντες, δι᾽ ἅς τινας αἰτίας οὕτω πως κέχρωσται.* 3. *Πολλὰ γὰρ ἂν ἴσως, μὴ μαθών, ἀγνοήσαις. μετὰ τοίνυν τὰ λευκὰ τῶν χρωμάτων τά τε ὕπωχρα καὶ ὠχρὰ γινόμενα φαίνεται, τῆς ἀλλοιωτικῆς καὶ πεπτικῆς ἤδη τόνον λαβούσης δυνάμεως.* 4. *Ἐπεὶ τοίνυν, ὡς πολλάκις εἴρηται, τοῦ χολώδους ἠτυχηκότος πέψεως προσηκούσης τὰ οὖρα φαίνεται λευκά, ἀρχὴ δὲ χρωμάτων τὰ ὕπωχρα καὶ ὠχρά, εἰκότως ἄν τις οἰηθείη πέψεως ἀρχὴν λαμβάνειν τὴν ἀναδιδομένην τροφὴν καὶ ἤδη ζωπυροῦσθαι φαίνεσθαι τὴν ἔμφυτον θερμότητα καί πως μετρίως κρατεῖν τῆς ὕλης, εἰ καὶ μὴ ὁλοκλήρως, ἀλλ᾽ οὖν μέσως πως ἐπιχειρεῖν τὴν φύσιν πέψεως.* 5. *Ὁπόταν γὰρ ὁ ξανθήχολος χυμὸς ἀρκούντως κατασκευασθείη τῇ φύσει, αὐτὸς μὲν οἷου πέφυκε χρώματος ἀπ᾽ αὐτοῦ δὴ μαρτυρεῖ τοῦ ὀνόματος, ἐπίτασιν δέ τινα εἰληφὼς ἐρυθρός τε καὶ ἰώδης καὶ ἰσατώδης, κραμβίζων τε καὶ ὑπομέλας ἤδη πρὸς τὴν μέλαιναν χολὴν μεθιστάμενος φαίνεται, ὥσπερ αὖθις ἀφιστάμενος τοῦ κατὰ φύσιν χρώματος ὑπόξανθός τε καὶ ὑπόπυρρος, ὠχρός τε καὶ ὕπωχρος καὶ ἔτι τούτου φαυλότερος.* 6. *Ἐπεὶ δὲ ταῦτ᾽ οὕτως ἔχει, συναγαγεῖν ὡδὶ τὸν λόγον προσήκει.* 7. *Ὁπόταν σύμμετρος καὶ ὡς προσήκει πέψις γένηται, ξανθή τε καὶ πυρρὰ τελεῖται ἡ χολή· τὰ δ᾽ οὖρα ὑπόξανθά τε καὶ ὑπόπυρρα, τοῦ χρώματος ὧδε ἀμαυρωθέντος τῆς χολῆς τῇ τοῦ ὀρρώδους χυμοῦ ἐπιμιξίᾳ, λευκοῦ που καὶ αὐτοῦ τυγχάνοντος, ὥστ᾽ ἂν ῥηθείη τὰ τοιαῦτα τῶν συμμέτρων οὔρων χρώματα, ξανθοῦ τε καὶ λευκοῦ μῖξις χρώματος, οὐκ ἂν σφαλείης, οἶμαι, τοῦ δέοντος.* 8. *Τὰ τοίνυν ὕπωχρα καὶ ὠχρὰ — ῥητέον γὰρ ὧδε καὶ περὶ τούτων — φαυλοτέραν ἴσως ἐπιμαρτυρήσει τὴν ἀπὸ τῆς χολῆς βαφὴν διαμαρτηθείσης δηλονότι τῇ πέψει.* 9. *Καί πως στοχαζόμενόν τινα βραχύ τι τἀληθοῦς διαπεσεῖν οἶμαι. εἰ δὲ ταῖς αὐταῖς ἀναλογίαις κἀπὶ τῶν λοιπῶν χρωμάτων χρήσαιτο καὶ τὰ μὴ ὠχρὰ τῶν οὔρων ἐν τοῖς οὔροις φαινόμενα ἐπιμιξίαν ἄν τις εἴποι εἶναι ὑποξάνθου τε καὶ λευκοῦ χρώματος τοῦ ἐξ ὀρροῦ, ὥσπερ ἐξ ὠχρᾶς τε καὶ ὀρροῦ τῶν οὔρων λέγεται τὰ ὕπωχρα δι᾽*

οἱανδήτινα τῆς πέψεως ἁμαρτίαν. 10. Ἀλλ' ὁ μὲν περὶ ὠχρότητος οὔρων λόγος τοιοῦτος ἂν ἀποδοθείη· νυνὶ δὲ καὶ περὶ τῶν λοιπῶν χρωμάτων εἴπωμεν, δι' ἃς ἕκαστον τούτων ἀποδίδοται αἰτίας καὶ τὰ μὲν σύμμετρα τῶν οὔρων ἤδη που εἴρηται, δι' οὕστινας λόγους ὑποπυρρά τε καὶ ὑπόξανθα ἀποδίδοται. ἑξῆς δὲ λέγωμεν περὶ τῶν πυρρῶν καὶ τῶν ξανθῶν φαινομένων οὔρων.

### Κεφ. ζ'. Περὶ αἰτίας πυρρῶν καὶ ξανθῶν οὔρων.

1. Τὰ τοίνυν τοιαῦτα ἐν τοῖς οὔροις χρώματα αὐτὸν δὴ τὸν χολώδη χυμὸν ἢ τῇ ποσότητι ἢ τῇ ποιότητι ἐπιτετᾶσθαι δίδοσιν οἴεσθαι πρός τε τὸ εὐχρούστερον κεχωρηκότα καὶ δριμύτερον. 2. Ὁπόταν γὰρ ὑπὲρ τὸ ξανθόν τε καὶ πυρρὸν ἡ τῆς χολῆς χροία προΐῃ, τὰ δηλωθέντα τῶν οὔρων φαίνεται τῇ ἀναλόγῳ μίξει χροιῶν τῶν διαφόρων.

### Κεφ. η'. Περὶ αἰτίας ὑπερύθρων καὶ ἐρυθρῶν οὔρων.

1. Τά γε μὴν ὑπέρυθρα καὶ ἐρυθρὰ τῶν οὔρων ἤτοι δι' ἐπιμιξίαν ἐρυθρᾶς χολῆς γίνεται ἢ δι' ἰχῶρα αἵματος, ἐκεῖ που τὴν ὁρμὴν ἀπειληφότα τῆς ἐκκρίσεως. 2. Ὅτι δὲ καὶ ἐρυθρὰ χολὴ ἐνίοτε διαφαίνεται, ἔστι μὲν καὶ ἰατρῶν αὐτῶν πυθέσθαι. 3. Ἐγώ τε πολλάκις εἶδον χολὴν τοιαύτην, ὥσπερ δὴ κἀπί τινος πρὸ βραχέος χρόνου πυρέσσοντος, ὥσπερ ἡ γαστὴρ ὑπέρυθρα διεχώρησεν, καὶ οὖρα δὲ τὰ παραπλήσια διεφαίνετο. 4. Καὶ οὐ δεῖ τὸν ἐπὶ τούτου λόγον ἁπλῶς μηκύνειν ἤδη γνώριμον πεφυκότα· ἐκεῖνα δὲ μᾶλλον εἰπεῖν προσήκει, ὅσα δι' αἵματος ἰχωρώδους ἐπιγεγονυῖαν αὔξησιν τοιαῦτα φαίνεται. 5. Ἐπὰν οὖν πλεονάσαν τὸ αἷμα μὴ ῥαδίως ὑπὸ τοῦ φυσικοῦ τούτου διαπνῆται πνεύματος, στενοχωρουμένων οἷον τῶν ἀγγείων τῷ πλήθει, ἰχώρ τις ἐπιγίνεται τῷ αἵματι, οἷόν τι κἀπὶ τῶν ἀδιαπνευστούντων ὑγρότητός τινος ἐπικεκοινωνηκότων γίνεται σωμάτων πρὸς σῆψιν ἤδη κεχωρηκότων. 6. Ὁ γάρ τοι εὐρὼς μὲν παρὰ τοῖς γραμματικοῖς καλούμενος, ὀμίχλη δὲ παρὰ τοῖς κοινολογοῦσι τοιαῦτα παρατροπῆς μὲν σύμβολον τῆς οἱασδήτινος οὐσίας πέφυκεν,

ὅσον δ' οὔπω παραγεγενῆσθαι σῆψιν σημαίνει. 7. Καὶ τοίνυν ἀπὸ τῶν ὑπερύθρων οὔρων ἰχὼρ μέν τις αἵματι ἐπιγεγενῆσθαι διαφαίνεται, οἷόν τι καὶ τοῖς ὁσημέραι φαινομένοις ὑγροτέροις σώμασιν ἡ ὁμίχλη, διαδίδοσθαι δ' ἐπὶ τὴν ἔκκρισιν τῇ ἀποκριτικῇ δυνάμει τοῦτον ἀπωθούμενον. 8. Ἐπεὶ γὰρ ἐρυθροῦ χρώματος καθέστηκεν ὁ ἰχώρ, αἷμα γὰρ οἷον οὗτος διαφθαρέν, πάντως ἂν ἑνωθεὶς τῷ ὀρρώδει χυμῷ τότε αὐτοῦ χρῶμα ἀλλοιώσει μεταβαλὼν πρὸς τὸ σφέτερον, ἐλλείψει τε τῆς ἐντελοῦς ἐρυθρότητος τῷ ἐξυδαρωθῆναι οἷον ταύτην τῇ τοῦ ὀρρώδους κράσει χυμοῦ. 9. Οὐ δεῖ δὲ λανθάνειν ὡς κἄν τι τοῦ χολώδους εἴη χυμοῦ χρωματίζον τὸ οὖρον καὶ τοῦτ' ἀμαυροῦται τῇ τοῦ ὑπερβάλλοντος ἔν τε ποσῷ καὶ χρώματι κράσει. 10. Καὶ ὑπέρυθρα μὲν διὰ ταύτας ἂν ἀποδοθείη τὰς αἰτίας· ἐρυθρὰ δ' αὖ ἤτοι διὰ ὑπερβάλλον πλῆθος χολῆς ἐρυθρᾶς ἢ δι' ἰχῶρα πλείονα τοῦ αἵματος ἐν τοῖς οὔροις τὴν ὁρμὴν εἰληφότα πᾶσαν. 11. Τῷ γάρ τοι πλήθει ταῦτα ἐπικρατήσαντα βραχύ τι διαφαίνεσθαι ἐῶσι τὴν τοῦ ὀρρώδους ἐπιμιξίαν χρώματος. 12. Ὁπόταν μέντοι ἀκριβῶς ἐρυθρὰ εἴη καὶ φοινικὰ τὰ οὖρα, αἵματός ποθεν ἐπιρρυέντος ἐπιδείκνυται τοιαῦτα, ἤτοι φλεβός τινος ῥαγείσης τῶν περὶ τὰ οὐρητικὰ ἀγγεῖα ἢ τῶν διυλιζόντων περὶ τοὺς νεφροὺς τὰ οὖρα ἀγγείων, χαύνωσίς τις καὶ ὑπὲρ τὸ δέον ἀραίωσις, ὥστε συμβαίνειν ἐκεῖθεν καὶ τῆς τοῦ αἵματος οὐσίας οὐκ ὀλίγον σὺν τοῖς οὔροις φέρεσθαι καὶ χρωννύειν οὕτω τὰ οὖρα. 13. Ἀλλ' ὁ μὲν περὶ αἵματος, ἄλλως μὲν ἐπίδηλος ὤν, περιττὸς δὲ νῦν εἰρῆσθαι — περὶ γὰρ οὔρων ἡμεῖς, ἀλλ' οὐ περὶ ἐνουρουμένων αἱμάτων εἰπεῖν προὐθέμεθα — τανῦν ἀφείσθω.

### Κεφ. θ'. Περὶ αἰτίας οὔρων οἰνωπῶν.

1. Ἑξῆς δὲ ῥητέον περί τε τοῦ οἰνωποῦ καλουμένου χρώματος, καὶ ὅσα μετὰ τοῦτο πέφυκεν. 2. Ὁποῖον μὲν οὖν πέφυκεν τὸ οἰνωπὸν καλούμενον χρῶμα, ἐν τοῖς περὶ διαφορᾶς οὔρων ἔφθημεν εἰρηκότες, ὅτι δὲ σημαίνεται, ἐν τοῖς περὶ διαγνώσεως εἴρηται. νῦν δ' ἐπιθῶμεν τῷ λόγῳ καὶ τὰς αἰτίας, ἐφ' αἷς τοῦτο γίνεται. 3. Ἐπὶ μὲν οὖν

τῶν πολλὰ δραμόντων καὶ κεκοπιακότων συμβαίη ἂν δι' ὑπερόπτησιν τοῦ αἵματος. 4. Ἐπειδὰν γὰρ ἡ συνεχὴς καὶ σύντονος κίνησις τὸ αἷμα διαθερμάνῃ, καὶ τοῦ προσήκοντος πλέον ἐξέκαυσέ τε καὶ διϊδρωθῆναι ἐν τοῖς διουρητικοῖς ἀγγείοις ἐποίησε καὶ τῇ ἑνώσει ἀμφοτέρων τὸ οἰνωπὸν τοῦ χρώματος γέγονεν καὶ οὐδὲν ἂν δόξῃ παράδοξον, ὅπου γε καὶ θρόμβοι αἵματος διαδίδονται εἰς τὴν ἐπιφάνειαν διϊδρούμενοι, κόπου τε καὶ ἡλιοκαΐας ἐνίοτε τὸν ἄνθρωπον ἐπισχόντων. 5. Ἐγώ γε μὴν ἐπί τινος μείρακος τοιοῦτόν τι μέμνημαι ἰδών. ἀφικόμεθά ποτε περὶ Κυνὸς ἐπιτολὴν ἐντὸς τῆς πόλεως ἐπί τινα πανήγυριν προσκυνήσοντες μὲν τὸν ἐκεῖσε ἅγιον διαφερόντως τιμώμενον, ἐνδιατρίψοντες δὲ καὶ τοῖς ἐκεῖσε χάριτός τινος γέμουσι. 6. Καὶ οὔπω μὲν τὸ τρίτον τῆς ἡμέρας παρῳχήκει καὶ ἡμεῖς ἐκεῖσε παρεγενόμεθα καὶ τὰς εὐχὰς ἀποδόντες καὶ μικρόν τι προσδιατρίψαντες, ἐπεὶ καὶ μεσημβρία ἦν, ἤδη νόστου τε ἐμνήσθημεν καὶ τῷ ἡλίῳ συγκαόμενοι δείλης ὀψίας περὶ τὰς οἰκείας ἀφίγμεθα, μέγιστον τὸν δι' ἐκείνης τῆς ἡμέρας ἡγησάμενοι κόπον. 7. Τό τε γὰρ μὴ ἔθος ἔχειν ἡμᾶς ἔτι προσταλαιπωρεῖν ὁδῷ καὶ καύμασι τό, τε ἁπαλωτέρων τυχεῖν σωμάτων οὐ μετρίως ἡμῶν ὁ καύσων καθίκετο. 8. Ἀλλ' ἐγὼ μὲν τότε δὴ τότε τῆς ἐπ' ἐκείνης βλάβης ἀπηλλαττόμην· ὁ δ' ἕτερος τῶν σὺν ἡμῖν ἀφιγμένων, μαλακώτερός τε ὢν καὶ εὐπαθέστερος, ἐλεύθερος μὲν καὶ αὐτός, ὡς ἐδόκει, ἐτύγχανε τῆς ἀφ' ὁδοῦ βλάβης. 9. [ἡ δὲ ἐπιοῦσα ἔδειξεν αὐτὸν μεταλαχόντα τινὸς ἐκ τῆς ὁδοῦ βλάβης]. 10. Ἐπεὶ γὰρ αὐτὸν ἡ γαστὴρ ἔνυξεν, ἐξῄει μὲν εἰς λάσανον, ὑπόμελαν δέ οἱ ἡ γαστὴρ ὑπεχώρησε. 11. Τοῦτ' ἰδὼν ἐκεῖνος ἀπεπάγη καὶ ἐμοὶ τὸ πάθος ἐξήγγειλε καὶ ἐπυνθάνετο, ὅτι ἂν ἡ τοιαύτη βούλοιτο τοῦ διαχωρήματος μεταβολή. 12. Εἰδὼς οὖν ἐκεῖνον εἰθισμένον μὲν συνεχῶς τέμνειν φλέβα, πολλοῦ δὲ τοῦ χρόνου παραρρυέντος μὴ χρησάμενον τῷ ἔθει, καὶ ἄλλως δὲ θερμὸν καὶ εὐπαθῆ γινώσκων τὸν ἄνθρωπον, προσεπιτιθεὶς δὲ καὶ τὸν χθιζὸν περίπατον ἔγνων δὴ τότε ἀκριβῶς διϊδρωθέντος αἵματος κατὰ τὴν ἐντὸς τῶν φλεβῶν ἐπιφάνειαν καὶ συγκαέντος, εἶθ' οὕτως ἀνθ-

ἑλκυσθέντος ἐπὶ γαστέρα, ἀνακραθέντος τῷ ἀποπάτῳ καὶ συνεκκριθέντος τὸ μετ' ἐκείνην τοιοῦτον φανῆναι εἶδος διαχωρήματος. 13. Ἐνταῦθεν οὖν καὶ τὸ περὶ τῶν οἰνωπῶν συλλογισάμενος οὔρων ταῖς αὐταῖς καὶ ταῦθ' ὑπέβαλλον αἰτίαις γίνεσθαι καὶ δεῖ τῷ λόγῳ πιστεύειν τὸν σπουδαῖον. 14. Καὶ ταῦτα μὲν ὑφ' ὑγιῶν καὶ λέγεται καὶ φαίνεται· ἐπὶ δὲ τῶν πυρετοῖς ἑαλωκότων οὐ μετρίοις τὸν μὲν ἰχῶρα πλεονάζειν ὑποδείκνυσι τοῦ αἵματος, σήπεσθαι δ' αὐτὸν ἤδη καὶ συγκάεσθαι καὶ πρὸς χολῆς ξανθῆς εἶδος ταύτῃ μεθίστασθαι. 15. Ταῦτα τοι καὶ ἀμφοτέρων μὲν τῶν χυμῶν τὰς ἀκριβεῖς τῶν χρωμάτων ἐκπέφευγεν ἰδέας μηδὲν ἔτι τελοῦν ἴδιον· τὸ δ' οἰνωπὸν οὕτω καλούμενον κατεσκεύασε χρῶμα μεταβεβλημένου αἵματος εἰς χολήν. καὶ ὁ μὲν περὶ οἰνωποῦ χρώματος λόγος οὕτω πως ἀποδίδοται.

### Κεφ. ι'. Περὶ αἰτίας οὔρων κυανῶν.

1. Τὸ δὲ κυανοῦν ἔτι πορρωτέρω τοῦ συμμέτρου πεφυκὸς χρώματος καὶ μείζονος τετύχηκεν ἀλλοιώσεως. 2. Τῆς γάρ τοι ξανθῆς χολῆς συμμέτρου γεγονυίας, σύμμετρ' ἂν καὶ τὰ οὖρα προβαίη. 3. Καθ' ὅσον δ' ἂν αὕτη ἀλλοία τοῦ προσήκοντος ἐκστᾶσα γένηται καὶ τὰ οὖρα δείκνυσι μεταβαλλόμενα καὶ δὴ τῆς τοιαύτης ἐξοπτωμένης χολῆς καὶ ἰώδους οἷον γεγενημένης καὶ βραχείας τινὸς τῆς ῥοπῆς δεομένης ἐς τὴν τοῦ μελαγχολικοῦ χυμοῦ ἰδέαν καὶ διαδραμούσης τὸ φλεβῶδες γένος, τὰ κυανὰ τοῦ χρώματος ἀποδίδοται.

### Κεφ. ια'. Περὶ αἰτίας οὔρων χλωρῶν.

1. Τῶν δὲ χλωρῶν οὕτω καλουμένων χρωμάτων ὅσα μὲν διὰ τηκεδόνα γίνεται τῆς πιμελῆς διαφανέστερά τε καὶ πρὸς τὸ ἐλαιῶδες χρῶμα διασκεδάζεται. 2. Γίνεται δὲ τοιαῦτα δι' ἐπιμιξίαν τοῦ ἀπὸ πιμελῆς συντήγματος ἐλαιώδους ἤδη γεγονότος διὰ τὸ τοῦ πυρετοῦ παριόν. 3. Ὅσα δ' αὖ πρὸς τὸ μελάντερον ἐπιρρέπει σκιαυγῆ μὲν καὶ χλωρίζοντα, πλῆθος δ' ὑποφαίνει καὶ πάχος τῆς ἰώδους τε καὶ ἰσατώδους οὕτω καλουμένης χολῆς. 4. Πάνυ μὲν γὰρ αὐ-

*ται χλωραί, βραχείας δέ τινος τῆς μεταβολῆς δεόμεναι, πρός γε τὸ μελαγχολικὸν εἶδος· ἐντεῦθεν γάρ τοι μέλανα γίνεται τῶν χρωμάτων.* 5. *Καὶ χλωρὸν μὲν ὡς εἴρηται δι' ἐπικρατείας αἰσχίστης γίνεται χολῆς κατά τε τὸ ποσὸν καὶ τὸ ποιὸν ἐπαυξηθείσης· ἤδη δὲ καὶ πρὸς ἕτερον ἐπειγομένης εἶδος χολῆς.*

*Κεφ. ιβ'. Περὶ φαιῶν καὶ πελιδνῶν καὶ μελάνων οὔρων.*

1. *Τὰ δὲ φαιὰ καὶ πελιδνὰ καὶ μέλανα διά τε ψύξιν καὶ χυμὸν γινόμενα μέλανα τῇ μὲν διαφορᾷ τῇ πρὸς ἄλληλα, καὶ τὴν ποσότητά τε καὶ τὴν ποιότητα δείκνυσι τῶν τὰ τοιαῦτα χρωννύντων χυμῶν.* 2. *Τὴν ἑνότητα δὲ τῷ ὁμοειδεῖ — ἑνός τε γὰρ εἴδους κεκοινωνήκασι χρώματος, καὶ οὐκ ὀλίγην ἔσχον τὴν πρὸς ἄλληλα διαφορὰν τῇ ἐπιτάσει τε καὶ ὑφέσει τοῦ χρώματος.* 3. *Πλὴν οὐδ' ἀεὶ ταῖς αὐταῖς τὰ πάντα γίνεται αἰτίαις, ἀλλὰ καὶ ἑτέρως.* 4. *Τὰ μὲν γὰρ φαιὰ διὰ θερμότητα οὐκ ἂν οἶμαι τοιαῦτα γένοιτ' ἂν ὥσπερ οὐδὲ τὰ πελιδνά, ἀλλ' ὁτὲ μὲν διὰ ψυχρότητα, ὁτὲ δ' αὖ διὰ χυμόν τινα μέλανα.* 5. *Τὰ δέ γε πελιδνὰ καὶ τῶν φαιῶν πεπλεονέκτηκε, τῷ καὶ διὰ πληγὰς ἐνίοτε καὶ μάστιγας ἐπιτεθείσας τἀνθρώπῳ τοιαῦτα γίνεσθαι, τὰ μέλανα δὲ τῶν χρωμάτων καὶ διὰ ψυχρότητα ἐπιταθεῖσαν πάνυ καὶ διὰ ὑπερβολὴν θερμότητος ἐπιρροήν τε χυμοῦ τοῦ μέλανος καὶ νέκρωσιν ἐσχάτην.* 6. *Καὶ ταῦτα μὲν κἀν τοῖς περὶ διαγνώσεως, ὡς οἶμαι εἴρηται, νῦν δ' ἐπιθήσομεν καὶ τὰς αὐτοῖς νομιζομένας ἐναρμόζειν αἰτίας.* 7. *Τὰ μὲν οὖν πελιδνὰ διὰ πληγὰς γινόμενα πολλὴν κατηγορεῖ τοῦ αἵματος τὴν νέκρωσιν γεγονέναι.* 8. *Τῶν γὰρ πληγῶν διασπασασῶν καὶ νεκρωσασῶν τὸ αἷμα, εἰς ὑπόμελαν δὲ εἴωθε νεκρούμενον τὸ αἷμα μεταχωρεῖν, ὀψέ ποτε τῇ ἀποκριτικῇ δυνάμει τοῦτο διὰ γαστρὸς ὠθούμενον καὶ τῶν οὔρων τοιαῦτα καὶ τὰ οὖρα δείκνυσι καὶ τὰ διαχωρούμενα.* 9. *Ἐνίοτε δὲ ἐφ' ἑνὶ τῶν πόρων τὴν ὁρμὴν λαβών, τὸν ἕτερον ἀφῆκε καὶ δεῖ τούτῳ τῷ λόγῳ σημειοῦσθαι.* 10. *Ἃ γὰρ οὐκ ἔσχε δεῖξαι τὰ οὖρα, ἡ γαστὴρ διαχωροῦσα ἔδειξε ὥσπερ καὶ τοὔμπαλιν, ἃ μὴ ἡ γαστὴρ δεικνύειν ἔτυχε, ταῦτα τὰ οὖρα δείκνυσι.*

11. *Καί ποτε αὐτὸς λευκά τε καὶ λεπτὰ τεθεαμένος οὖρα, χολώδη πάνυ εἶδον διαχωρήσαντα ὥσπερ καὶ λευκὰ διαχωρούσης ἄλλοτε γαστρός, οὐκ ὀλίγην εἶναι τὴν χολὴν τῷ σώματι τὰ οὖρα ὑπεδείκνυον.* 12. *Ἀλλὰ τοῦτο μὲν τοῦ διαγνωστικοῦ μᾶλλον μέρος ὄν, ἐν ἐκείνῳ δὴ καὶ λελέχθω. ἡμεῖς δὲ τῶν ἑξῆς ἐχόμενοι λέγωμεν.* 13. *Τὰ τοίνυν φαιὰ καὶ πελιδνὰ καὶ μέλανα κατηγοροῦσι μὲν αὐτῶν καὶ τὴν χολὴν ὡς χρώσασαν τὴν μέλαιναν, προσεπιμαρτυροῦσι δὲ καὶ ψῦξιν καθάπερ καὶ θερμότητα.* 14. *Ἐπὶ μελάνων οὔρων μέντοι. ὅτι δὲ φύξις εἴωθε μελαίνειν τοὺς χυμοὺς καθάπερ καὶ θερμότης ἄμετρος, μαθεῖν ἐστιν ὧδε.* 15. *Ψῦξις μὲν γὰρ τῷ συνάγειν τε καὶ πυκνοῦν, καθάπερ κἀπὶ τῶν νεφρῶν ἐστιν ἰδεῖν ὁσημέραι.* 16. *Καθόσον γὰρ ἂν ταῦτα πύκνωσιν προσλαμβάνηται, καὶ μέλανα μᾶλλον διαφαίνεται τοῦ διαφανοῦς ἀποχωροῦντος, οἷον τῇ πυκνώσει, οὐχ ἧττόν γε μὴν καὶ διὰ νέκρωσιν ἐκ ψύξεως εἰώθασι μελαίνεσθαι τὰ οὖρα· οἰκεῖον γάρ τοι τοῦτο πέφυκε τὸ χρῶμα τῶν νενεκρωμένων ἤδη σωμάτων.* 17. *Ἐπεὶ γὰρ ἀντικεῖσθαι λέγεται ζωὴ θανάτῳ, πάντως ἂν ἀντιτεθείη τὰ τοῖς ζῶσι τοῖς νεκρωθεῖσιν ἴδια καὶ κατά τε εἴδη καὶ ποιότητα καὶ χρώματα.* 18. *Καὶ τοίνυν εἰ ὑπόλευκά τε καὶ ὑπόπυρρα τοῖς ὑγιέσιν ἀποδίδοται, τίνα ἂν ἀποδοθείη οἰκειότερα τοῖς ἤδη νεκρουμένοις, εἰ μὴ τὰ μέλανα τὸ πάντων αἴσχιστον ὡς κληρωσάμενα χρῶμα.* 19. *Θερμότης γε μὴν εἴωθε μελαίνειν τὰ οὖρα τῷ οἷον ἐξοπτᾶν τε καὶ συγκάειν τὴν ἐν φλεψὶν ὕλην, ὥσπερ δῆτα κἀπὶ τῶν ἐσβεσμένων ἀνθράκων φαίνεται.* 20. *Καὶ γὰρ καὶ ταῦτα τῇ τοῦ πυρὸς ὑπερβολῇ διεμελάνθη τῇ παρὰ σφίσιν οὔσῃ ὑγρότητι ταύτην.* 21. *Παραδεξάμενα ἴδῃς δ' ἂν ὁσημέραι τοὺς μὲν πελιδνούς τε καὶ μέλανας ἀκροτέρους γεγονότας διὰ τὴν τῆς τοιαύτης ψύξεως ἐπικράτειαν, τοὺς δ' ἄνθρακας οὕτω καλουμένους ἕλκη πονηρά, ῥέποντας ἤδη πρὸς τὸ τοῦ χρώματος μελάντερον τῇ τῆς θερμότητος ἀμετρίᾳ.* 22. *Ἐγώ γε μὴν καί τι τοιοῦτον μέμνημαι ἰδὼν περὶ τὸ ἰατρεῖον θαμίζων.* 23. *Ἧκέ τις ἀμίδα κομίζων, ἐν ᾗ φαιόν τε καὶ ὑπόλεπτον οὖρον ἐδείκνυτο. ὅ γε μὴν τοῦτ' ἐνουρήσας οὔτ' ὀρθῶς βαίνειν ἴσχυε πολλῷ γε συγκοπτό-*

μενος καὶ οὐ μετρίων ᾔσθετό περὶ τοὺς νεφροὺς ἀλγηδόνων· ἔφασκε δὲ πρότερον μετρίως πως ἀλγήσας τοὺς νεφροὺς φλέβα τε τεμεῖν καὶ ἱκανῶς ῥυῆναι τοῦ αἵματος. 24. Ἐκεῖθεν δὲ αἱ ὀδύναι ἐπὶ τὸ σφοδρότερον προϊοῦσαι πονηρῶς οὕτω διέθεσαν τὸν ἄνθρωπον. 25. Ἦν δ᾽ ἄρα τῷ τότε χειμέριος μὲν ἡ ὥρα, τύχῃ δέ τινι καὶ πλέον τοῦ προσήκοντος ἐσφοδρύνετο. 26. Ἐγὼ μὲν οὖν ταῦτα ἰδών τε καὶ πυθόμενος οὐ μετρίαν τινὰ τὴν ψῦξιν εἶναι καταστοχασάμενος τοῖς θερμοτέροις ἔφασκον δεῖν χρήσασθαι. 27. Ὑμῖν δὲ θέμις τὰ τοιαῦτα σκέπτεσθαι καὶ μανθάνειν ἔχειν, ὡς ὑπερβολὴ ψυχρότητος τοιαῦτα πολλάκις οὖρα δείκνυσιν. 28. Ἀλλ᾽ ὁ μὲν περὶ αἰτίας χρωμάτων λόγος ἀρκούντως οἶμαι ῥηθεὶς ὧδέ πη καὶ παυέσθω, καὶ ἄλλων ἐν τοῖς περὶ αἰτίας οὔρων τεθεωρημένων ζητημάτων καὶ ἐφ᾽ ἑαυτὰ τὸν λόγον ἐπισπωμένων. 29. Τῶν μὲν οὖν καθ᾽ ἕκαστα γινομένων ἀποδιδόναι τὰς αἰτίας μακροῦ τε οἶμαι δεήσει λόγου καὶ οὐ πάνυ ὡς οἶμαι ἀκριβωμένου ἀποιήσει τῶν κατὰ μέρος μή πω τινὶ διωρισμένων μέτρῳ καὶ ἀριθμῷ. 30. Ἔπειτα δὲ καθολικοῖς τισι διορισμοῖς ὡς οἷόν τε ἦν τὰ γενικώτερα διορισαμένοις καὶ τὰς ἐπ᾽ αὐτὰς ἀποδιδοῦσιν αἰτίας τὰ κατὰ μέρος αὖθις ἐξετάζειν τῷ λόγῳ περιττὸν ἂν ἴσως δόξειεν, κἀκείνων ὥσπερ ἐν τοῖς καθολικοῖς ἐμπεριειλημμένων διορισμοῖς. 31. Ἐπὶ τούτοις δὲ προσήκει τοῦ περὶ συστάσεως ἁψομένῳ λόγου καὶ τὰς ἐφ᾽ αὐτοῖς νομιζομένας ἀποδιδόναι αἰτίας.

### *Κεφ. ιγ΄. Περὶ αἰτίας τῶν κατὰ τὰ οὖρα συστάσεων.*

1. Δυοῖν τοίνυν οὔσαιν ταῖν δραστικαῖν τε καὶ ποιητικαῖν ποιοτήταιν, δυοῖν δ᾽ αὖ ταῖν παθητικαῖν, ἐφ᾽ ἑκάστῃ τούτων ἤτοι ἐπικρατούσῃ ἢ ἐπικρατουμένῃ πᾶσα πέψις καὶ ἀπεψία γίνεται, ἐφ᾽ αἷς δηλονότι καὶ τῶν συστάσεων τὰ εἴδη συνίστανται. 2. Πέψις γάρ τοι κατὰ τὸν εἰπόντα φιλόσοφον τελείωσις ὑπὸ τοῦ φυσικοῦ καὶ οἰκείου θερμοῦ ἐκ τῶν ἀντικειμένων παθητικῶν· ταῦτα δ᾽ ἔστιν ἡ οἰκεία ἐν ἑκάστῳ ὕλη. 3. Ὅταν γὰρ πεφθῇ, τέλειον γέγονε καὶ ἡ ἀρχὴ τῆς τελειώσεως ὑπὸ θερμότητος οἰκείας συμβαίῃ, κἂν διά τινος τῶν ἐκτὸς βοηθείας συνεπιτελεσθῇ. τὸ δὲ

τέλος εἰς οἰκεῖόν τι καὶ ὡρισμένον εἶδος τὴν ὕλην μεταγαγέσθαι. 4. Ἀπεψία δ' ἂν συμβαίη διὰ τἀναντία τούτων τῷ μὴ δηλονότι τὴν ὕλην ἐπικρατεῖσθαι τῇ φυσικῇ θερμότητι ἤτοι διὰ τὴν αὐτῆς ἢ μοχθηρίαν ἢ ὑπερβολὴν ἢ καὶ τῆς ἐμφύτου ἀτονίαν θερμότητος δι' οἱανδήτινα ἐπικρατήσασαν δυσκρασίαν. 5. Ἐπεὶ τοίνυν, εἰ συνελόντα με δεῖ φάναι, πέψις ἐστὶν ὑπὸ θερμότητος οἰκείας τῆς ὁποιασοῦν ὕλης εἰς οἰκεῖον τῷ πέττοντι ταύτην εἶδος ὡρισμένον μεταβολή, δῆλον ἂν εἴη ὡς ἡ ἐν συμμέτρῳ τῇ συστάσει τῆς ὕλης μεταβολὴ δι' ἐπικρατείαν ἂν συμβαίη τῆς ἐμφύτου θερμότητος. 6. Ὁπόταν γάρ, τῆς ὕλης οὔσης συμμέτρου, ἡ φυσικὴ ταύτης ἐπικρατήσῃ θερμότητος, ἥ τε πέψις κατὰ τὸν ἑαυτῆς ἀποδίδοται λόγον καὶ αἱ τῶν περιττωμάτων ἐκκρίσεις τὴν ἀναλόγως ἀπαιτουμένην ἀπολαμβάνουσι σύστασιν. 7. Καὶ τοίνυν σύστασις οὔρου συμμέτρου ἐπιφαινομένη καὶ τὴν πέψιν ἀρκούντως ἐπιγεγονέναι δηλοῖ. καθ' ὅσον δ' αὖ αὐτὴ τοῦ συμμέτρου λείποιτο καὶ τὰς πέψεις διημαρτῆσθαι τοῦ τελείας εἶναι δηλοῖ καθ' οἱονδήτινα διαπεσούσας τρόπον. 8. Ἐπεὶ δὲ τά τε λεπτὰ καὶ παχέα τῶν οὔρων καὶ ὅσα δηλονότι τὴν σύμμετρον ἐκπεφευγότα σύστασιν φαίνεται, οἱανδήτινα μὲν ἑτέραν εἴληφε σύστασιν, ἀπεψίαν δὲ κατηγορεῖ τῆς φύσεως, χρεὼν ἂν εἴη κατὰ τὴν ὁμολογίαν ἀποδεδωκέναι καὶ τὰς ἐπὶ τούτοις νομιζομένας αἰτίας. 9. Ὅτι μὲν οὖν οἰκεία θερμότης ἐπικρατοῦσα τῶν εἰσαγομένων τροφῶν τε καὶ πομάτων, ἔτι τε τῶν ἐντὸς χυμῶν τὰς κατὰ λόγον πέψεις ἐργάζεσθαι πέφυκε, ἄν τι δὲ τύχῃ διαμαρτοῦσα καθ' οἱονδήτινα λόγον ἀπεψία τις ἐπὶ τούτων γίνεται, ἤδη που λέλεκται. 10. Καὶ τὰ μὲν λεπτὰ τῶν οὔρων ἐπιφαινόμενα, διαπεπτωκυῖαν τὴν ἔμφυτον ὑποφαίνει τοῦ προσήκοντος θερμότητα, ἤτοι δὲ τῷ κεκρατῆσθαι ὑπό τινος ἀξιολόγου ψυχρότητος ἢ τῷ τὴν νόθον καὶ φθαρτικὴν θερμότητα ὑφ' οἱασδήτινος ἀναφθεῖσαν προφάσεως ἐπικρατεῖν, τὴν ἔμφυτον ταύτην καὶ φυσικὴν ἀμαυροῦσθαί τε καὶ τῆς οἰκείας ἐνεργείας ἀπείργεσθαι. 11. Ὅτι δὲ τοῦθ' οὕτως ἔχει, μαθεῖν ἔστι κἀπὶ τῶν ἑψημένων ἐδεσμάτων. 12. Ἧττον γὰρ ἕψηται, ἃ ἂν τύχῃ ἐν ἡλίῳ βαλ-

λόντι σφοδρότερον ἑψόμενα ὑπὸ πυρὸς ἢ ἅπερ ὑπὸ σκιερῷ καὶ ἀνηλίῳ τόπῳ, ὥσπερ οὖν καὶ ἃ ἂν τύχῃ ὑπὸ κρυμώδει πάνυ τῷ καταστήματι ἑψόμενα ἧττον ἕψεται τῶν ὑπὸ θαλπωρῇ τοῦ περιέχοντος καταστάσει. 13. Ἐκεῖ μὲν γὰρ ἡ τοῦ ἡλίου τὴν τοῦ πυρὸς ἐφελκομένη θερμότητα, ὧδε δ' αὖ ἡ τοῦ σφοδροῦ ψύχους δύναμις τῇ τοῦ πυρὸς θερμότητι πολεμοῦσα ἧττον τὰ ἐν αὐτοῖς ἑψόμενα παρασκευάζουσιν ἕψεσθαι τῶν ἐν μὴ τοιούτοις τόποις ἐχομένων, ἅτε μηδενός τινος ἐμποδὼν τυγχάνοντος, ὥστε καὶ συμβαίη ἂν ἐντεῦθεν ἄνεφθα τελεῖν τὰ ὄψα ἔτι τὰ ἐν ὑπαίθρῳ οὕτω καύσωνι καὶ κρυμῷ ἑψόμενα, καθ' ὃν ἂν χρόνον ἑψηθῇ τῶν τὰ ὑπὸ σκιώδει τε καὶ θερμοτέρῳ οἴκῳ. 14. Μάθοις δ' ἂν τοῦτο κἀπὶ τῶν λύχνων. ἐπειδὰν γὰρ μείζονι μείω λύχνον προσπελάσαις, ἀπομαρανθήσεται ἢ καὶ σβεσθήσεται ὁ ἐλάττων τῇ τοῦ μείζονος ἐπικρατείᾳ. 15. Καὶ ὧδε μὲν τῇ ποσότητι μόνῃ τὰ φῶτα διαλλάξαντα τοῦτο πέπονθεν, ἐκεῖ δὲ καὶ τῇ διαφορᾷ τῆς ἐπ' αὐτῷ τῷ γένει ποιότητος, ὥστε τὸ ἐξ ἀμφοτέρων δεῖ συναγόμενον συνελόντα τὸν συνετὸν ἀντεξετάζειν τοῖς ἐπὶ ταῖς διαμαρτίαις γινομένοις πέψεως. 16. Καὶ δὴ καθόσον ἡ πεπτικὴ τε καὶ ἀλλοιωτικὴ δύναμις ὑπό τινος τῶν ῥηθεισῶν πάθῃ δραστικῶν ποιοτήτων, καὶ αἱ συστάσεις φύγοιεν ἂν τὴν σύμμετρον ἐπὶ τὸ λεπτότερον σύστασιν. 17. Καὶ ταῦτα μὲν ἐπὶ ψυχραῖς ἐπιταθείσαις συμβαῖεν ἂν δυσκρασίαις, μᾶλλον ὁπόταν δ' οὐχὶ διὰ ἑαυτὴν ἡ πεπτικὴ πέπονθε δύναμις ἢ ἔκ τινος δυσκρασίας, ἀλλ' ἐξ ἐπικρατείας οἱασδήτινος ὕλης, τότε δὴ μᾶλλον τὰ παχύτερα τῶν οὔρων ἂν φανείη ἐνουρούμενα. 18. Εἰκός γε μὴν τῷ χρόνῳ ἤτοι τῆς ἐμφύτου μαραινομένης θερμότητος ἢ τοὐναντίον τῆς ὕλης ἐπιδιδούσης διάφορ' ἄττα καὶ τὰ πάχη δείκνυσθαι. 19. Κἀπειδὰν δὲ ἡ φύσις πέττειν ἐπιχειροίη τὴν ὕλην μήπω ταύτης πάμπαν ἐπικρατήσασα, τὰ οὖρα ἐκ λεπτῶν παχύτερα δείκνυσιν. 20. Ὅτε μὲν γὰρ εἴθ' ὑπὸ ψυχρότητος ἐπικρατησάσης εἴθ' ὑπὸ νόθου δηλονότι θερμότητος οὐκ ἐφικνεῖτο πράττειν τὰ ἑαυτῆς καθότι μὴ ἐπεχείρει πλεονεκτουμένη πέττειν, λεπτά τε τὰ οὖρα ὑφίετο. 21. Καὶ τῆς ἐμφύτου πολλή τις κατηγορεῖτο ἀτονία δυνάμεως.

22. Ὅτε δ' αὖ κρατεῖν ἤδη τῆς ὕλης ἤρξατο εὐόριστον αὐτὴν ποιοῦσα ἢ τῷ τὴν ἐπιπαθεῖσαν ἀμβλυνθῆναι νόθον ποιότητα ἢ τῷ τὴν λυποῦσαν ὕλην ὀλιγωθῆναι. 23. Ἀναταράττεται μὲν ἤδη τὸ περιλειφθὲν τῆς ὕλης καὶ παχύνεται μετρίαν τινὰ λαμβάνον τὴν ἐπὶ τὰ κρείττω ῥοπήν, ἀρχὴν δὲ ἤδη πέψεως ὑποδείκνυσι. 24. Τῶν γὰρ ἐξ ἀρχῆς λεπτῶν φαινομένων οὔρων ἀλλὰ μὴ διά τινα ψιλὴν δυσκρασίαν, οὐκ ἂν ἡ ἐπὶ τὸ σύμμετρον ἀποδοθείη μεταβολή, μὴ πρότερον αὐτοῖς ἐπιγεγονότος πάχους. 25. Ἐκεῖνα μὲν γάρ, ὡς ἥ πεῖρά τε καὶ ὁ λόγος ἔδειξε, μεγάλην τινὰ τὴν ἀτονίαν κατηγορεῖ τῆς φύσεως καὶ μᾶλλον ὅσον ἢ μετὰ φαυλοτέρων χρωμάτων. 26. Τά δέ γε παχέα μάχην τινὰ τῆς φύσεως καὶ ἀγῶνα πειρωμένης ὥσπερ ἐπικρατῆσαι τῆς ὕλης καὶ ἤδη ἴσως ἐπικρατούσης, εἰ μή που καὶ αὐτοῖς τὰ πάχη ἄμετρα διαφαίνηται. ἐνταῦθα γὰρ εἰκὸς ὑφ' ὕλης ἐπικρατουμένην τὴν φύσιν τοσαύτης καταβεβλῆσθαι. 27. Ἐπεὶ δέ τινας εἰκὸς ἀντιλέγοντας φάσκειν, ὡς εἰ τὰ λεπτὰ ἐσχάτης πέφυκεν ἀπεψίας, τὰ δὲ σύμμετρα ἀρίστης πέψεως, ἔδει τὰ ὑπόλεπτα ἀλλὰ τὰ μὴ παχέα φαίνεσθαι τῆς ἐγχειρήσεως τῆς φύσεως σύμβολα. 28. Ῥητέον τοίνυν καὶ πρὸς ἐκείνους τὰ δέοντα καὶ τὰς ἐπὶ ταῖς συστάσεσι νομιζομένας ἀνακαλυπτέον αἰτίας. 29. Ἐπεὶ τοίνυν τῶν ὑπὸ νόσου κεκρατημένων ἀνθρώπων οἱ μὲν διὰ ψιλήν τινα ἐπιπαθεῖσαν δυσκρασίαν πάσχουσιν, οἱ δ' αὖ δι' οἱασδήτινος ὕλης πλεονασμὸν τοῖς μὲν διά τινα δυσκρασίαν πάσχουσιν, ὥς γε εἴρηται ἤδη, τὰ λεπτὰ μᾶλλον ἐπιφαίνεται τῶν οὔρων. 30. Τοῖς δ' αὖ διά τινα πλεονασθεῖσαν ὕλην πλέον τοῦ δέοντος, ταῖς μὲν ἀρχαῖς καὶ ὧδε τῶν νοσημάτων τὸ πλέον τὰ λεπτά, ἃ δὴ καὶ προϊούσης τῆς νόσου παχύνεται, ἐνίοτε δὲ καὶ ἐκ πρώτης τοῦ λόγου ἀφετηρίας παχέα φαίνεται. 31. Ῥητέον οὖν ἐφ' ἑκάστῳ τούτων κατὰ τὴν ὁμολογίαν τὰ δέοντα. τῶν τοίνυν ἐπὶ ψιλὴν δυσκρασίαν καμόντων τὰ οὖρα πάνυ λεπτὰ διαφαίνεται τῆς οἱασδήτινος ἐπικρατούσης δυσκρασίας, ἧττον δ' αὖ λεπτὰ διαφαίνεται, ἀπομαχομένης ἔτι τῆς φύσεως, ὥσπερ δῆτα καὶ σύμμετρα κατακρατούσης τῆς ὕλης, ἀλλὰ τὰ μὲν τούτων

διὰ καταβολὴν ἐσχάτην τῆς φύσεως οὐκ ἐξικνουμένης τὰ ἑαυτῆς ἐργάζεσθαι καὶ λείπεσθαι μικροῦ δεῖν τὴν ὕλην ἀνενέργητον. **32.** Τὰ δ' αὖ διὰ βραχείαν αὐτῆς ἀνάρρωσιν ἐπιχειρούσης ἤδη, ἐκεῖνα δὲ δι' ἐπικράτειαν μηδενός ποθεν ἐμποδὼν τυγχάνοντος, συμμαρτυρήσει δὲ καὶ τῷ λόγῳ μεταβαλλόμενα τὰ χρώματα. **33.** Καὶ διὰ τοιαύτας μὲν αἰτίας τῶν ἐπὶ ψιλῇ ἑαλωκότων δυσκρασίᾳ φαίνεται λεπτά τε καὶ ὑπόλεπτα τὰ οὖρα· ἐπὶ δὲ τῶν διά τινας χυμοὺς πλεονάσαντας οὐχ ὑγιῶς ἐχόντων ταῖς μὲν ἀρχαῖς ἔτι λεπτὰ τὰ οὖρα φαίνεται, μήπω ἐπιχειρούσης τῆς φύσεως, ἅτε δὴ ὠμοῦ τοῦ πάθους ἔτι τυγχάνοντος. καθόσον δ' ἂν ᾖ τὰ οὖρα λεπτὰ καὶ ἡ ὠμότης καταστοχαζομένων συνάγεται. **34.** Ὁπόταν οὖν ὠμότης ᾖ τοσαύτη τῆς ὕλης, οὐδέν τι διαδίδοται ταύτης πρὸς ἔκκρισιν ἐπεχούσης μὲν τῆς καθεκτικῆς δυνάμεως, ταύτην ἔτι πέψιν δ' ἐπιθήσειν πειρωμένης τῆς φυσικῆς ὡς οἷόν τε δυνάμεως. **35.** Ὁπόταν οὖν τοῦθ' οὕτως ἔχῃ καὶ μήθ' ἡ φύσις ἐξικνεῖται πέττειν τὴν ὕλην, μήθ' ἡ τροφὴ καὶ πόσις ἡ χορηγουμένη θύραθεν μέτροις πέψεως ἐξετάζεται, τῆς φυσικῆς δυνάμεως ἀπομαχομένης πρὸς μείζονα, λεπτὰ μὲν διὰ τοῦτο, οὐχὶ παχέα δ' αὖ, δι' ἐκεῖνο τὰ οὖρα φαίνεται. **36.** Ἀλλ' ἐπειδάν, τῆς φύσεως τῆς ὕλης ἐπικρατούσης, τὰ ὠμὰ γοῦν πέττηται, καὶ μάλιστα καὶ διὰ γαστρὸς καὶ οὔρων χωρεῖν μέλλει, ἤδη καὶ τὰ οὖρα δείκνυται κεκτημένα πάχος οὐ μέτριον. **37.** Ὑποβιβαζομένης γὰρ τῆς ὕλης ὡς πρὸς ἔξοδον τῆς περιττῆς δι' ἐπικράτειάν τινα τῆς πεττικῆς δυνάμεως, καὶ ταῦτα δείκνυται κτησάμενα πάχος, ὥστε καὶ πολλοί τινες ἐντεῦθεν τὴν ἐπὶ τὰ κάτω ῥοπὴν στοχαζόμενοι τῶν περιττῶν καὶ τῆς γαστρὸς διαχωρήσεις οὐ μετρίας προέφασαν. **38.** Ἀλλὰ τοῦτο μὲν τοῦ προγνωστικοῦ μέρους· κἀκεῖσε δεῖ τηρεῖσθαι· ἡμεῖς δὲ κἀκ τῶν προδήλων ἐπιθήσομεν καὶ τόδ' εἰς παράστασιν. **39.** Εἰώθεσαν ἐν τῇ τοῦ σώματος ἐπιφανείᾳ ὄγκοι τινὲς διάφοροι γίνεσθαι. **40.** Τούτων οἱ μὲν οὐδέ ποτέ τι πῦον ἤ τι παραπλήσιον ὑγρὸν ὑφ' ἑαυτοὺς ἔχουσιν, ὥσθ' ὁσάκις ἂν αὐτοὺς ἐπιδιέλῃς, σάρκας εὕρῃς ἀλλοκότους τυγχάνοντας. **41.** Οἱ δ' ἕτεροι ἐπισπασάμενοι πρὸς ἑαυτοὺς ἀθρόαν ὕλην,

τῷ χρόνῳ πέττουσί τε καὶ ἀλλοιοῦσιν εἰς πύου εἶδος, εἶθ' οὕτως εἴτ' αὐτομάτως εἴτε καὶ τέχνῃ τὸ περιττὸν τοῦ πύου κενώσαντες, πρὸς τὸ κατὰ φύσιν ἐπανίεσαν αὖθις. 42. Ἀλλὰ τούτους μὲν ταῖς ἀρχαῖς διαιρῶν, ἐπεὶ τὸ πάθος ἔτι ὠμόν, οὐδὲν ἂν ὑγρὸν ἐξέλῃς, εἰ μὴ τὸ φυσικῶς τοῖς μέλεσι κατεσπαρμένον αἷμα· ἐν ταῖς ἀρχαῖς δ' αὖ διελὼν τῶν πέψεων ὕφαιμον ὄψει πῦον. 43. Ἂν δὲ κἂν ταῖς ἀκμαῖς διατηρήσας ἄτμητον τὸν ὄγκον, εἶθ' οὕτως ἐπιδιέλῃς, ἐπιταθείσης ἤδη τῆς πέψεως, τὸ πῦον ὄψει ἀκραιφνὲς καὶ πεπεμμένον ῥέον. 44. Ταῦτά σε δεῖ τοῖς οὔροις παραβολήν, ὦ βέλτιστε. κἀκείνοις γὰρ ὠμοῦ μὲν ἔτι τοῦ πάθους τυγχάνοντος, οὐδέν τι τοῖς οὔροις καὶ ταῖς λοιπαῖς ἐκκρίσεσι ἀποδίδοται, βραχὺ δέ τι ἐνακμάζοντος· ὁπόταν δ' ἤδη καὶ ἡ ἀκμὴ παρῇ, πέψις μὲν τέλεια ταῖς ὕλαις γίνεται, πάχος δ' ἤδη τὰ οὖρα δέχεται, τὴν ἐπὶ τὰ κάτω ῥοπὴν λαβούσης τῆς ὕλης. 45. Ἀεὶ γάρ τοι τῶν ἐμπλεόντων ὁποιωνδήτινων χυμῶν γαστρί τε καὶ ἐντέροις καί που τοῖς τοῦ ἥπατος κοίλοις, σύμβολα τῶν οὔρων πέφυκε τὰ παχέα. 46. Ὁπότε μέντοι ταῦτα σημαίνει ἔκκρισιν τῆς γαστρὸς, ὁπότε δέ γ' οὐ σημαίνει, ὁ περὶ προγνώσεως ἀποδώσει λόγος. 47. Εἰ συνελόντα δ' ὧδέ με δεῖ φάναι, τὰ μὲν λεπτότατα τῶν οὔρων ἐσχάτην τινὰ καὶ τὴν ἀπεψίαν κατηγορεῖ τῆς φύσεως, ἐπὶ μείζοσι πλημμελήμασι τῆς ἐμφύτου θερμότητος, τὰ δὲ παχυνόμενα καὶ τοιαῦτα μένοντα ἢ καὶ καθιστάμενα ἐπιχειρεῖν μὲν ἤδη τὰ πρότερως τὴν ἔμφυτον τῇ πέψει θερμότητα, ἐπικρατεῖν δέ πως τὰ δεύτερα, μὴ μέντοι γ' ἔτι ἐξικνεῖσθαι πέψεως ὁλοκλήρου, εἶθ' ὑπὸ ποσότητος ἢ ποιότητος τῶν χυμῶν, εἶθ' ὑπὸ οἰκείας ἀμαυρουμένην χαυνότητος. 48. Ἐπεὶ δὲ καὶ δι' ἐμφράξεις εἴρηται λεπτὰ δὴ φαίνεσθαι τὰ οὖρα ἐξιόντα, καὶ τὰς ἐπὶ τούτοις ἐπιθετέον τῷ λόγῳ νομιζομένας αἰτίας. 49. Ὅταν τοίνυν ἤτοι περὶ νεφροὺς καὶ τὰ λοιπὰ τῶν οὐρητικῶν ἀγγείων ἢ περί τινα τῶν λοιπῶν μορίων τῶν ἐνδεχομένων ταῦτ' ἀπείργειν σύμμετρα φέρεσθαι, ἔμφραξίς τις ἀξιόλογος γένηται ὑφ' οἱασδήτινος διαθέσεως, τῇ στενοχωρίᾳ διολιζόμενα τὰ οὖρα, ὡς διὰ τρυγοίπου ἔξεισιν ἱκανῶς λεπτυνθέντα, καὶ οὐκ ἂν δόξειεν

ἀπεοικός, ὅπου γε κἀπὶ τῶν ὁσημέραι τοῖς πολλοῖς γινομένων ἐστὶν ἰδεῖν. 50. Ὁπόταν γὰρ δή τινες ἰλυώδη καὶ παχὺν οἶνον ἔχωσι, τοῦτον ἐν τρυγοίπῳ διολίσαντες πολλάκις, ἱκανῶς ἀπελέπτυναν τὸ πλέον ἀφῃρηκότες τοῦ πάχους τῇ δωλίσει, ὥστε καὶ διαφανέστατον αὐτὸν γένεσθαι. κἀπὶ τῶν οὔρων τοίνυν, τοίως τότε δεῖ συλλογίζεσθαι ὥσθ' ἃ ἂν συμβαίη δι' οἱασδήτινας ἐμφράξεις λεπτὰ δήπουθεν φαίνεσθαι, τὰ ἐμφράττοντα μᾶλλον ἄν τις αἰτιάσαι τοὺς πόρους ἢ τὴν τῆς πεπτικῆς δυνάμεως ἀρρωστίαν. 51. Ἀλλ' ὁ μὲν περὶ πέψεώς τε καὶ ἀπεψίας καὶ προσέτι ὠμότητος λόγος ἱκανῶς ῥηθεὶς ὧδέ πη κείσθω καὶ διὰ τούτων ἴστω πᾶς τις περὶ τὰ τοιαῦτα σπουδάζων, ὡς αἱ μὲν τῶν συστάσεων πέψεσιν ἕπονται τῶν χυμῶν, αἱ δ' ἀπεψίαις, ἐκεῖναι δ' αὖ ὠμότησι. 52. Νῦν δὲ προσήκει φάναι περὶ αἰτίας τῶν ἐν τοῖς οὔροις παρυφισταμένων ὥσπερ οὖν ἐπὶ τῆς κατὰ τὴν γαστέρα καὶ τὰ σιμὰ τοῦ ἥπατος καὶ τῶν προσεχῶν ἀξιολόγων ἀγγείων πέψεως καὶ ἀπεψίας αἱ τῶν χυμάτων σύμβολα συστάσεις μᾶλλον πεφύκασιν, οὕτω δὴ κἀπὶ τῆς ἐν τῷ φλεβώδει γένει οὕτω καλουμένῳ πέψεως οἴεσθαι δεῖν τὰ παρυφιστάμενα· ῥητέον τοίνυν κἀπὶ τούτων. 53. Πρῶτον μὲν περὶ τῶν συναναφαινομένων τοῖς παρυφισταμένοις χρωμάτων καὶ τὰς ἐπ' αὐτοῖς νομιζομένας ἀποδοτέον αἰτίας, εἶθ' οὕτως καὶ περὶ συστάσεώς τε καὶ τῆς τοπικῆς μεταβολῆς καὶ ὅσα ἐπὶ τούτοις φαίνεται.

### Κεφ. ιδ'. Περὶ αἰτίας τῶν λευκῶν παρυφισταμένων.

1. Λευκὰ τοίνυν μετρίως ὄντα καὶ λεῖα καὶ ὁμαλὰ τὰ παρυφιστάμενα ὑγιᾶ τὴν ἐν τῇ τρίτῃ πέψει δύναμιν παριστᾷ. 2. Καὶ γὰρ ὥσπερ ἐπὶ τοῦ ἀκριβῶς πεφθέντος αἵματος περιήθημα ὑπόπυρρόν τε καὶ ὑπόξανθον φαίνεται, ἐνδέον δηλονότι τοῦ χρώσαντος αὐτὸν χυμοῦ κατὰ χροίαν, οὕτω δεῖ σκοπεῖν κἀπὶ τῆς ἐπὶ τῷ φλεβώδει γένει πέψεως. 3. Ἐπειδὴ γὰρ αἷμα μὲν οὐκ ἀκριβὲς ἀναδοθείσης τε καὶ ἀλλοιωθείσης περὶ αὐτὰ τὰ κοῖλα τοῦ ἥπατος τῆς χυλοποιηθείσης ἐν γαστρὶ τροφῆς γίνεται, ἀκραιφνὲς δ' αὖ ἀλλοιωθέντος τούτου καὶ τελειωθέντος περὶ τὸ φλεβῶδες γένος, τὸ μὲν ἐκεῖσε περιττὸν καὶ ἀχρεῖον οὖρον

οἶδεν ὁ λόγος, τὸ δ' αὖ ἐνταῦθα παρυφιστάμενον ἐν τοῖς οὔροις ἀπέδειξεν, ὥσπερ δῆτα καὶ ἐπὶ τῆς ἐν γαστρί τε καὶ ἐντέροις πέψεως τὰ διαχωρούμενα πέφυκε σύμβολα, καὶ δὴ πρὸς τὸ λευκὸν ἤδη χρῶμα τοῦ ἀκριβοῦς κεχωρηκότος πύου διὰ τὴν συμμετρίαν τῆς πέψεως. 4. Ἐπὶ τούτῳ γὰρ οἶδεν αἷμα μεταβαλλόμενον μεθίστασθαι τοῦ χρώματος νόμοις ἀλλοιούμενον καὶ μεταβαλλόμενον νόμῳ φύσεως, συμμαρτυρήσει δὲ καὶ γάλα καὶ γονὴ τῷ λόγῳ. 5. Ἐκεῖθεν γὰρ καὶ ταῦτα μεταβληθέντα τοιαῦτα φαίνεται καὶ τὰ παρυφιστάμενα ἄρα τὴν ἀναλογίαν σώζοντα πρὸς τὰ τοιαῦτα, ὑγιοῦς ἂν εἴη σύμβολα πέψεως. 6. Δέδεικται γὰρ ταῦτα τοῦ ἀκριβῶς πεφθέντος αἵματος ἐν τῷ φλεβώδει γένει περιττώματα τελεῖν· ὅσον γὰρ ἂν τύχῃ μὴ μεταμειφθὲν εἰς κρείττω μεταβολὴν καὶ ἀλλοίωσιν ὥσπερ ἐκτραπὲν εἰς τοῦτο μεταβάλλεται τὸ εἶδος ὑπὸ τῇ φυσικῇ κρατούσῃ δυνάμει. 7. Διὰ ταῦτα τοίνυν λευκὸν ἂν δικαίως ὀφθείη τε καὶ ῥηθείη τὸ παρυφιστάμενον, οὐ μὴν ἐπιτεταγμένην ἔχον γε τὴν λευκότητα, ὅτι γε μηδὲ κατὰ πῦον μεταβέβληται. 8. Ἡ γὰρ ἂν καὶ τὴν αὐτοῦ σύστασιν ἀπειληφὸς ἦν, καὶ τοιοῦτος μὲν ἂν ὁ λόγος τῷ κατὰ φύσιν ἀποδοθείη χρώματι. 9. Ὅσα δὲ ἐπιτέταται εἰς λευκότητα φλεγματώδων χυμῶν μᾶλλον ἔγγονα πέφυκεν ἢ αἵματος ἀτελοῦς εἰς τὸ ἀνάλογον τῷ πύῳ μεταβεβλημένου ἐπικρατείᾳ τῆς ἀλλοιωτικῆς δυνάμεως.

### *Κεφ. ιε'. Περὶ αἰτίας τῶν ὑπώχρων καὶ ὠχρῶν καὶ χολώδων παρυφισταμένων.*

1. Ὅσοις δέ τοι ὕπωχρα καὶ ὠχρὰ καὶ χολώδη φαίνεται τὰ χρώματα διὰ τοιαύτας ἂν αἰτίας τούτοις ὀφθείη, ὁπόταν τις τοιοῦτος πλεονάσας χυμὸς ἤτοι τοῦ αἵματος αὐτοῦ διαφθαρέντος εἰς χολώδη τινὰ καὶ ἀλλόκοτον ποιότητα ἢ διὰ πλείω προσφορὰν τροφῆς ἰδίως αὐτὴν γεννώσης ἢ διὰ τοιούτους χυμοὺς ἐντὸς ἀκμάσαντας ἢ δι' οἱανδήτινα παραπλησίαν διάθεσίν τε καὶ δίαιταν τὰ αὐτὰ τούτοις ποιοῦσαν, μὴ ῥᾳδίως δ' ἡ φύσις ἔχῃ ἀποδιωθεῖσθαι πᾶσαν τὴν τῶν τοιούτων διαφθορὰν χυμῶν ἤτοι τῷ χρόνῳ καμοῦσα ἢ τῷ πλήθει νικηθεῖσα συναναδίδοται μὲν ὁ τοι-

*οὗτος τῇ τρίτῃ πέψει χυμὸς χολώδης. 2. Συμφθαρεὶς δὲ καὶ οὗτος τῷ αἵματι καὶ συναναδοθείς, ἐπὶ τῷ φλεβώδει γένει, ἀποκρουσθεὶς δ' ὅσον οἷόν τε ἐκεῖθεν ἐν τοῖς οὔροις τὴν ἐπικρατοῦσαν ἐκεῖσε τῶν χυμῶν ποιότητα τοῖς παρυφισταμένοις δηλοῖ. 3. Ἐκ γὰρ τῶν ἐκκρινομένων καὶ τὰ προσλαμβανόμενα δοκιμάζεται, ὥστε δεῖ διὰ πάντων τούτων ἰόντα τὸν ἐπόπτην τῆς φύσεως μέτρον χρωμάτων τε καὶ συστάσεων, ἔτι τε παρυφισταμένων καὶ τὸν ἐπὶ τούτοις καθ' ἕκαστον ἐξετάζοντα καὶ τὰς ἀναλογίας ἀναδοῦντα οὕτω τὰς ἀποφάσεις ποιεῖσθαι καὶ μέτρια ἂν ἴσως οὕτω τις ποιῶν οὐ σφαλοίη οἶμαι τοῦ δέοντος.*

### *Κεφ. ιϛ΄. Περὶ ὑπερύθρων καὶ ἐρυθρῶν καὶ ὑφαίμων παρυφισταμένων.*

*1. Περὶ δὲ ὑπερύθρων τε καὶ ἐρυθρῶν καὶ προσέτι ὑφαίμων παρυφισταμένων τοσαῦτά ἐστιν εἰπεῖν, ὅσα καὶ μὴ διορισαμένων ἀπ' αὐτῆς μαθεῖν ἐστι τῆς αἰσθήσεως. 2. Ἐπειδὰν γὰρ ὁ αἱματικὸς ἀναδοθεὶς οὕτω χυμὸς ἐπὶ τὴν κρείττω πέψιν, ὅσον ἂν δόξαν μὴ προσληπτέον, ἀτυχήσῃ τῆς κατὰ φύσιν μεταβολῆς τῷ μὴ κρατεῖσθαι ἤτοι διὰ πλῆθος ὑπερβάλλον τὸ σύμμετρον ἢ τῷ τὴν καθεκτικὴν ἐκεῖσε δύναμιν ἀτονήσασαν καὶ τοὺς βελτίστους τῶν χυμῶν ἀπολύειν, τὰ τοιαῦτα φαίνεται παρυφιστάμενα. 3. Ἐπικρατούσης μὲν γὰρ τῆς ἐκεῖσε δυνάμεως, ῥᾷστ' ἂν πάντα ἀλλοιωθείη μεταβληθέντα, κατά τι δὲ πεπονθυίας καὶ τὰ παρυφιστάμενα παρατραπέντα τοῦ ὑγιοῦς φαίνεται.*

### *Κεφ. ιζ΄. Περὶ αἰτίας ὀρφνωδῶν καὶ μελάνων οὔρων.*

*1. Ὀρφνώδη δέ γε μὴν καὶ πελιδνὰ καὶ μέλανα διαφαινόμενα ἤτοι διὰ νέκρωσιν τῆς ζωτικῆς δυνάμεως — εἰς τοιοῦτο γὰρ εἶδος ὁ νεκρωθεὶς χυμὸς μεταβάλλεται — ἢ διὰ τὸν μέλανα χυμὸν ἐκεῖσέ ποθεν ἀναδραμόντα ἢ γεννηθέντα, εἶθ' οὕτως καὶ τοῖς οὔροις παρυφίστασθαι παραρρυέντα ἢ διὰ νεκρωθέν τε καὶ μεταβληθὲν αἷμα καὶ τοῖς οὔροις συνδιαδοθέν. 2. Ὁπόταν γὰρ ἤτοι συναναδοθεὶς τῷ αἵματι ὁ μελαγχολικὸς οὗτος χυμὸς τῷ τὴν ἀποκριτικὴν ἀτονῆσαι δύναμιν μέχρι καὶ τῆς τρίτης χω-*

ρήσει πέψεως, ἐκεῖθεν δ' ἀποκρουσθῇ ζωπύρου ἔτι τῆς ζωτικῆς δυνάμεως ὄντος, συνανακραθεὶς τῷ παρυφισταμένῳ τοῦτο χρώσῃ. 3. Μέτριος μὲν ὢν φαιά τε καὶ πελιδνὰ ὑποδείκνυσι χρώματα, μέλανα δ' αὖ εἴ γε τῇ ποιότητι καὶ τῷ πλήθει ἐπιδοθείη καὶ οὕτω μὲν ἂν ὁ μελαγχολικὸς χυμὸς ἀναδοθεὶς καὶ διὰ τοιαύτην ἀποδοθεὶς αἰτίαν φαίνεται, ἔστι γε μὴν ὅτε, τοῦ ἀναδιδομένου αἵματος μελαγχολικοῦ τυγχάνοντος, ἤτοι τῷ ἐκ τοιοῦτον χυμὸν γεννώσης τροφῆς ἀπαρτίζεσθαι ἢ τῷ τὴν ξανθὴν χολὴν καὶ αὐτὸ τὸ αἷμα εἰς τοιοῦτον χυμὸν τῷ χρόνῳ μεταβεβλῆσθαι ὑφ' οἱασδήτινος ἑτέρας αἰτίας οἶδε. 4. Καὶ γὰρ ὅ τε λόγος καὶ ἡ πεῖρα τοῦτο προσλαμβάνεσθαι μὲν τούτου ὅσον ἀκραιφνὲς τῇ τρίτῃ πέψει, τὸ δὲ μεταβεβλημένον ἤδη πρὸς χολὴν μέλαιναν ἀποκρίνεσθαι τῇ ἀποκριτικῇ δυνάμει προσεπικείσθω δὲ καὶ τῷδε τῷ λόγῳ. 5. Ἐπειδὰν γὰρ τοῦ αἵματος νεκρωθέντος καὶ πρὸς μέλαν χρῶμα κεχωρηκότος ἤτοι διὰ βασάνους καὶ μάστιγας ἐπιτεθείσας ἢ διὰ τὴν τῆς δυνάμεως πάρεσίν τε καὶ νέκρωσιν, ἡ φύσις τοῦθ' ὡς περιττὸν ἐκεῖθεν ἐξοχετεύει, τότε δὴ τότε καὶ τὰ οὖρα τὰ τοιαῦτα συναποκριθέντα παρυφιστάμενα πλουτεῖ. 6. Καὶ ὁ μὲν περὶ αἰτίας χρωμάτων λόγος ἐπὶ τοῖς παρυφισταμένοις ὧδέ πῃ κείσθω, τἀναγκαῖα μόνον ἡμῶν εἰρηκότων· περὶ δὲ ποσότητος παρυφισταμένων νῦν ἂν εἴη δίκαιον φάναι, εἶθ' οὕτω καὶ περὶ τῶν λοιπῶν ἐπ' αὐτοῖς ζητημάτων.

### Κεφ. ιη'. Περὶ τῆς κατὰ τὴν ποσότητα τῶν παρυφισταμένων αἰτίας.

1. Τὰ τοίνυν πλείω τῶν συμμέτρων κατὰ τὸ ποσὸν παρυφιστάμενα πλείω μὲν ὑποφαίνει τὴν τροφὴν τῷ σώματι ἀναδιδόσθαι, ῥώμην δέ τινα τῇ ἀλλοιωτικῇ παρεῖναι δυνάμει. 2. Ὁπόταν γὰρ ὕλης μὲν δεούσης ἡ φύσις ἐπιτύχῃ, ῥώμη δ' αὐτῇ παρῇ, οὐχ ὑφίεται τῆς ἐπὶ πλέον θρέψεως, ἀλλ' ἀεὶ μὲν πρὸς φύσιν τε καὶ ἐξομοίωσιν ἐργάζεται, ἀεὶ δ' ἕπεται τῇ ἀναλώσει ταύτῃ καὶ περιττωμάτων πλῆθος οὐκ ἀγεννές. 3. Οὐ γάρ ἐστιν οὐκ ἔστιν ἐφ' ὁποιασοῦν ἀναδιδομένης τῷ σώματι τροφῆς μὴ καὶ περιττώματι ἀποκρίνεσθαι. 4. Τῆς τοίνυν κατεργασίας τῶν

*χυμῶν καὶ τὰ περιττώματα πλείω τελεῖν ἀνάγκη.* 5. *Οὐ δεῖ δὲ λανθάνειν, ὅτι καὶ τῆς ἀλλοιωτικῆς τε καὶ πεπτικῆς ταύτης δυνάμεως ὑφ' οἱασδήτινος ἀμαυρωθείσης αἰτίας πλείω τὰ παχυφιστάμενα φέρεται.* 6. *Ἀλλὰ ταῦτα μὲν ἤδη πρὸς πάχος χωρεῖ τὴν ἀκριβῆ πέψιν ἐκπεφευγότα, περὶ ὧν ἐροῦμεν μετ' οὐ πολύ, ἐν οἷς ἂν περὶ συστάσεως παρυφισταμένων φῶμεν.* 7. *Νυνὶ δὲ περὶ ὀλιγότητος τῶν παρυφισταμένων ῥητέον. καὶ ταῦτα γὰρ εἴρηται ἐπί τε ἐνδείαις καὶ γυμνασίοις, ἐμφράξεσί τε καὶ βραχυπεψίαις γίνεσθαι.* 8. *Τῆς τοίνυν θρεπτικῆς δυνάμεως ὕλης μὲν ἀρκούσης ἀπορούσης, τὰ κρείττω δὲ ταύτης προσλαμβανομένης τὰ χείρω ἀπωθοῦνται, περιττὸν ὂν εἰ καὶ ταῦτα προσλαμβάνοιτο.* 9. *Ἐπειδὰν μέντοι προσηκούσης τε καὶ ἀκραιφνοῦς δι' ὅλου λείπηται τροφῆς, καὶ τὰ παρυφιστάμενα τοῦ κατὰ ἀναλογίαν λείπεται ποσοῦ· ἔν γε μὴν τοῖς πολλοῖς γυμναζομένοις κἂν ἡ τροπὴ πλείων ᾖ, ἀλλ' οὖν ταῦτ' ἐλάττω φαίνεται τῷ κατειργάσθαι τε καὶ λελεπτύνθαι τὰ τοιαῦτα περιττώματα καὶ δι' ἀδήλου τῆς διαπνοῆς χωρῆσαι, ὥστε βραχύ τι ταύτης λείπεσθαι στενοχωρηθὲν τὴν ἔξοδον καὶ τοῖς οὔροις συνδιαδοθέν.* 10. *Οὐ καινὸν δ' ἂν εἴη, εἰ τῶν πόρων ἐμφραχθέντων τὰ παρυφιστάμενα μείω φαίνεται καὶ λεπτότερα ἀπολαμβανομένου τῇ στενοχωρίᾳ τοῦ παχυτέρου.* 11. *Κἀνταῦθα μὲν οὖν ὁ περὶ ποσότητος παρυφισταμένων παυέσθω λόγος· λεκτέον δ' ἐφεξῆς καὶ περὶ συστάσεως δι' ἅστινας δηλονότι αἰτίας. λεπτά τε καὶ παχέα φαίνεται τὰ παρυφιστάμενα. οὕτω γὰρ ἀποδοθέντος τοῦ λόγου καὶ ἡ κατὰ συνθήκην τάξις ἀποδοθείη ἄν.*

*Κεφ. ιθ'. Περὶ τῆς κατὰ τὴν σύστασιν τῶν παρυφισταμένων αἰτίας, ἐν οἷς καὶ περὶ ὀροβοειδῶν καὶ πιτυρωδῶν καὶ πεταλωδῶν καὶ κριμνωδῶν παρυφισταμένων αἰτίας.*

1. *Τὰ μὲν οὖν λεπτὰ τῶν παρυφισταμένων ἀκραιφνῆ μὲν ὄντα καὶ μὴ ῥᾳδίως μετεωριζόμενα διακινουμένης τῆς ἀμίδος πολλὴν τὴν ἀτονίαν τὴν ἐπὶ τῇ τρίτῃ πέψει κατηγορεῖ τῆς φύσεως.* 2. *Εἰ γάρ τοι ἴσχυεν αὕτη, τάχ' ἂν τὴν σύμμετρον αὐτοῦ παρενέθηκεν σύστασιν. νυνὶ δ' οἷον*

τι περὶ τὴν πρώτην τε καὶ δευτέραν πέψιν ἀτυχήσασαν ἐπισυμβαίνει. 3. Ἐπεὶ μὲν γὰρ λεπτὰ καὶ κάθυγρα τὰ διαχωρούμενα, ὧδε δ' αὖ λευκά τε καὶ ὑδατώδη τὰ οὖρα τοιοῦτόν τι καὶ ἐπὶ τῇ τρίτῃ πέψει γίνεσθαι ἁμαρτηθείσῃ εἴωθε. 4. Τὰ γάρ τοι λεπτὰ τῶν παρυφισταμένων οὐκ εὐόριστα τῷ ἐμφύτῳ γέγονε μὴ κρατηθέντα θερμῷ. 5. Ἅ γε μὴν λεπτὰ φαίνεται δι' ὠμὸν χυμὸν λεπτυνθέντα, καθὼς κἀν τοῖς περὶ διαγνώσεως οὔρων ἔφθημεν εἰρηκότες, ὑπορρωννυμένης ἤδη τῆς ἐμφύτου γίνεται δυνάμεως, ἀπολεπτυνούσης καὶ σκεδαννυούσης ὅσον πάχος ὕλης περὶ τὰς φλέβας καθέστηκεν ἐξ ὠμοχυμίας. ταῦτα δὲ ὁσημέραι κἀπὶ τῶν μετεωρολογουμένων δείκνυται. 6. Καὶ γὰρ κἀκεῖσε τοῦ μὲν ἡλιακοῦ θερμοῦ κρατοῦντος ὅσον πάχος πέφυκεν νεφώδους οὐσίας, λεπτύνεταί τε καὶ διασκεδάννυται ἐξαερούμενον, κρατηθέντος δ' αὖ συνάγεταί τε καὶ παχύνεται καὶ πρὸς τούτοις τῇ πολλῇ μελαίνεται συμπιλήσει καὶ χείρω τοῖς ἐπὶ γῆς τὴν ἔφοδον ἀπειλεῖ. 7. Ἀρκέσει δ' ἂν τὸ παράδειγμα κἀπὶ τῶν παχέων παρυφισταμένων. τοῦ γάρ τοι ἐμφύτου θερμοῦ ἡττονηκότος καὶ μὴ ῥᾳδίως ἐντεῦθεν τῶν χυμῶν κρατουμένων τε καὶ λεπτυνομένων, τοῦτο γὰρ ἐπὶ τῶν χυμῶν θερμοῦ πέφυκεν ἴδιον, τοὺς μὲν λεπτοὺς καὶ οἷον ἀορίστους συνιστᾶν τε καὶ οἷον εὐορίστους ποιεῖν τῇ πέψει, τοὺς δ' ὠμούς τε καὶ παχεῖς ἀπολεπτύνειν τε καὶ πέττειν, τὸ πάχος ἐν τοῖς παρυφισταμένοις συμβαίνει φαίνεσθαι. 8. Ὅσα γὰρ τῶν ἀναδιδομένων μὴ φθάσῃ νικηθέντα τῇ πέψει δι' οἱουσδήτινας λόγους, ἤτοι πάμπαν λεπτὰ φαίνεται ἢ πάχος ἔχοντα ἐκπεφευγότα δηλονότι τὸ ἐπὶ τῇ πέψει σύμμετρον. 9. Ἃ δὲ τῆς φύσεως ἐκεῖσε τὰ περιττὰ ἀπωθουμένης λόγῳ κρίσεως πάχος ἔχοντα παρυφιστάμενα φαίνεται, διὰ ῥώμην μᾶλλον τῆς ἀποκριτικῆς δυνάμεως γίνεται, τὰ φαῦλα καὶ ἀρχεῖα πάνυ διωθουμένης ἐκεῖ που τὴν ὁρμὴν εἰληφότα. 10. Ἅ γε μὴν δι' ἀπόκρισιν πύου πάχος ἔχοντα παρυφιστάμενα φαίνεται, ὅπως μὲν ἂν διαγνωσθεῖεν, ὁ περὶ διαγνώσεως ἔσχε λόγος, τὴν δὲ αἰτίαν ὁ περὶ πέψεως ἀποδώσει. 11. Ὅσα μὲν γὰρ ἀκριβῶς πεφθέντα φαίνεται, τὴν σύμμετρον ἀπολαμβάνει κατὰ γένος σύστασιν, ὅσα δ' αὖ

ἁμαρτηθέντα τύχῃ, ἤτοι λεπτότερα ἢ παχύτερα δείκνυται, ἔνθεν τοι κἀπὶ τῶν πυοποιουμένων σύμμετρον ἂν δόξειε πῦον τὸ τῇ πέψει κρατησάσῃ γινόμενον, ὃ παχύτερον μὲν παντὸς παρυφισταμένου φαίνεται, λεπτότερον δ' αὖ πεπηγότος αἵματος. 12. Ἀλλὰ τὸν περὶ πύου λόγον καὶ ἄλλοτε ἂν τύχῃς μαθών, ὥσθ' οὗτος μὲν ἀφείσθω, μὴ πάνυ χρεὼν ὂν αὐτὸν εἰρῆσθαι· ἡμεῖς δ' ἐπεὶ περὶ συστάσεως τῶν ἐν οὔροις παρυφισταμένων τὸν λόγον ποιούμεθα, εἰκότως ἂν καὶ περὶ ὀροβοειδῶν καὶ πιτυροειδῶν, πεταλωδῶν τε καὶ κριμνωδῶν φαίημεν ὑποστάσεων. 13. Ὁποῖαι μὲν οὖν εἰσι τῷ εἴδει αὗται, ὁ περὶ διαφορᾶς οὔρων ἔσχε λόγος· ὅ,τι δὲ βούλονται, ἐν τοῖς περὶ διαγνώσεως εἴρηται. νυνὶ δὲ τὰς αἰτίας ἐπιθῶμεν τὸν λόγον ἀπαρτίζοντες πάντοθεν. 14. Ὁπόταν τοίνυν ἐπὶ τοσοῦτον τῆς σαρκὸς καθίκηται ὁ πυρετὸς ὡς ἤδη ταύτην ἀποκναίειν τε καὶ τήκειν τῆς πιμελῆς προαναλωθείσης ὑπὸ τῷ τῆς ἀμίδος ὑφιζάνει πυθμένι, ὅσον ἂν τύχῃ τῆς σαρκώδους δαπανηθὲν οὐσίας· οὐ γάρ τοι οἶδε τὸ τοιοῦτον μετεωρίζεσθαί τε καὶ ἀποπλανᾶσθαι ῥᾳδίως, καθάπερ ἐπὶ τῶν παραπλησίων τῷ εἴδει τούτῳ παρυφισταμένων συμβαίνειν εἴωθεν. 15. Ἀλλ' ἀεὶ τῷ πυθμένι προπέφυκε φυσικῷ τινι προσιζάνον τῷ βάρει. καὶ ὧδε μὲν ὅτι μέρους ἀδιαπλάστου καὶ παχυμέρους ὁ πυρετὸς καθίκετο, καὶ τὰς ὑποστάσεις τοιαύτας ἀπέδωκεν. 16. Ἐπί γε μὴν τῶν πιτυροειδῶν ὑποστάσεων, καί τι σχῆμα διασώζεται τοῖς παρυφισταμένοις, ἀφ' οὗ δὴ καὶ τοὔνομα γέγονεν· ἐπὰν γὰρ ἤδη καὶ τῶν στερεωτέρων ἅψηται τὸ πάθος τοῦ πυρετοῦ, ὥσπερ τινῶν ἀποσπωμένων τεμμαχίων ὑπ' ἀντιτύπων σωμάτων ταῦτα φαίνεται. 17. Τῶν γὰρ ὑπὸ πυρὸς λυομένων τὰ μὲν τηκόμενα λύεται, τὰ δ' αὖ θραύεταί τε καὶ διατέμνεται, ὅσα δηλονότι σκληρᾶς καὶ ἀποτόμου τετύχηκεν οὐσίας ὄντα καὶ καθόσον ἂν προΐηται σκληρότητος τὰ σώματα, καὶ τὰ τεμμάχια μείζω γίνεται ἀντιτυπήσαντα τὸ πρῶτον πρὸς τὴν τοῦ πυρὸς ἔνστασιν, ἐνδόντα δ' αὖθις νικηθέντα μᾶλλον τῶν ὑγρᾶς τινος κεκοινωνηκότων οὐσίας, ὥσπερ δῆτα ἐπί τε τῶν κραύρων ξύλων καὶ τῶν λίθων ὁσημέραι πάρεστι θεάσασθαι. 18. Ἀφίενται τε γὰρ τούτων

*καομένων οὐκ ὀλίγα τμήματα ἐκπυρρηνιζόμενα, ἄγε μὴν τηκόμενα λύεται, πιμελὴ δ' ἄρα τοῦτο καὶ σὰρξ στέατί τε καὶ κηρῷ καὶ τοῖς ἀναλογοῦσι παραβληθείη.* **19.** *Διὰ ταῦτά τοι καθόσον ἂν ὁ πυρετὸς στερεωτέρων ἅψηται σωμάτων, μείζω τε καὶ ἐπιδηλότερα τὰ διατεμνόμενα φαίνεται κόμματα καὶ τοῦτο μαθεῖν ἐστιν ἀπό τε τῶν πεταλωδῶν καὶ κριμνωδῶν ὑποστάσεων.* **20.** *Αὗται γὰρ ἐκπυρηνίσματά τινα τῶν στερεῶν μερῶν τοῦ σώματος καθεστήκασιν ὑφ' ἑκτικοῦ πυρετοῦ καομένων.* **21.** *Καὶ τοίνυν ὥσπερ συμμέτρῳ τε καὶ οἰκείῳ θερμῷ διεπλάττετό τε καὶ ἀπηρτίζετο ἕκαστον τούτων, οὕτω νόθῳ τε καὶ ἀμέτρῳ διασπᾶταί τε καὶ συντήκεται πυρετῷ.* **22.** *Καὶ τοῦ μὲν τὰ σώματα οὕτω πως καταδαπανᾶσθαι ὁ πυρετὸς ἂν εἴη καθικνούμενος τοῦ βάθους αἴτιος, τοῦ δὲ διάφορά τινα τὰ εἴδη τῶν τεμνομένων φαίνεσθαι παρὰ τῇ τῆς τηκομένης ὕλης διαφορᾷ συμβέβηκεν, ὥστ' ἔχεις καὶ τὸν τῶν πιτυροειδῶν καὶ πεταλωδῶν καὶ κριμνωδῶν ὑποστάσεων λόγον ἀρκοῦντα νοῦν ἔχουσι νομιζόμενον.*

### *Κεφ. κʹ. Περὶ τῶν συμμεμιγμένων ἤτοι ἀνομοιομερῶν παρυφισταμένων αἰτίας.*

**1.** *Οὐ δεῖ δὲ λανθάνειν, ὡς ἔσθ' ὅτε καὶ χυμῶν ὠμῶν συμπηχθέντων εἰς παραπλήσια εἴδη, ἔμφασίς τις τῶν ῥηθεισῶν ὑποστάσεων διαφαίνεται· οἷον γάρ τοι τοῖς ἐν τηγάνῳ ἑψομένοις συμβαίνειν εἴωθεν· ὀπτώμενα γὰρ ταῦτα συνίσταται· καθόσον δ' ἂν περιφλέγοιτο, καὶ μείω γίνεται, τοιοῦτόν τι δεῖ συλλογίζεσθαι.* **2.** *Καὶ καθόσον ἂν ᾖ μείω τὰ κόμματα καὶ τὸν πυρετὸν ἐπικρατέστερον τεκμαιρόμεθα.* **3.** *Ἐνίοτέ γε μὴν καὶ τοῖς ἐκτὸς τυγχάνουσι πυρετοῦ τοιαῦτα συναναφαίνεται τοῖς παρυφισταμένοις δυσκατεργάστου τινὸς χυμοῦ ἔγγονα καὶ ταῦτα μὲν τῷ χρόνῳ κατάφορα γεγονότα καὶ διαλύονται καθάπερ καὶ τοῖς οὔροις ἐνίοτε συνεπιφαίνονται τρίχες, ὧν τὰς διαγνώσεις ἐν οἰκείῳ τόπῳ παραδεδώκαμεν.* **4.** *Νῦν δὲ θέμις καὶ τὰς ἐπὶ τούτοις αἰτίας παραθεῖναι τῷ λόγῳ ἴσως οὐκ ἀχρείας ἀποβησομένας τοῖς περὶ τὰ τοιαῦτα σπουδάζουσιν.* **5.** *Ἐπειδὰν γάρ τινες ἐναπολειφθῶσι χυμοὶ περί τινας*

*πόρους καὶ μήτε τύχοιεν διαλυθέντες τε καὶ διαλεπτυνθέντες, μήτ' αὖ διουρηθέντες ταχέως, ἀλλὰ τῷ χρόνῳ περὶ τοὺς πόρους ἐνδιατρίψαντες, σύμπηξίν τινα καὶ πώρωσιν ἐπιλάβωσιν ὑφ' οἱασδήτινος θερμότητος εἰς τοιαῦτα εἴδη μεθίστανται, μήτε πόροι γεγονότες τελείως μήτε μὴν ἀκριβῶς χυμοὶ τυγχάνοντες, ἀλλὰ μᾶλλον ὄντες χυμοὶ πρὸς πόρον χωροῦντες.* 6. *Τἄλλα μὲν οὖν τῶν ἐοικότων ψήγμασι καὶ πιτύροις καὶ ὅ,τι ἂν ἕτερον φαίης εἰκάζων συσταῖεν ἂν καὶ κατὰ τὰ λοιπὰ μέρη τοῦ σώματος, ἄγε μὴν θριξὶν ἐοίκασιν ἐπὶ τοῖς ἀπὸ τῶν νεφρῶν εἰς κύστιν ἰοῦσιν πέφυκεν οὐρητικοῦ ἀγγείοις γίνεσθαι, καὶ καθόσον ἂν μήκους ἐν τοῖς ἐντὸς ἀγγείοις ἡ σύμπηξίς τε καὶ ὄπτησις γένηται τοῦ χυμοῦ καὶ αἱ οἷον τρίχες παρατέτανται καὶ πολλάκις τοιαῦτα ἐν ἀνθρώπων οὔροις ἑωρακὼς οὐ διήμαρτον τῆς τε διαγνώσεως καὶ προρρήσεως φάμενος μὴ καλῶς διατεθεῖσθαι τὸν ἄνθρωπον τοὺς νεφρούς.* 7. *Ἐκεῖνοί τε γὰρ τὸ πάθος ὥσπερ ἐλεγχθέντες ἀνωμολόγησαν κἀμοί τε τεθαρρηκότες τὴν θεράπειαν ἐπίστευον. ἀλλὰ τοῦτο μὲν ἄλλου τοῦ λόγου μέρος.* 8. *Ἡμεῖς δ' ἐπεὶ προὐθέμεθα τὰς ἐφ' ἑκάστῳ τῶν φαινομένων ἐν τοῖς οὔροις αἰτίας ἀποδιδόναι, οὕτω δὴ καὶ πεποιήκαμεν, τάς τε δηλονότι ἐπὶ τοῖς καθ' ἕκαστον τῶν σωμάτων ἀποδιδομένας αἰτίας, τάς τε ἐπὶ ταῖς συστάσεσι καὶ προσέτι τὰς ἐπὶ τοῖς τῶν παρυφισταμένων χρώμασι καὶ ποσότησι καὶ συστάσεσι παραθέντες τῷ λόγῳ.* 9. *Ἐπεὶ δὲ ἔδοξε μέτρον ἀρκοῦν ὁ λόγος ἀπολαβεῖν, ἐνταῦθα μὲν τοῦτον καταπαύσωμεν, ἵνα μὴ καὶ τοῖς σπουδάζουσιν ὑπὲρ τὸ μέτρον ἐκτεινόμενοι φαινοίμεθα.* 10. *Τὸ μὲν γὰρ ἐν βραχέσι λόγοις ἀπαρτίζειν πολλὰς οὕτω ἐννοίας βούλεσθαι, συντομίας τ' ἂν καὶ σπουδῆς οὐκ ἀκόμψου φαίη τις· τὸ δὲ παλιλλογεῖν ἐθέλειν καὶ παρεξιέναι ἐπ' ἀντιθέσεις τε καὶ φιλοτιμίας κενάς, εὐφυοῦς μὲν ἄν τις ἴσως θεῖτο τρόπου, πλὴν ἀλλ' οὐχὶ καὶ προσήκοντος ἀνδράσι σπουδαίοις καὶ βραχέσι λόγοις πολλὰς ὑποθέσεις συντιθέναι σπεύδουσι.* 11. *Καὶ ὁ μὲν περὶ τούτου λόγος ὧδέ πῃ κείσθω καὶ ἄλλοτέ ποτε ῥηθησόμενος· ἡμῖν δ' ὅσον λέλειπται μὴ τοῦ μέτρου συγχωρήσαντος τοῦ λόγου ἐν ἑτέρῳ προσγράψωμεν.* 12. *Κἄν τι δὲ*

*λείπῃ τῷ λόγῳ, ἐγὼ μὲν οἶμαι τοῖς καθολικοῖς ἐμπεριέχεσθαι τοῦτο λόγοις· εἰ δ', ὃ παθεῖν εἰκὸς ἀνθρώπους τυγχάνοντας, ὅπως ἐξευρὼν μὴ μεμφέσθω πάθος ἀνθρώπινον, ἀλλὰ προστιθέτω τὸ πορισθὲν εἰς τὴν τοῦ δέοντος πλήρωσιν.* 13. *Οὕτω γὰρ διὰ πλειόνων τὴν συνθήκην ἀπειληφὼς ὁ λόγος αὐτὸς μὲν ἀπολαύσοι ἂν τοῦ τέλειος εἶναι, τοῖς δὲ σπουδάζουσιν οὐκ ἀγεννὴς ἔσται μέθοδος.*

---

## *Ὁ Β' ΠΕΡΙ ΑΙΤΙΑΣ ΟΥΡΩΝ ΛΟΓΟΣ ΙΩΑΝΝΟΥ ΤΟΥ ΑΚΤΟΥΑΡΙΟΥ.*

---

### *Προοίμιον.*

1. *Οἷόν τι τοῖς φιλοθεάμοσι συμβαίνειν εἴωθε, ἐπειδὰν εἴς τινα περικαλλῆ εἰσίωσιν οἶκον — οὐ γὰρ τἀναγκαῖα μόνον αὐτοῖς ἐξετάζειν γίνεται, βάθρα δηλονότι καὶ στόας, ὑπανέχοντας κίονας καὶ ὄροφον καὶ ὅσα ἐπὶ τούτοις φαίνεται, ἀλλὰ καὶ εἴ τι προσαπεδόθη τῷ οἴκῳ καλλονῆς εὐπλάστου ἔκ τε διαφορᾶς σχημάτων καὶ γραφῶν καὶ διαφανοῦς καταστρώματος — τοιοῦτόν τι κἀμοὶ συμβέβηκεν οὐ μόνον περὶ τἀναγκαῖα τῇ τέχνῃ ἐσπουδακότι ἀλλὰ καὶ περὶ τὰ κάλλος οὐχ ἧττον ἢ βάσιν ἀσφαλῆ τοῖς ῥηθεῖσι παρεσχηκότα.* 2. *Ἔνθεν τοι δευτέρου λόγου τῇ περὶ αἰτίας οὔρων ἐδέησεν ὑποθέσει, ἵνα ὅπως ὁ ἐφ' ἑκάστοις τῶν ῥηθέντων ἐν ταῖς διαγνώσεσι λόγος καὶ τὴν ἀνήκουσαν ἀπανειληφὼς εἴη αἰτίαν.* 3. *Ἀλλὰ ὁ μὲν περὶ αἰτίας οὔρων λόγος πάλαι ποτ', ἴσθι, τοῖς σοφοῖς ἐσπούδασται, ἅτε τῇ φιλοσοφίᾳ προσκείμενον.* 4. *Νυνὶ δ' οὐκ οἶδα, τίσιν ἂν ἀσπαστὸς ὀφθείη τῶν κατὰ ἡμᾶς ἰατρῶν πάλαι τὸ περὶ φιλοσοφίαν φιλότιμον καταλύσασι καὶ μόλις τοῖς περὶ διαφορᾶς καὶ διαγνώσεως ἐπινενευκόσι λόγοις, ὥστε καὶ μέχρι τινὸς ἀνεβαλλόμην τὰς ἐπὶ τοῖς οὔροις ἐξευρημένας μοι αἰτίας ἐξαγγέλλειν, πάλαι παραλειφθείσας τῇ τῶν μετιόντων τὴν τέχνην ἀπραγμοσύνῃ.* 5. *Ἐπεὶ δὲ*

*πρὸς ἐμαυτὸν γεγονὼς τὸ μὲν ἀτελῆ τὸν λόγον ἀφεῖναι ῥαθυμίας τινὸς ἔκρινα, τὸ δὲ τὰ δέοντα προσγράψαι σπουδῆς τινος οὐκ ἀγεννοῦς, ἐπικεχείρηκα τοῖς περὶ αἰτίας λόγοις, θέμενος, πολλοῖς λυσιτελήσειν τὸν λόγον, ὅσοις ἄν τι δηλονότι φιλοτιμίας λόγος μετῇ. 6. Ταῦτ' ἄρα δίκαιον νομισθὲν τὸ προσγραφῆναι τῇ πραγματείᾳ τὸν περὶ αἰτίας οὔρων λόγον τὸ μὲν αὐτοῦ ἤδη λέλεκταί μοι, τὸ δ' αὖ ῥηθήσεται, δοίη δ' ὁ πάσης ἐπέκεινα αἰτίας καὶ τὰς ἐπὶ τοῖς λειπομένοις ἀσφαλῶς αἰτίας ἐπιθεῖναι, ἵνα τε ἡμῖν ὁ λόγος ῥᾴδιος προβαίη καὶ τοῖς ἐγκαλεῖν ἀεὶ τοῖς λόγοις σπουδάζουσι ἡ εἴσοδος ἀποκλεισθῇ τῆς νεμέσεως. 7. Ἐπεὶ τοίνυν τάς τε ἐπὶ τοῖς χρώμασι καὶ συστάσεσιν ἀποδεδώκαμεν αἰτίας καὶ προσέτι τὰς ἐπὶ τοῖς παρυφισταμένοις, οὐ μέντοι ἐπὶ τούτοις πᾶσι λεγομένοις ἀπεδόθησαν αἱ αἰτίαι — λέλειπται γὰρ ὅσα περὶ λειότητα καὶ ἀνωμαλίαν καὶ τὴν τοπικὴν θέσιν τοῦ παρυφισταμένου πέφυκε καὶ προσέτι ὅσα περὶ πομφόλυγας καὶ εἴ τι ἕτερον ἐπινήχεται τῇ τῶν οὔρων ἐπιφανείᾳ — προσῆκον ἂν εἴη ὧδέ ποθεν ἁψαμένῳ μοι καὶ τὰς περὶ τούτων ἀποδοῦναι αἰτίας, εἶθ' οὕτως δὲ καὶ περὶ τῶν ἑξῆς καθὼς ἂν ὁ λόγος προσήκων διασκευάσειεν. 8. Ἐπεὶ τοίνυν ἐν τοῖς κατὰ τὰ ἄλλα συμμέτροις παρυφισταμένοις τυγχάνουσι καὶ ἡ λειότης προσοῦσα, τὴν κατὰ φύσιν ὑπεσήμαινε πέψιν, κατά τι δὲ ἐννηλαγυῖαν καὶ τὴν τῆς πέψεως ἀποτυχίαν ἐδήλου. 9. Καὶ ἡ μὴ λειότης ἄρα, ἣν δὴ τραχύτητά τις ἂν φαίη τῷ ἀντιθετικῷ ὀνόματι, τῇ λειότητι ἀποτυχίαν ἄν τινα κατηγορήσῃ τῆς πέψεως φύσεώς τινος ἑτεροειδοῦς οὐσίας ἀνακοψάσης τὴν τοῦ παρυφισταμένου συνέχειαν, ὥσπερ δὴ τοῦ ἐναντίου τούτου, γλίσχρον δ' ἄν τις τοῦτο φαίη πολλὴν τὴν ἐκ τῆς παχυμεροῦς τε καὶ κολλώδους κατηγορήσει οὐσίαν, δι' ἣν καὶ πρὸς ἑαυτὰ συνέρχεται πυκνούμενα, ὅτε τοῦτο τύχῃ, τὰ παρυφιστάμενα ὥσπερ τις ὀπὸς τὰ οἷον διϊστάμενα προσεπιγλισχραίνουσα ἡ τοιαύτη διεφθορυῖα τῶν χυμῶν ὕλη καὶ τὸ μὲν γλίσχρον ἐντεῦθεν ἄν τις τοῦ παρυφισταμένου λογίσαιτο. 10. Νυνὶ δὲ ῥητέον περὶ τοῦ τραχέος καὶ τί τὸ διαιροῦν αὐτοῦ τὴν συνέχειαν. τάχα γὰρ ἐντεῦθεν καί τις ἕτερος ἀναφανείη λόγος οὐκ ἀγεννής.*

*Κεφ. α΄. Περὶ αἰτίας λείων καὶ τραχέων καὶ γλίσχρων παρυφισταμένων.*

1. Ἐπεὶ τοίνυν ἐν ταῖς ἀκριβέσι πέψεσιν οὐδέν τι μὴ κρατηθὲν φαίνεται — οἵ τε γὰρ χυμοὶ μὴ κρατηθέντες καὶ πεφθέντες ἀποχρώντως ἐκ τῶν κατὰ φύσιν ἐκκρίσεων ὑποφαίνονται, — τά τε νόθα καὶ διάφορα πνεύματα οὐδὲ τὴν ἀρχὴν λαμβάνουσι τῆς συστάσεως ὑπὸ τῆς φυσικῆς θερμότητος ἐκνικώμενα, δῆλον ἂν εἴη, ὡς κατά τι τούτων ἀποτυχούσης τῆς πέψεως οἵ τε χυμοὶ ἀπεπτηθέντες καὶ τὰ πνεύματα σύστασιν ἰδίαν ἀπειληφότα φανείη. 2. Ἀλλ' ὁ μὲν περὶ ὠμότητος καὶ ἀπεψίας λόγος τῶν χυμῶν πάλαι τῷ πρὸ τούτου λόγῳ ἀποδέδοται, ὧδε δ' ἂν εἴη προσῆκον καὶ τοὺς περὶ ἐπικρατήσαντος νόθου πνεύματος ἀποδοῦναι λόγους, ἵν' ὅπως διὰ πάντων ἄρτιος ὁ ἐπὶ πάσῃ τῇ πραγματείᾳ λόγος ἀφεὶς κἀν τούτῳ τὸ ἀνέγκλητον αὐτῷ περιποιήσαιτο.

*Κεφ. β΄. Περὶ αἰτίας γενέσεως τῶν νόθων πνευμάτων.*

1. Οἷόν τι τοίνυν ἐν τοῖς περὶ ἡμᾶς καὶ φαινομένοις στοιχείοις γίνεσθαι εἰώθασι — νηνεμίαι γὰρ ἐν τοῖς σφοδροτάτοις ψύχεσιν, ἔν τε ταῖς ὑπερβαλλούσαις θερμότησι — τοιοῦτόν τι κἀπὶ τῶν ἡμετέρων τούτων σωμάτων. 2. Ψύξεσι μὲν γὰρ ἑαλωκότων μεγίσταις καὶ τοῦ θερμοῦ ἡττονηκότος τελείως πῆξίς τις τῶν χυμῶν ἐκ ψύξεως ἐπιγίνεται καὶ τὰ πνεύματα οὐκ ἐγείρεται μετρίας τινὸς εἰς τοῦτο δεόμενα τῆς θερμότητος, ὥσπερ δῆτα κἀπὶ τῶν σφοδροτάτων καύσων καὶ ἄλλως διακαῶν οἱωνδήτινων πυρετῶν ἀπαιθαλουμένης πάσης αἰτίας πνεύματος. 3. Ἐπεί γε μὴν ταῖς ἤδη τοῦ θερμοῦ ἀνακλήσεσιν ὥσπερ διαμαχομένης τῆς φύσεως καὶ τοὺς ψυχροὺς διαλύειν τε καὶ πέττειν χυμοὺς πειρωμένης, ἀπογεννᾶται πνεύματα διάφορα κατά τε τὸ ποσὸν καὶ τὴν σύστασιν τὰ μὲν βραχείας τινὸς τῆς μεταβολῆς δεόμενα καὶ πέψεως, τὰ δ' αὖ μικροῦ δεῖν τὰς πάσας διαπεφευγότα τῶν πέψεων ἔτι ἐπικρατοῦντα φαίνεται καὶ τοῦτο μαθεῖν ἐστὶ κἀπὶ τῶν ὁσημέραι γινομένων ἐν ταῖς περὶ ἡμᾶς τοῦ καταστήματος ἀλλοιώσεσι. 4. Ψύχους μὲν γὰρ προεπιγεγονότος σφοδροῦ

*καὶ ὑετῶν καὶ χιόνων πάμπαν μὲν κρατησάντων τά τε πνεύματα οὐκέτι φαίνεται μηδ᾽ ὁπόθεν οὖν ἀρχῆς κινήσεως προεπιγεγονυίας πνεύματος καὶ πῆξίς τις ἐπιλαμβάνει τὰς ἐπιγεννώσας ὕλας τὰ πνεύματα.* 5. *Ἐπειδὰν δέ τι τὸ μὲν φυσικὸν θερμὸν ἐπιλάμψῃ καὶ κρατεῖν ἤδη τῆς ὕλης ἄρχηται, ἡ δ᾽ ἐκ πήξεως συνέχεια λύηται, τὰ πνεύματα τὴν σύστασιν ἀπολαμβάνειν εἴωθε κατὰ τὸ μέτρον τῆς ὑποκειμένης ὕλης καὶ τὸ κύτος, εἶθ᾽ οὕτως τοῦ παντὸς διατρέχουσι καὶ μέτρια μὲν ὄντα τοῦ θερμοῦ πάνυ κεκρατηκότος παύεται πεφθέντα, πλείω δὲ καὶ ὑπὲρ τὴν τῆς θερμότητος ἐπικράτειαν, διωσθέντα μὲν βραχύ τι ὅσον εἰκός, πρὸς ἑαυτὰ δὲ συστάντα τε καὶ πιληθέντα τῇ τοῦ πυρὸς ἀλλοτριότητι ἕτερον αὖ ἐπήγαγον χειμῶνα πλείονος τῆς παρασκευῆς δεόμενον εἰς διάλυσιν.* 6. *Καὶ οὕτως ταῖς καθ᾽ ἑκάστην μεταβολαῖς διάφορά τινα καὶ τὰ καταστήματα γίνεται· ὃν μὲν οὖν λόγον τὸ περιέχον τοῦτο καὶ ἡλιακὸν θερμὸν πρὸς τὰ περὶ ἡμᾶς στοιχεῖα κέκτηται, τὸν αὐτὸν δὴ καὶ τὸ περὶ τὴν καρδίαν ἔμφυτον πῦρ πρὸς τὰς τῶν ἐν ἡμῖν διαφόρων χυμῶν οὐσίας.* 7. *Ἀλλ᾽ ἐπειδήπερ ταῖς μὲν κατὰ φύσιν καὶ προσηκούσαις πέψεσι τὰ ἔμφυτα καὶ φυσικὰ ἀπογεννᾶται πνεύματα, ταῖς δ᾽ αὖ ἀποτυχίαις τῶν πέψεων τὰ νόθα τε καὶ λυποῦντα γίνεται πνεύματα, τὰ δὲ τὴν συνέχειαν τῶν παρυφισταμένων λύοντα πνεύματά τινα ὑποπτεύεται νόθα καὶ διεφθαρότα τυγχάνειν, εἰκότως ἂν ὧδε ἡ τῆς συνεχείας ἐν τοῖς παρυφισταμένοις διάλυσις ἀτέλειάν τινα κατηγορήσει τῆς πέψεως, κἀπὶ τοσοῦτο δ᾽ ἂν προβαίη ἡ διάλυσις, καθ᾽ ὅσον ἂν ἐπικρατείας καὶ τὸ πνεῦμα ἐφίκηται, ὥσπερ κἀπὶ τῶν διεξασμῶν νεφῶν ὡς ὄντα πνεύματα ἐπισημειούμεθα κίνησιν.*

### *Κεφ. γ΄. Περὶ αἰτίας γεννήσεως τῶν ἐπιφαινομένων πομφολύγων.*

1. *Ἐπεὶ δὲ τὰ διαλελυμένα καὶ μετεωριζόμενα παρυφιστάμενα καὶ οἶαι δήτινες ἐπινηχόμεναι τοῖς οὔροις πομφόλυγες διά τι πνεῦμα γίνονται νόθον, προσήκει καὶ τὰς ἐπὶ τούτοις ἀποδοῦναι αἰτίας.* 2. *Ἐκεῖνο τοίνυν χρεὼν μεμνῆσθαι, ὡς οὔτε τὰ αὐτὰ ἀεὶ ποσὰ τῶν πνευμάτων,*

*οὔτε αἱ αὐταὶ ποιότητες.* 3. *Τὰ μὲν γὰρ πλείω, τὰ δ' αὖ ἐλάττω, καὶ τὰ μὲν λεπτότερα, τὰ δ' αὖ παχύτερα, καὶ τὰ μὲν τούτων ψυχρά, τὰ δ' αὖ θερμά, καὶ εἰ προσεπιμιγνύναι ταῦτα χρεὼν τὰ μὲν ἔσται πολλά τε καὶ παχέα καὶ ψυχρά, τὰ δ' αὖ πολλά τε καὶ παχέα καὶ θερμά, ἄλλα δ' ὀλίγα καὶ παχέα καὶ ψυχρά, ἕτερα δ' ὀλίγα καὶ παχέα καὶ θερμά.* 4. *Εἴ γε μὴν ἐπιδιαιρῶν τὸν λόγον τά τε πολλὰ ἐπιδιέλοις καὶ ὀλίγα, μέτρα καὶ ὁρισμοὺς αὐτοῖς ἐπιθείς, τά τε παχέα καὶ λεπτά, καὶ πρὸς τούτοις τά τε θερμὰ καὶ ψυχρὰ πολλὰς ἂν εὕροις συμπλέκων διαφορὰς τῷ λόγῳ, ὥστε καὶ ποδηγούμενος ἐντεῦθεν τὰς ἐπὶ τοῖς παρυφισταμένοις μὴ τὸν οἰκεῖον τηροῦσι τόπον καὶ τὰς ἐπὶ ταῖς διαφοραῖς τῶν πομφολύγων γνοίης ἂν αἰτίας.* 5. *Τὰ μὲν οὖν παχύτερα τῶν πνευμάτων ταῖς πομφόλυξιν ἐπιφαίνεται μᾶλλον, τὰ δὲ λεπτότερα ταῖς τῶν παρυφισταμένων διασκεδάσεσιν, ὥσπερ καὶ αἱ ποσότητες τούτων ταῖς τῶν πομφολύγων ἀναλογοῦσι ποσότησι καὶ ταῖς τῶν παρυφισταμένων ἀπὸ τοῦ πυθμένος ἀποστάσεσι καὶ ταῖς ἐπὶ πλέον διασκεδάσεσιν.* 6. *Αἱ δὲ δὴ ποιότητες συνεπιμαρτυρηθεῖεν ἂν ἀπὸ τῶν ἐπὶ τοῖς χρώμασι συνεπιμαρτυρουμένων ποιοτήτων.* 7. *Καὶ γοῦν ἐπαναληπτέον ὡς οἷόν τε τὸν λόγον καὶ διασαφητέον ὡδί πως.* 8. *Τῶν εἰσιουσῶν τροφῶν ἐν τῷ σώματι αἱ μὲν τῇ πρώτῃ καθομιλήσασαι πέψει καὶ εἴ τι πνεύματος ἐνῆν αὐταῖς ἐσκέδασται τῇ φυσικῇ ἀλλοιωθὲν θερμότητι.* 9. *Ταῖς δ' αὖ εἰς τοῦτο δευτέρας πέψεως ἐδέησεν, ἔτι μᾶλλον ἐναπειλημμένον κεκτημέναις τὸ πνεῦμα, ἐνίαις δ' αὖ καὶ τῆς τρίτης πέψεως.* 10. *Ὅσαι δῆτα πάμπαν ὠμὸν καὶ φθαρτικὸν μικροῦ δεῖν ἀπογεννῶσι χυμόν, οὕτω δὴ κἀπὶ τῶν ἐν γαστρί τε καὶ φλεψὶ καὶ πορρωτέρω ἔτι χυμῶν δεῖ σκοπεῖν.* 11. *Ἐπειδὰν οὖν τι περὶ τὴν πρώτην πέψιν γεννηθὲν πνεῦμα καὶ τὴν ἔξοδον ζητοῦν, πλανώμενον συνδιακριθῇ τοῖς οὔροις λεπτὸν μὲν ὂν καὶ μέτριον πομφόλυγάς τινας ἐπιφυσῆσαν τῇ τοῦ οὔρου ἐπιφανείᾳ ἅμα τῷ ψυχθῆναι τὸ οὖρον καὶ ταύτας διασκεδασθὲν διέλυσεν ἀπὸ βραχυτάτης ἀρχῆς τῆς τοῦ πνεύματος ἐπιγεγονυίας συστάσεως, παχυτέρου δὲ καὶ πλείονος συνεκκριθέντος τοῦ πνεύματος καὶ τὸ ὑγρὸν κι-*

νήσαντος καὶ συστρέψαντος ἐπιτηδείως ἔχοντος, πομφόλυγες μὲν ἐγένοντο περὶ τὴν ἀμίδα, οὐκ ἔφθασαν δὲ διαλυθῆναι μὴ διαπνευσθέντος, ἀλλ' ἐναπειληθέντος τῇ παχυμερείᾳ τοῦ πνεύματος. **12.** Καὶ αἱ μὲν πομφόλυγες τῶν κατὰ γαστέρα μᾶλλον πνευμάτων γινομένων σύμβολα, ὅσα δὲ πνεύματα περὶ τὴν δευτέραν ἐπικρατοῦντα φαίνεται πέψιν τὰ παρυφιστάμενα μετεωρίζει τοῦ πυθμένος κατὰ λόγον, ὥσπερ καὶ τὰ ἔτι κεχωρηκότα περὶ τὸ τοῦ σώματος βάθος διασκεδαννύει ἤδη καὶ τὰ παρυφιστάμενα κατὰ τὴν τῆς ἐπικρατείας ἀναλογίαν. **13.** Ἐπὶ τὸ πλεῖστόν γε μὴν ταῦτα καὶ θερμοῖς συναναφαίνεται πάθεσι· διὰ τοῦτο γὰρ καὶ διὰ βάθους μᾶλλον χωρεῖ· ἐπί γε μὴν τῶν ὠμῶν καὶ ἀπέπτων παρυφισταμένων πεττομένων μετεωρίζονται τὰ παρυφιστάμενα τοῦ πλείονος θερμοῦ, πλείονα μὲν διαλύοντος πεπηγυίαν ὕλην, οὐκ ὀλίγα δ' ἀπογεννώσης πνεύματα, πλειόνων δὲ γενομένων πνευμάτων. **14.** Ἀλλ' ἐπειδὰν ὑπερέχῃ μὲν ἡ ἔμφυτός τε καὶ πεπτικὴ δύναμις, ἡ δ' ἄπεπτος ἐκείνη καὶ ὠμὴ κατακρατηθείη ὕλη, ἤδη μὲν ὑποκαταβαίνειν ἄρχεται τὰ παρυφιστάμενα τῶν πνευμάτων μειουμένων, τέλος δὲ καὶ διατμηθέντων ὑφιζάνει πρὸς τὸν πυθμένα. **15.** Οὐ καινὸν δ' ἂν εἴη εἰ ταῖς τοπικαῖς ἐπισημασίαις καὶ τοὺς πεπονθότας τόπους ὑποσημαίνεται.

*Κεφ. δʹ. Περὶ αἰτίας τῶν κάτω διαφέροντος τόπου παρυφισταμένων.*

**1.** Τοῦ γάρ τοι διαστήματος τοῦ χύματος κατὰ τὴν τοῦ σώματος εἰκονιζομένου ἰδέαν, καθ' ἃ ἂν μέρη τοῦ χύματος τὰ παρυφιστάμενα τελοίη τὸν οἰκεῖον τόπον ἐκπεφευγότα καὶ τοὺς τόπους ἐκείνους μᾶλλον τοῦ σώματος πεπονθέναι δηλοῖ καὶ εἰκότως. **2.** Τὸ γάρ τοι νόθον τοῦτο καὶ φθαρτικὸν πνεῦμα καθόσον ἂν εἴη κραταιότερον καὶ τὴν ὕλην ἀπωθεῖται πορρωτέρω ἐπὶ τὰ μετέωρα τοῦ πυθμένος τῆς ἀμίδος ἀρξάμενον. **3.** Δέον οὖν ὑφίστασθαί τε καὶ ἀποκρίνεσθαι ταύτην ὑπ' οὐδενὸς ὠθούμενον πνεύματος, καθάπερ κἀν ταῖς κατὰ πλάτος τοῦ χύματος τοῦ παρυφισταμένου διαλύσεσι, τὰς κατὰ πλάτος ἀλγηδόνας τοῦ σώματος ὁρῶμεν πεπλανημένας γινομένας,

καθὼς ἐν τοῖς περὶ διαγνώσεως οὔρων λέλεκται. 4. Τοῦ γάρ τοι πνεύματος τὴν ὕλην ἀπωθουμένου καὶ μᾶλλον εἰ τύχοι τραχεῖα οὖσα καὶ ἄπεπτος καὶ διαπλανηθείη κινουμένη εἰς ἅπαν τὸ σῶμα, βάρος μὲν ἐπάγεται τῷ πλήθει ταῖς σαρξίν, ἄλγος δὲ τῇ τε κινήσει τοῦ πνεύματος καὶ τῇ τοῦ ἐπαγομένου ἀλλοτριότητι, καθάπερ ἐπὶ τῶν πομφολύγων ἀλγηδόνας κεφαλῆς ἢ νεφρῶν δηλουσῶν καὶ προσέτι κατάρροιαν εἰς πνεύμονα καί πως ἄλλως περιουσίαν πνεύματος. 5. Ἡ ποιὰ μὲν αὐτῶν θέσις τὰς διαγνώσεις ἀπέδωκεν· ὁ δὲ λόγος νῦν ἐπιθήσει καὶ τὰς αἰτίας. 6. Ὅτι μὲν οὖν ἕκαστον τούτων ὑφ' οἵου δήτινος ἀπεοικότος τῷ φυσικῷ πνεύματος ἐπιγίνεται αὐτά φησι δείξει τὰ πράγματα ὁσημέραι ὑφ' οἵας δήτινος κινήσεως παρὰ φύσιν πνευμάτων γινομένων κἄν τε ζέωσιν αἱ ὑποκείμεναι ὗλαι δηλονότι κἄν τε καὶ ἄλλως κινῶσι, καὶ μαρτυρήσουσι τῷ λόγῳ τά τε ζέοντα τῶν ὑδάτων καὶ πομφόλυγας ἐντεῦθεν ποιοῦντα τά τε ψυχρὰ κινούμενα δήποθεν. 7. Αἱ τοίνυν ὥσπερ στεφάνην περιδραμοῦσαι τὴν τῆς ἀμίδος ἐπιφάνειαν πομφόλυγες μικραὶ μὲν οὖσαι καὶ πρὸς ἑαυτὰς συνεπτυγμέναι ὑπὸ παχυτέρου καὶ μὴ ῥαδίως διαφορουμένου γίνονται πνεύματος. 8. Τῷ μὲν οὖν ἐπὶ τὴν ἐπιφάνειαν οὕτω χωρῆσαι περὶ τὴν κεφαλὴν ἀναλόγως δηλοῖ κεχωρηκέναι τὸ πνεῦμα, τῷ δ' οὕτω παχὺ καὶ γλίσχρον εἶναι, ὡς μὴ μετεωρίζειν τε καὶ μεγεθύνειν τὰς πομφόλυγας, ἀλλ' ἐναπειλῆφθαι ἔτι καὶ περὶ τὴν ὕλην ἀνεστράφθαι ὡς βραχείας ἐπέγειρον μόλις πομφόλυγας. 9. Ἔτι πρόσυλον εἶναι μαρτυρεῖ τὸ πνεῦμα καὶ μὴ ῥαδίως διαφορούμενον, καθόσον μέντοι αἱ πομφόλυγες μετεωρίζονταί τε καὶ ἐπεκτείνονται ἐπὶ τὴν ἐπιφάνειαν, ἀφίστασθαι μὲν ἤδη τῆς ὕλης διαφορούμενον τὸ πνεῦμα, τὰς δὲ ἀλγηδόνας ἀμαυροῦσθαι λέγομεν, καὶ μᾶλλον εἰ ψυχρότης κατηγορεῖται τοῦ πνεύματος. οὐ γὰρ ῥαδίως εἴωθεν ἐπάγειν ἄλγη τὰ ψυχρὰ τῶν πνευμάτων. 10. Ἐπειδὰν μέντοι καταρρυείσης τῆς τὰ πνεύματα ἐπεγειρούσης ὕλης τῷ πεπέφθαι ἤδη ἐπινήχονται μὲν περὶ τὰ μέσα τῆς ἐπιφανείας τῆς ἀμίδος ἐπισυνηγμέναι πομφόλυγες, ἔτι δὲ καὶ στεφάνη πομφολύγων ἐπινήχεται μηδέν τι ὀδυνῶδες ἔτι διασημαι-

νομένη καταρρυείσης ἤδη τῆς ἐμπνευματουμένης ὕλης, καὶ μάλιστ' ἂν περὶ τὸν πνεύμονα ἡ κάθοδος γένηται, τότε δὴ τότε ἡ καταρρυεῖσα ὕλη περὶ τὸν πνεύμονα συνδιαστραφεῖσα πνεύματι ἔτι μᾶλλον πεφύσηται. 11. Τῷ δὲ διωθεῖσθαι κρατησάσης ἤδη τῆς φύσεως ἐκκρίνεται μέν, ἐπιμαρτυρεῖται δὲ τῇ περὶ τὸ μέσον ἐπινηχομένῃ πομφόλυγι. 12. Τῆς αὐτῆς δ' αὖ κινήσεως περὶ νεφροὺς καὶ κύστιν γινομένης ὑφ' οἵας δή τινος συμβάσης στενοχωρίας, καὶ πνεύματά τε ἐπιγίνονται καὶ πομφόλυγες ἐπιγείρονται, οὐ μείονος δὲ κινήσεως περὶ τὰ σπερματικὰ γινομένης ἀγγεῖα καὶ πνεύματος ἐντεῦθεν γεγονότος καὶ συνδιαδοθέντος τοῖς οὐρητικοῖς ἀγγείοις, ἀναμίγνυται μὲν αὐτὰ τοῖς οὔροις, ἐκκρινομένοις δὲ ἐπιφαίνεται πομφόλυγας πυκνοτάτας ἐγείροντα. 13. Ἐπιφαίνεται μέντοι ὧδ' ἐνίοτε καὶ οἷον τριχία ἢ τῆς γονῆς αὐτῆς ἀμαρύγματα ἢ τῶν νεφρῶν συνδιαθερμανθέντων συντήγματα. 14. Καὶ δὴ καθόσον μὲν ἂν αἱ πομφόλυγες μείους τε καὶ πυκνότεραι καὶ πρὸς μόνην αὐτὴν τὴν στεφάνην περιτρέχωσι, πλείω τε καὶ κραταιότερα καὶ λεπτότερα τὰ πνεύματα ὑποδείκνυνται, ἅτε ἔτι προσισχόμενα τῇ ὕλῃ. 15. Καθόσον δ' ἂν τἀναντία τοῖς ῥηθεῖσι γίνηται καὶ ἡ τοῦ πνεύματος ἀδράνειά τε καὶ διαφόρησις ἑτοίμως διαγινώσκεται. 16. Ἀλλ' ὁ μὲν περὶ πνεύματος λόγος οὕτως ἀποδοθεὶς ὡδέ πη καὶ κείσθω. ἱκανὸν γὰρ κἀκ τούτων τὸν σπουδαῖον καταστοχαζόμενον καὶ τὰ λείποντα προσεξευρίσκειν τῷ λόγῳ. 17. Ῥητέον δ' ἐφεξῆς τῷ λόγῳ καὶ περὶ τῶν διαφόρων περὶ τὴν στεφάνην ἑτεροειδῶν χρωμάτων.

*Κεφ. ε'. Περὶ αἰτίας τῶν ἑτεροχρόων κατὰ τὴν ἐπιφάνειαν στεφανῶν.*

1. Ἐπεὶ τοίνυν παντὸς ὑγροῦ ἐξ ἑτεροειδῶν συστάντος οὐσιῶν τὸ παχύτερον χωρεῖν πρὸς τὸν πυθμένα πέφυκε, ἀνάγκη ἄρα τὸ λεπτότερον ἐπινήχεσθαι. 2. Ἐπεὶ δ' ἐν ἄλλοις δέδεικται τὰ λεπτότερα τελεῖν εὐπαθέστερα ῥαδίως μὲν ὑφ' οἱασδήτινος αἰτίας ἀλλοιούμενα, προχείρως δ' αὖ καὶ διάδηλα γινόμενα. 3. Ἐνταῦθ' οὖν ἀντιρρόπων μὲν τῇ δυνάμει τῶν λυπούντων πεφυκότων χυμῶν καὶ ἰσοτόνως τῶν χυμῶν τὰ οὖρα χρωννύντων οὐδεμία τις

*ἐπίδηλος στεφάνη διαφαίνεται, νικώσης δ' ἢ νικωμένης τῆς δυνάμεως καὶ τὰ χρώματα τῆς στεφάνης ἔσθ' ὅτε ἑτεροῖα φαίνεται, ὁπόταν δηλαδὴ τὰ οὖρα προσφυῶς ἔχῃ στεφάνην παριστᾶν. Καὶ ταῦτα μὲν οὕτω.* 4. *Ἐπεὶ δὲ καὶ τῶν οὔρων τὰ μὴ κεκτημένα παρυφιστάμενα μεγάλην μὲν τὴν ἀποτυχίαν τῆς πέψεως δείκνυσι, ἐπ' ἀξιολόγοις δὲ ταῖς αἰτίαις δείκνυται, χρεὼν ἂν εἴη καὶ τὰς ἐπὶ τούτοις αἰτίας ἐπιθεῖναι τῷ λόγῳ οὐκ ὀλίγα λυσιτελούσας ταῖς διαγνώσεσι.*

### Κεφ. ϛ'. Περὶ αἰτίας τῶν ἀνυποστάτων οὔρων.

1. *Τὰ τοίνυν δι' ἐσχάτην ἀπεψίαν ἀνυπόστατα τῶν οὔρων φαινόμενα δι' αὐτὸ μὲν τοῦτο τὸ μὴ πεπέφθαι τὴν ὕλην ἄνευ παρυφισταμένου γίνεται· συνεπιμαρτυρήσει δὲ τά τε χρώματα καὶ αἱ συστάσεις.* 2. *Ἐπεὶ γάρ τοι τὸ παρυφιστάμενον δέδεικται περίττωμά τι ὂν τῆς τρίτης πέψεως, δεόντως ἂν μὴ ὀφθὲν τὴν ἐπ' ἐκείνῳ πέψιν ἠτυχηκέναι δηλώσῃ.* 3. *Ὅπου μὲν γὰρ πέψις ὕλης καὶ περιττώματός τινος ἀπόκρισις γίνεται — οὐ γάρ ἐστιν οὐκ ἔστι πέψεως γινομένης μή τι καὶ περιττὸν ἀποκριθῆναι.* 4. *Ὅπῃ δ' ἂν ἡ πέψις μὴ ἐπιχειρήσασα ᾖ, οὐδ' ἂν τὸ ἐπὶ τῇ πέψει περιττὸν ὀφθείη.* 5. *Ἔμφραξις μέντοι ἀξιόλογος ἀκριβέστερον διυλίζουσα τὰ οὖρα οὐκ ἀπεικότως ἂν ἐπίσχῃ τὰ παρυφιστάμενα παχύτερα τοῦ χύματος κατὰ τὸν τῆς ἀναλογίας λόγον τυγχάνοντα, ὅπου γε καὶ αὐτὰ τὰ χύματα τότε λεπτότερα τοῦ δέοντος προΐεται.* 6. *Ἐπεί γε μὲν ταῖς ἐνδείαις τε καὶ ἀτροφίαις ἡ φύσις ἀποροῦσα χυμοῦ τοῦ θρέψαντος, ἐλλείπει καὶ κατὰ τὰ παρυφιστάμενα, τῆς γάρ τοι θρέψεως μὴ προηγησαμένης, οὐδ' ἂν τὸ ἐπ' ἐκείνῃ περιττὸν ὀφθείη.* 7. *Διὰ ταῦτα δὴ ταῦτα κἀπὶ ταῖς ἀξιολόγοις τῆς γαστρὸς χρονίως κενώσεσιν ἀνυπόστατα τὰ οὖρα φαίνεται, ἤτοι ἐκεῖσε τὴν ὁρμὴν τῶν περιττωμάτων τῆς ἐκκρίσεως εἰληφότων, ἢ διὰ τὴν κένωσιν ἀτονίας τινὸς ἀκολουθησάσης τῇ πεπτικῇ δυνάμει.* 8. *Ἐπεὶ δὲ τούτοις καὶ διαφθορὰν τῆς ὕλης πλείω, ἀφ' ἧς μηδέν τι προσλαβέσθαι εἰκὸς τὴν φύσιν, — ὅπῃ μὲν γὰρ ὕλη πρόσφορος καὶ θρέψις ἂν ἐπιγένοιτο, καὶ περιτ-*

τοῦ τινος περὶ ταῦτα ὡς εἴρηται ἔκκρισις, ὅπη δ' αὖ ὕλης δεούσης ἐνδέοι ἢ τῷ μὴ προσεῖναι ἢ τῷ προσοῦσαν πάμπαν διεφθάρθαι τε καὶ ἠλλοιῶσθαι, οὔτ' ἂν τραφείη τὸ ζῷον οὔτε περιττὸν τὸ ἀπὸ θρέψεως ἀποδοθὲν ἐκκρίνει, οὐχ ἧττον μέντοι καὶ διὰ συναγωγὴν παντοίας ὕλης ἔκ τε φλεγμονῆς καί τινος ἑτέρας διαθέσεως ἐπὶ θερμότητι πλείονι ἐφελκυσθείη ἂν τὰ περιττὰ πρὸς τοῖς ἀμείνοσι χυμοῖς, ὅτε λείπεσθαι χωρὶς παρυφισταμένων τελεῖν τὰ ἐνουρούμενα. 9. Ὅπη γὰρ τύχῃ πλεονεκτοῦσα θερμότης ἄμετρος, ἐκεῖ που καὶ οἱ πλείους τῶν χυμῶν ἐφέλκονται καὶ τὰ περιττὰ συνεφέλκονται. καὶ τοῦτο μαθεῖν ἐστιν ἀπὸ τῶν ὁσημέραι γινομένων σικυιῶν. 10. Καὶ γάρ τοι κἀκεῖναι μετὰ μετρίας τινὸς φλογὸς ἐπιτεθεῖσαι οἱῳδήτινι μέρει τοῦ σώματος ἐπισπῶνται τά τε παρακείμενα καὶ τὰ πορρωτέρω, κἂν ὁποίας ἄρ' ὄντα μοίρας τύχοιεν, τῇ ἀνθολκῇ τῆς ἐπιγεγονυίας θερμότητος. 11. Εἰ τοίνυν τοσαῦτα ἐπιταθεῖσα δεδύνηται σικύα, πολλῷ ἂν οἶμαι πλείω φλεγμονή τε καὶ ἐρυσίπελας καί τις παραπλησία διάθεσις ἐφ' ἑαυτὴν ἑλκύσειεν ὅσον εἰκός, ἄλλως τε καὶ τῆς φύσεως ἐκεῖ που τὰ περιττὰ διωθουμένης διὰ τὴν ἐπιγεγονυίαν τῷ μέλει ἀτονίαν ἐπὶ τῇ σωρίᾳ τοῦ πλείονος. 12. Πέφυκε γάρ τοι καὶ τοῦτο δι' οἱονδήτινα λόγον ἠσθενηκότος μορίου ἐκεῖσέ πῃ πᾶν ἀχρεῖον ὠθεῖσθαι. 13. Ἐπεὶ γὰρ τὸ πεπονθὸς μὴ τὴν προτέραν πέφυκε κεκτῆσθαι δύναμιν ἀποκριτικήν, τῇ τῆς ὕλης ἐπιφορᾷ βαρυνθὲν οὐ μόνον οὐκ ἀποτρέπεται τῶν ἐπιρρυέντων τὴν ὕλην, ἀλλὰ καὶ τῶν προσεπιρρεόντων ἐπιδέχεται τὴν ἀπωστικὴν ὡς ἔοικεν ἀπαγορεύσασαν δύναμιν. 14. Ἀλλ' ὁ μὲν περὶ ἀνυποστάτων οὔρων λόγος ἀρκούντως οἶμαι ῥηθεὶς τανῦν ἀφείσθω.

Κεφ. ζ. Περὶ τῆς τῶν κατὰ τὰ γένη καὶ ἡλικίας οὔρων αἰτίας.

1. Δεῖ γὰρ καὶ τὸ μὴ τοὺς λόγους ἐπιμηκύνειν παρατηρεῖσθαι. Ἡμεῖς δ' ὥσπερ ἀφ' ἑτέρας ἀρχῆς ἀψάμενοι λέγομεν δι' οἱασδήτινας δηλονότι αἰτίας ἑτεροῖα τὰ οὖρα ταῖς διαφόροις ἡλικίαις ἀποδίδονται ὥραις τε καὶ χώραις καὶ διαίταις καὶ τρόποις οἱοισδήτισιν ἑτέροις, καθὰ κἂν

τοῖς περὶ διαγνώσεων οὔρων λέλεκται. 2. Οὕτω γὰρ ἀποδοθέντος τοῦ λόγου, τέλος ἂν αἴσιον οἶμαι καὶ ὁ περὶ αἰτίας οὔρων ἐπιλάβη λόγος καὶ αἱ ἐπ' ἐκείνοις θέσεις ὧδ' ἂν τὸ ἀξιόπιστον τῶν αἰτιῶν ἀποδοθεισῶν ἐπιλάβοιεν. 3. Ἵν' οὖν μὴ γρίφος τις ὁ λόγος δόξη καὶ δύσληπτος, προσεπιθήσομεν καὶ τὰ ἐπὶ τοῖς περὶ διαγνώσεως διορισθέντα λόγοις κεφάλαια, ἵν' ὅπως ἐπ' ἐκείνοις τὰς αἰτίας κατασκευάζοντες δι' ἀλλήλων τὰς πίστεις παράσχοιμεν τοῖς σπουδάζουσιν. 4. Ἀνδρῶν οὖν εὐκράτως ἐχόντων οὖρα ὑπόπυρρά τε καὶ ὑπόξανθα καὶ συμμέτρως ἔχοντα κατά τε σύστασιν καὶ παρυφιστάμενον. 5. Καὶ τούτου μὲν ἀποδέδοται ἡ αἰτία, τὰ καθ' ἕκαστον ἐν τῷ πρὸ τούτου λόγῳ διορισαμένῳ μοι. ἔνεστί γε μὴν κἀνταῦθα βραχύ τι φάναι τὸν λόγον ἀναλαμβάνοντι. 6. Ἐπεὶ γάρ τοι δέδεικται τοῖς συμμέτροις πέψεσι τοῦ αἵματος καὶ τὴν χολὴν συμμέτρως κατὰ χροιὰν ἀποδίδοσθαι ἤτοι ξανθὴν ἢ πυρρὰν δηλονότι, εἰκότως ἂν τῷ ἀπ' αὐτῆς ἐκεῖσε διαδιδομένῳ χυμῷ ξανθῷ τῷ χρώματι τυγχάνοντι καὶ τῇ τοῦ ὀρρώδους ἐπιμιξίᾳ χυμοῦ ὑπόπυρρά τε καὶ ὑπόξανθα τὰ οὖρα ἀποδοθείη, σύμμετρα δὲ ταῖς συστάσεσιν ἐπ' ἀκριβέσι ταῖς πέψεσι. 7. Λευκὰ δὲ καὶ λεῖα καὶ ὁμαλὰ καὶ πρὸς τὸν πυθμένα χωροῦντα τὰ παρυφιστάμενα γεγονότα καὶ τὴν ἐπὶ τῇ τρίτῃ πέψει ἀλλοίωσιν μαρτυρεῖ. 8. Ἐπὶ δὲ τῶν ἀκμαζόντων τε καὶ εὐκράτως χόντων ἀνδρῶν τὰ οὖρα ὁποῖα εἴη καὶ πάλαι μὲν λέλεκται καὶ αἱ ἐφ' αὐτοῖς ἀπεδόθησαν αἰτίαι, καὶ νῦν δ' αὖ αὐτῶν ἐπεμνήσθημεν ὅσον εἰκὸς ἦν· προσῆκον ἂν εἴη καὶ τῶν λοιπῶν ἐπὶ ταῖς διαγνώσεσι ῥηθέντων ἐφάψασθαι, ἵν' ὅπως καὶ τῶν αἰτιῶν ἀποδοθεισῶν ἄρτιος ἡμῖν ὁ λόγος ἀποδοθείη. 9. Γερόντων τοίνυν οὖρα πρὸς τὸ λευκὸν ἤδη χωροῦντα φαίνεται ὑπόλεπτα τὴν σύμμετρον διαφυγόντα σύστασιν καὶ μείω τᾶ παρυφιστάμενα καὶ οἷον ἔνωμα ἔχοντα· παίδων δὲ κομιδῇ νέων τῷ μὲν χρώματι ὀλίγον τῶν τε ὑποπύρρων καὶ ὑποξάνθων δέουσι, μικροῦ δὲ δεῖν ὑπερβάλλουσι τῇ συστάσει τῶν ἀκμαζόντων, πλείω δὲ τὰ παρυφιστάμενα ἔχουσιν. 10. Ὁ μὲν οὖν ἐπὶ διαγνώσει λόγος τοιοῦτος οἶμαι ἀπεδόθη, τὰς δὲ αἰτίας ὧδε καταμαθητέον. 11. Ἐπεὶ

*τοίνυν ἡ τῶν γερόντων ἡλικία καθόσον ἂν προΐῃ ἐπὶ τὸ ψυχρότερον ῥέπῃ, εἰκότως ἄρα καὶ τὰ οὖρα λευκά τε καὶ λεπτὰ ἀποδώσει, τοῦ μὲν ἐμφύτου ἤδη μαραινομένου θερμοῦ, τῆς δὲ πέψεως ἐλαττουμένης τε καὶ ἀμαυρουμένης τῇ τῆς ψύξεως ἐπικρατείᾳ.* 12. *Διὰ ταῦτ' οὖν εἰκότως καὶ τῆς θρέψεως γινομένης βραχείας καὶ τὰ παρυφιστάμενα μείω φαίνεται τῇ τῶν τρεφόντων ἀναλογοῦντα χυμῶν προολήψει.* 13. *Ἐπεὶ γὰρ ἐκεῖνοι μείους εἴρηνται τῷ τε τὴν ἀνάδοσιν ἀπημαυρῶσθαι, τῷ τε τὴν πέψιν ἡττονηκέναι, δεόντως ἐλάττω τε καὶ οἷον ἀπεπτούμενα φαίνεται τὰ παρυφιστάμενα.* 14. *Τῶν γε μὴν παιδῶν πολὺ τυγχάνον τὸ φυσικὸν καὶ ἔμφυτον θερμὸν μετὰ πλείονος τῆς φυσικῆς ὑγρότητος τὰ μὲν χρώματα τῶν οὔρων ἐνδέοντά πῃ τῶν ἐπὶ τοῖς ἀκμάζουσι προσβάλλεται τῇ πλείονι ἐξυδαρούμενα ὑγρότητι, τῷ δὲ πεπλεονεκτηκέναι τὴν ἔμφυτον θερμότητα ἀμείνω καὶ τὴν σύστασιν ἀποδοθῆναι γέγονεν τῆς ἐπὶ τοῖς ἀκμάζουσιν.* 15. *Ἡ γάρ τοι πλείων ἔμφυτος θερμότης κρείττους καὶ τὰς πέψεις ἀπεργάζεται.* 16. *Ἡ μὲν γὰρ τῶν ἀκμαζόντων θερμότης πλείων οὖσα τῇ ποιότητι ἢ τῇ ποσότητι — ἤδη γὰρ πρὸς τὸ δριμύτερον κεχώρηκε — καὶ τὰ χρώματα τοιαῦτα, οἷα λέλεκται, ἀποδέδωκε.* 17. *Ἡ τῶν παίδων δὲ μᾶλλον τῇ ποσότητι διενέγκασα κατὰ τὴν σύστασιν τῶν χυμῶν πεπλεονέκτηκεν. οὐ θαῦμα δὲ εἰ πλείω τὰ παρυφιστάμενα φαίνεται, πλείονος καὶ τῆς τῶν χυμῶν κατεργασίας γενομένης.* 18. *Ἐπεὶ γὰρ καὶ ἄλλως μὲν ἀδδηφαγοῦσιν οἱ παῖδες, ὥστε συμβαίνειν ἐντεῦθεν πλείω τὰ περιττώματα γίνεσθαι· οὐ μείω δὲ καὶ διὰ τὴν τῆς θρέψεως ἐνέργειαν ἐπιτεινομένην τῇ χρείᾳ.* 19. *Δεῖ γὰρ ὕλης ἔς τε τροφὴν τῷ θερμῷ, καὶ ἐς τὴν τῶν μελῶν ἐπίδοσιν, πλείω καὶ τὰ παρυφιστάμενα φαίνεται τῶν γερόντων τε καὶ ἀκμαζόντων.* 20. *Καὶ ὁ μὲν κατὰ τὰς ἡλικίας λόγος ὧδέ πῃ κείσθω ἱκανῶς ῥηθείς· νῦν δὲ καὶ περὶ τῶν λοιπῶν ῥητέον. —* 21. *Γυναικῶν οὖν οὖρα ἀκμαζουσῶν καὶ ἐν τοῖς πᾶσιν ἐχουσῶν συμμέτρως ἐνδέοντά πως τοῦ τε ὑποπύρρου καὶ ὑποξάνθου καὶ διαφανέστερά πως τῇ συστάσει φαίνεται, πλείω γε μὴν τὰ παρυφιστάμενα τῶν ἀνδρῶν ἔχοντα.* 22. *Τοιαύταις μὲν*

οὖν διαγνώσεσι τὰ οὖρα τῶν γυναικῶν δοκιμάζεται· αἱ δὲ αἰτίαι πως τεθεῖσαι βεβαιώσουσι τὴν διάγνωσιν. 23. Τὸ τοίνυν φῦλον τῶν γυναικῶν οἰκουροῦν καὶ βραχέσι γυμνασίοις χρώμενον, ἔτι τε ὑφειμένην ἔχον τὴν φυσικὴν θερμότητα τῇ τῶν ἀνδρῶν παραβαλλομένην, ἀσθενεῖς μὲν τὰς πέψεις ποιεῖται, ἀβληχρὸν δὲ τὸ φυσικὸν κέκτηται πῦρ. 24. Ταῦτά τοι καὶ ὑπόλεπτα μὲν τὰ οὖρα προβάλλεται καὶ ὑπόλευκα μὴ ἀκριβῆ καὶ ἴσην τῇ τῶν ἀνδρῶν πέψει δεχόμενα, πλείω δὲ τὰ παρυφιστάμενα διὰ δύο αἰτίας οἶμαι συνιούσας. 25. Τῇ γὰρ περιουσίᾳ φυσικῆς ὑγρότητος, τῇ τε ἐκ τῆς ἀσθενοῦς πέψεως τῶν περιττωμάτων πλησμονῆς πλείω καὶ τὰ παρυφιστάμενα φαίνεται, ὥστε ἐντεῦθεν ἄν τις σκοπήσας δέξαιτο τὸν λόγον ὡς ἀληθῆ τὸν περὶ διαγνώσεως.

Κεφ. η΄. Περὶ αἰτίας τῶν κατὰ τὰς ἁπλὰς δυσκρασίας οὔρων.

1. Περὶ δὲ τῶν κατὰ τὰς ἁπλὰς δυσκρασίας ἐπιταθείσας μεταβολῶν ἐν ταῖς οὔροις ὧδ' ἂν εἴη προσῆκον φάναι. 2. Καὶ τοίνυν θερμότης βραχὺ μὲν ἐκστᾶσα τοῦ δέοντος ὑπόπυρρά τε καὶ ὑπόξανθα ἔτι τὰ οὖρα ἀποδίδωσιν, ἐπὶ πλέον μέντοι ἐπιταθεῖσα ἤδη πυρρὰ καὶ ξανθά, ταῖς δὲ συστάσεσι ὑπερεκπίπτουσι ταῦτα τὸ σύμμετρον καί τις αὐτοῖς ἐπιφαίνεται στιλπνότης. 3. Τὰ δέ γε παρυφιστάμενα τούτοις σύμμετρα μὲν καὶ αὐτά, ἤδη δὲ καὶ τὸ λευκόν, ὃ δὴ κατὰ φύσιν τε καὶ σύμμετρον ἔφημεν αὐτοῖς τελεῖν, ὑποφεύγουσι, τἀναντία δὲ δὴ τούτων ἡ ψυχρότης προβάλλεται. 4. Ἐφ' ὅσον γὰρ ἂν ἡ ψύξις ἐπιτείνηται, λευκαίνεται καὶ τὰ χρώματα καί πως τῆς συμμέτρου συστάσεως λείπεται, τραχυτέραν τήν τε ἐπιφάνειαν καὶ τὰ παρυφιστάμενα μείω καὶ ἔνωμα. 5. Ἐνίοτε δ' αὖ παχύνεται διόλου καὶ ἀναθολοῦται τὰ οὖρα, ὑγρότης δ' ἀμβλύνοι ἂν τὴν κατὰ φύσιν τοῦ οὔρου χροιὰν ἐξυδαρωθεῖσαν, τραχύνοιτο δ' ἂν καὶ ἡ ἐπιφάνεια τούτου. 6. Πλείω δὲ καὶ ἡ ὠμότης τῶν παρυφισταμένων, ἐνδέοιεν δ' ἂν ὧδε καὶ κατὰ σύστασιν τὰ οὖρα. 7. Ξηρότης δ' αὖ ἀφαιρεῖται τοῦ τε κατὰ τὸ χῦμα καὶ τοῦ παρυφισταμένου ποσοῦ, διαφάνειαν δέ τινα καὶ στιλπνότητα πλείω ποιεῖ. 8. Τὰ

*γε μὴν χρώματα τούτοις οἷα τὰ κατὰ φύσιν καὶ αἱ συστάσεις σύμμετροι, εἰ μή γε τῇ τῆς τρεφούσης ὑγρότητος ἐνδείᾳ δριμύτερα γένοιτο τῇ ἐπιταθείσῃ τοῦ θερμοῦ ποιότητι.* 9. *Τοιαῦτα τὰ κατὰ τὰς δυσκρασίας οὖρα πέφυκε. νῦν δὲ ἐπιθῶμεν καὶ τὰς αἰτίας, τὰς διαγνώσεις ὧδε πιστούμενοι.* 10. *Ἐπεὶ τοίνυν ἐπιτεινομένης θερμότητος εἴρηται μεταβάλλεσθαι καὶ τὰ χρώματα τῶν οὔρων, εἰκότως ἄρα κἀπὶ τῶν δυσκρασίᾳ ἤδη ἑαλωκότων θερμῇ, μετρίᾳ μὲν οὔσῃ, ὑπόπυρρά τε καὶ ὑπόξανθα ὀφθείη ἄν, πλείονι δὲ γεγενημένῃ ἤδη ξανθὰ καὶ πυρρά, τῆς ἐπιγεγονυίας δηλονότι θερμότητος τὴν μὲν χολὴν δριμυτέραν ποιούσης, τὴν δ' ἐξυδαροῦσαν ταύτην ὑπεξαιρουμένην ὑγρότητα. ταῦτά τοι καὶ τὰ χρώματα τοιαῦτα ἀποδίδοται.* 11. *Ἐπεὶ δὲ καὶ ταῖς ἐπικρατείαις εἴρηται τῆς θερμότητος συμμέτρους καὶ τὰς πέψεις γίνεσθαι, ὥστε καὶ τὰς τῶν οὔρων ἐντεῦθεν συστάσεις συμμέτρους φαίνεσθαι, εἰκότως ἂν πλεονασάσαις, μήπω δὲ καταλυσάσαις τὴν ὑγίειαν καὶ τὴν ὑπὲρ τὸ σύμμετρον τὰ οὖρα σύστασιν ἀναλάβωσιν.* 12. *Οὐ θαῦμα δέ, εἰ καὶ ἡ ἐπιφάνεια στίλβει τῇ τοῦ χρωννύντος κατὰ ποιότητα ἐπιτάσει χυμοῦ.* 13. *Τῆς γάρ τοι ἐπιταθείσης δριμύτητος ἀναλισκούσης τὴν τραχύνουσαν ὑγρότητα ἡ στιλβηδὼν διαφαίνεται, σύμμετρα δὲ κατὰ τἄλλα τὰ παρυφιστάμενα πεφυκότα οὐ καινὸν ἂν εἴη, εἰ μὴ διὰ τὴν ἐπὶ θερμότητα ἐπιταθεῖσαν δυσκρασίαν παρεῖταί τι καὶ τῆς λευκότητος, καταβαφῆς τινος ἀπὸ τῆς χολῆς ἐπιδόσεως συναναδιδομένης τε καὶ χρωννυούσης τὰ παρυφιστάμενα.* 14. *Ἐπί γε μὴν τῶν ψυχρᾷ ἑαλωκότων δυσκρασίᾳ καθόσον ἂν ἐπὶ τὸ ψυχρότερον προΐωσι, καὶ τὰ χρώματα λευκότερα ἐπιδείκνυται.* 15. *Ἐπεὶ γάρ τοι δέδεικται ξανθήχολος μὲν ὢν ὁ χρωννὺς τὰ σύμμετρα τῶν οὔρων χυμός, οὗτος δὲ ἐπὶ συμμετρίᾳ τε καὶ ἀκριβέσι πέψεσιν ἐπιγίνεται, εἰκότως ἂν ἀποτυχούσης τῆς ἀκριβοῦς πέψεως διὰ ψυχράν τινα διάθεσιν, ὁ ξανθὸς οὐκ ἀπολάβῃ τὸ οἰκεῖον χρῶμα χυμὸς ὠχρὸν ἢ ὕπωχρον κατὰ τὸ τῆς ἀποτυχίας μέτρον χρῶμα δεξάμενος, ὥστ' ἂν εἰκότως τῇ τοῦ ὀρρώδους ἐπιμιξίᾳ χυμοῦ διάφοροι καὶ αἱ ἐπὶ τὸ λευκὸν χωροῦσαι χροιαὶ φανεῖεν κατὰ τὸ*

μέτρον δηλονότι τῆς ἀποτυχίας τῆς πέψεως, ἔνθεν τοι καὶ πρὸς τὸ λεπτότερον κατὰ τὴν σύστασιν χωρεῖ τὰ χύματα, μὴ ῥαδίως τῇ ἐμφύτῳ κρατούμενά τε καὶ πεττόμενα θερμότητι. 16. Διὰ τὰ αὐτὰ δ' ἂν καὶ ἡ ἐπιφάνεια τραχυτέρα ὀφθείη τοῦ στιλβηδόνα παρέχοντος ἠτυχηκότος κατὰ τὴν πέψιν τοῦ χυμοῦ. μείω γε μὴν καὶ ἔνωμα τὰ παρυφιστάμενα τούτοις. 17. Τῷ μὲν γὰρ ἠλαττῶσθαι τὸ θερμὸν καὶ ἡ ἀνάδοσις ἐλάττων, ἐλάττω δ' ἂν εἰκότως εἴη καὶ τά ἀπ' ἐλάττονος τῶν χυμῶν ἀναλήψεως· ταῖς δὲ δι' ἀτονίαν τοῦ θερμοῦ φαύλαις καὶ ἀσθενέσι πέψεσι καὶ τὰ παρυφιστάμενα ἐνωμότερα φαίνεται. 18. Οὐ θαῦμα δέ, εἰ ἀναθολοῦνταί τε καὶ παχύνονται ἤδη τῆς ὠμοχυμίας κρατούσης διὰ τὴν τοῦ πέττοντός τε καὶ ἀλλοιοῦντος θερμοῦ ἀσθενείαν. 19. Ὅπου μὲν γὰρ θερμότης φυσικὴ τῆς ὕλης κατακρατοῦσα ᾖ, τὰ μὲν λεπτὰ τῶν χυμῶν παχύνεται πεττόμενα, τὰ δ' αὖ γε ἑτέρωθεν παχυνόμενα, ταύτῃ λεπτύνεταί τε καὶ διακρίνεται. 20. Ταῦτά τοι καὶ ἀμφοτέρας οἶδε τὰς συστάσεις διαφόρους αἰτίας ἡ κατὰ ψυχρότητα προξενεῖν δυσκρασία. 21. Τὰ μὲν γὰρ λεπτὰ διὰ τὴν ἑαυτῆς μᾶλλον ψιλὴν δυσκρασίαν, ἐκεῖνα δ' αὖ διὰ τὴν δι' αὐτὴν ἐπιγεγονυῖαν τῶν χυμῶν ὠμότητα, ὑγρότης γε μὴν ἐπιμαρτυρηθείη μέντ' ἂν καὶ τῷ ποσῷ τῆς ἐκκρίσεως, συνεπιμαρτυρήσει δὲ καὶ ἡ ἀμαύρωσις τῆς ἀποδιδομένης χροιᾶς. 22. Τῆς γὰρ πέψεως οὐκ ἀκριβοῦς γινομένης τῇ τῆς ὑγρότητος περιουσίᾳ καὶ τὸ σύμμετρον ἐκπεφευγυίας, ἐπιθεῖναι ταύτῃ τῆς συστάσεως ὑπόλεπτα μὲν ἴσως φαίνεται, ἐπιλείποντα δὲ τῇ χροιᾷ τῇ τοῦ πλείονος ἐπιμιξίᾳ ὀρρώδους χυμοῦ, οὐ θαῦμα δ' εἰ καὶ πλείω τε καὶ ἐνωμότερα τὰ παρυφιστάμενα φαίνεται. 23. Τῇ μὲν γὰρ ὑγρότητι τῶν χυμῶν, ῥᾳδία ἡ ἀνάδοσις γίνεται, ὥστε καὶ πλείω κατὰ τὴν κατεργασίαν εἶναι εἰκός, συμβαίνῃ δ' ἂν ἴσως, πλείονος ὄντος τοῦ ἀναδιδομένου ὑγροῦ, μὴ ἀκριβῆ τὴν τῶν ὑγρῶν κατεργασίαν γίνεσθαι, ὥστ' ἐντεῦθεν συμβαίνειν πλείω μέν, ἐνωμότερα δ' ἐνίοτε τὰ παρυφιστάμενα δείκνυσθαι. 24. Ἐπεὶ δὲ ξηρὰ τῷ σώματι γεγονυῖα δυσκρασία μείω μὲν τὰ χύματα τῶν οὔρων φαίνεται διὰ τὴν τῆς ὑγρότητος ὀλιγότητα, τὰ χρώματα δ'

οἷα τὰ κατὰ φύσιν ἐν τοῖς ἀκμάζουσίν τε καὶ γυμναζομένοις ἀνθρώποις, ἐπιτεινομένης δὲ καὶ ταῦτ' ἂν ἐπιταθείη, αἵ τε συστάσεις ὅμοιαι τοῖς ὑγιέσι τε καὶ συμμέτροις, ἐνίοτε δὲ καὶ προσεπιτείνονται. 25. Τὰ μὲν οὖν χρώματα τοιαῦτα μένει μηδέν τι τοῦ χρωννύντος πεπονθότος χυμοῦ, μάλιστά γε μὴν καὶ ἐπιδιδόντος, καὶ τὰ χρώματα ἐπιδιδόασιν. 26. Ὥσπερ δὲ ἐπὶ ταῖς τῆς ὑγρότητος ὑπερβολαῖς οὐκ ἐκράτει ῥαδίως ἡ πεπτικὴ δύναμις, οὕτω νῦν ἐπὶ ταῖς ξηραῖς ῥᾷστα δυσκρασίαις κρατοῦσα οὐ μόνον ἀποδίδωσι τὴν σύμμετρον σύστασιν, ἀλλ' ἐνίοτε καί τι πάχος προσεπιτίθησι, στιλπνότης δέ τις καὶ λειότης ἐπιλάμπει τὴν ἐπιφάνειαν διὰ τὴν τοῦ χρωννύντος χυμοῦ αὐτάρκειαν. 27. Τά γε μὴν παρυφιστάμενα μείω μὲν ὀλίγης οὔσης καὶ τῆς ἀναδιδομένης ὑγρότητος, σύμμετρα δὲ ταῖς ὑποστάσεσι, καὶ ἀκριβῶς πεπεμμένα τῷ κεκρατῆσθαι ταῦτα ῥαδίως ὑπὸ τῆς πεττούσης θερμότητος. 28. Καὶ ὁ μὲν περὶ αἰτίας οὔρων λόγος ἐν τοῖς κατὰ δυσκρασίαν ἁπλὴν φαινομένοις οὔροις οὕτω πως ἀποδιδόσθω· οὐ μέντοι χρεὼν λανθάνειν, ὡς ἐπὶ μιᾷ τἀνθρώπου δυσκράτως ἔχοντος ποιότητι λέλεκται ταῦτα, τῶν ἄλλων ὅσον εἰκὸς συμμέτρων πεφυκυιῶν. 29. Ἐπεὶ δ' ἀκριβῶς ὁ λόγος τὰς ἐπὶ ταῖς ἁπλαῖς δυσκρασίαις διωρίσατο αἰτίας, ἔξεσται τῷ σπουδαίῳ κἀκ τούτων τὰς συμπεπλεγμένας ἐξευρίσκειν ἐπιτεθείσας ποιότητας.

### Κεφ. θ'. Περὶ αἰτίας τῶν κατὰ τοὺς γυμναζομένους καὶ ῥαθύμως βιοῦντας οὔρων.

1. Πρὸς τούτοις ἐν τοῖς περὶ διαγνώσεως εἴρηται, ὡς τοῖς μὲν συμμέτρως γυμναζομένοις καὶ τὰ οὖρα σύμμετρα ἀποδίδοται, οἷα καὶ ἐπὶ τῶν ἀκμαζόντων τε καὶ γυμναζομένων εἴρηται. 2. Τῶν δ' ὑπὲρ τὸ δέον κεκμηκότων τε καὶ γυμναζομένων τὰ οὖρα ἤδη μὲν πρὸς τὸ πυρρόν τε καὶ ξανθὸν χωρεῖ, αἵ θ' ὑποστάσεις τούτων βραχεῖαί τε καὶ λεπταὶ ἀλλοιοῖντο δ' ἂν καὶ κατὰ χροιάν· ἐνίοτέ γε μὴν καὶ συντήγματα ἐπινήχεται τούτοις. 3. Τῶν δὲ νωθρὸν καὶ ἥσυχον μετιόντων βίον τά τε οὖρα πρὸς τὸ λευκὸν χωροίη ἂν καὶ τὰ παρυφιστάμενα πλείω τε καὶ

*ὠμότερα.* 4. *Αἱ μὲν οὖν ἐπὶ συμμέτροις γυμνασίοις αἰτίαι τῶν οὔρων πάλαι ἀποδέδονται τῷ λόγῳ ἐπὶ τοῦ κατὰ πάντα συμμέτρου τε καὶ ἀκμαίου ἀνθρώπου.* 5. *Νυνὶ δὲ ἐπιθῶμεν τῷ λόγῳ καὶ τὰς ἐπ' ἀμέτροις γυμνασίοις τῶν οὔρων αἰτίας, εἶθ' οὕτως τὰς ἐπι νωθρότησι καὶ ἡσυχίαις.* 6. *Ἐπειδὰν τοίνυν πλείων τοῦ προσήκοντος ἡ τοῦ θερμοῦ γένηται κίνησις ἐξαφθεῖσα ὑπὸ τῶν ἐκτὸς γυμνασίων πλειόνων τοῦ προσήκοντος πεφυκότων, ἤδη μὲν ὁ χολώδης ἐπιτείνεται χυμὸς συγκαόμενος ὑπὸ τῆς ἐπιγεγονυίας θερμότητος, ἤδη δὲ διὰ τὴν τοιαύτην ἔξαψιν καὶ τὰ χρώματα τῶν οὔρων πρός τε τὸ πυρρὸν καὶ ξανθὸν ἐπιρρέπει, τοῦ μὲν κατακεραννύντος ὀρρώδους χυμοῦ μειωθέντος, τὴν δὲ ποιότητα τοῦ χολώδους ἐπιταθέντος χυμοῦ,* 7. *Τά γε μὴν παρυφιστάμενα λεπτά τε καὶ βραχέα φαίνεται, τι ὅτε πλείονι θερμότητι καταλελέπτυνται καὶ διαπεφόρηνται συνδιαπνευσθέντα εἴθ' ἱδρῶσιν ἢ καὶ τῇ ἀδήλῳ διαπνοῇ ἐξαραιωθέντος ἐπὶ τόσοις γυμνασίοις τοῦ δέρματος, εἰκός γε μὴν ἐπιταθέντων τῶν τοιούτων γυμνασίων καί τινα συντήγματα ἐπινήχεσθαι ἀπό τε τῶν νεφρῶν δηλονότι καὶ ἄλλων τινῶν ἴσως μερῶν τοῦ σώματος, τῇ τῆς πλείονος μετακινήσεως θερμότητι καὶ τῆς πιμελῆς συντηξάσης.* 8. *Ἐπί γε μὴν τῶν ἥσυχον καὶ ἀγύμναστον μετιόντων βίον τά τε οὖρα τοῦ συμμέτρου ἀφιστάμενα χρώματος χωροίη ἂν πρὸς τὰ λευκὰ βραχυτάτην τοῦ θερμοῦ τὴν κίνησιν ἔχοντος καὶ πρὸς ἑαυτὸ ἐπινεύοντος καὶ τῇ ἀκινησίᾳ οἷον ἀπομαραινομένου.* 9. *Οἷον γάρ τοι ταῖς πυρκαϊαῖς συμβαίνειν εἴωθεν ἀρκούσης ὕλης ἐπισωρευθείσης· ἂν μὲν γὰρ καί τις ἔξωθεν ἐπισυνεργήσῃ κίνησις, ῥᾳδίως τε ἐξάπτεται καὶ κατεμπίπραται ἡ ὕλη, προχείρως δὲ καὶ τὰ προσεπεμβαλλόμενα καταδαπανᾶται, μήτινος δ' ἔξωθεν ἐπιγεγονυίας κινήσεως, δυσχερὲς μὲν τὸ κατακαίειν τὴν ἀποδοθεῖσαν ὕλην.* 10. *Δέος δὲ οὐχὶ μικρὸν μὴ καὶ ἀπομαρανθῇ προσεπιβληθείσης καὶ πλείονος ἑτέρας ὕλης.* 11. *Τοιοῦτόν τι κἀπὶ τῶν γυμναζομένων τε καὶ ἀγυμναστούντων συμβαίνειν εἴωθε. διὰ ταὐτό τοι πρὸς μὲν τὸ λευκὸν ἤδη χωρεῖ τὰ τῶν οὔρων χρώματα ἐπὶ τῶν νωθρὸν καὶ ἥσυχον μετιόντων βίον.* 12. *Τὰ παρυφιστάμενα δὲ*

*πλείω τε καὶ ἐνωμότερα τούτοις εἰκότως ἐπιφαίνεται. τῇ μὲν γὰρ ἡσύχῳ διαγνωσῇ ῥαδία ἡ ἀνάδοσις γένοιτ' ἂν καὶ ἡ ἀλλοίωσις, ἡ δὲ πέψις κατὰ τὴν τοῦ θερμοῦ ἐπικράτειαν.* 13. *'Επεὶ δὲ καὶ τοῦτο δέδεικται, ὡς μὴ κινουμένη ἀπομαραίνεσθαι τῷ χρόνῳ εἴωθεν ἡ θερμότης, εἰκότως ἂν πλείω μὲν ἐπὶ τῶν ῥαθυμοτέρων ἐπισυμβαίη τὰ παρυφιστάμενα, ὠμότερα δὲ τῆς ἀκριβοῦς ἠτυχηκότα πέψεως.* 14. *Καὶ ὧδε μὲν ἐπὶ τῶν γυμναζομένων τε καὶ ῥαθυμούντων κατὰ τὰ οὖρα πανέσθω λόγος. μετιτέον δ' ἐφεξῆς ἐπὶ τῶν κατὰ τὰς ὥρας τε καὶ χώρας ἠλλοιωμένων οὔρων.*

*Κεφ. ί. Περὶ αἰτίας τῶν κατὰ τὰς ὥρας τε καὶ χῶρας οὔρων.*

1. *῞Εαρος τοίνυν ἀρχομένου ἔτι τὰ μὲν χρώματα λευκά τε καὶ ὠχρὰ καί ποτε καὶ παχύνεται, τὰ ποσὰ δὲ τῶν χυμάτων πλείω τῶν ἐξ ἀναλογίας ἀποσιτουμένων, τὰ δὲ παρυφιστάμενα πλείω τε καὶ παχύτερα.* 2. *Προϊόντος δὲ τοῦ χρόνου ἐπὶ τὸ θερμότερον, τά τε χρώματα πρὸς τὸ σύμμετρον ἤδη χωρεῖ καὶ τὰ παρυφιστάμενα ἤδη δὲ θέρους ἠργμένου ὑπόπυρρα μὲν καὶ ὑπόξανθα τὰ οὖρα, λεπτότερα δὲ τὰ παρυφιστάμενα τούτοις φαίνεται.* 3. *'Ακμάσαντος δὲ τοῦ θέρους μείω μὲν τῷ ἐξ ἀναλογίας ποσῷ τὰ χύματα καὶ πρὸς τὸ πυρρὸν ἤδη καὶ ξανθὸν χωρεῖ τοῦ χρώματος.* 4. *Αἱ δὲ συστάσεις αὐτῶν βραχύ τι τοῦ συμμέτρου λεπτότεραι, καί τις ἐπιλάμπει αὐτοῖς στιλπνότης· τὰ δέ γε παρυφιστάμενα λεπτότερα μὲν καὶ μείω, ἤδη δὲ καὶ αὐτὰ ἐπιχρωννύμενα τὴν λευκότητα.* 5. *Παρακμάσαντος δ' ἤδη καὶ φθινοπώρου ἀρχομένου, ὑποχαλᾶται μὲν τά τε χρώματα τῶν τε χυμάτων καὶ τῶν παρυφισταμένων, λεπτὰ δ' ἔτι μένει.* 6. *Προϊόντος δὲ πρὸς τὸ ψυχρότερον ἔτι τὰ σύμμετρα χρώματα ἀποδίδονται· χειμερινῆς δ' ἐπιγεγοννυίας τροπῆς κατὰ μὲν τὸ ποσὸν ἤδη πρὸς τὸ σύμμετρον χωρεῖ, κατὰ δὲ τὰ χρώματα πρὸς τὸ λευκόν, τὰ δὲ παρυφιστάμενα ἤδη πλείω, αἱ δὲ συστάσεις σύμμετροι.* 7. *'Ακμάσαντος δ' ἤδη τοῦ χειμῶνος τὰ μὲν χρώματα τῶν λευκῶν γίνεται, αἱ δὲ συστάσεις ἀνώμαλοι ποτὲ μὲν παχεῖαι ποτὲ δὲ λεπτυνόμεναι φαινόμεναι, τὰ*

δὲ ποσὰ καὶ τῶν ἐξ ἀναλογίας συμμέτρων πλείω τά τε παρυφιστάμενα τούτοις πλείω τε καὶ ἔνωμα ἐπὶ τὸ πλεῖστον φαίνεται. 8. Καὶ τὰ μὲν κατὰ διαφορὰς τῶν ὡρῶν ἀλλοιούμενα οὖρα τοιαῦθ', ὡς ἐν βραχεῖ φᾶναι, λέγεται· λοιπὸν δ' ἂν εἴη καὶ τὰς ἐπὶ τούτοις ἐπιθεῖναι τῷ λόγῳ ἐξευρημένας αἰτίας. 9. Οὕτω γὰρ ἀποδοθέντος τοῦ λόγου καὶ τὰς ἐπὶ ταῖς ἀναλογούσαις ταῖς ὥραις χώρας προσαποδώσεις ῥαδίως, ἀλλ' ἐπαναληπτέον ἤδη τὸν λόγον καὶ τὰς καθ' ἕκαστον τούτων νομιζομένας ἀποδοτέον αἰτίας. 10. Ἔαρος τοίνυν ἠργμένου καὶ τοῦ ἡλίου πρὸς ἡμᾶς ἀναβαίνοντος, ὁπόταν τοίνυν καὶ αἱ Πλειάδες ἀκρόνυχοι ἔτι φαίνωνται, τὰ μὲν χρώματα τῶν οὔρων ἔτι λευκά τε καὶ ὠχρὰ ἐπιφαίνεται καὶ ταῖς συστάσεσιν ἀνώμαλα, πλείω δὲ τῷ ἐξ ἀναλογίας ποσῷ καὶ τά γε παρυφιστάμενα τούτοις πλείω τε καὶ ἔνωμα. 11. Ἔτι μὲν γὰρ τοῦ ψύχους κυριεύοντος, νικᾶται μὲν ἡ ἔμφυτος θερμότης τῷ περιέχοντι. 12. Ἀποτυχίαι δὲ τῆς πέψεως ἐπιγίνονται κατά τε τὰ χρώματα καὶ τὰς συστάσεις. 13. Ὅτε δὲ καὶ τὰ προσφερόμενα πλείω, τῶν δὲ πολλῶν τροφῶν καὶ τὰ περιττώματα πλείω καὶ τὰ παρυφιστάμενα τούτοις πλείω φαίνεται καὶ ἔνωμα, μὴ προσηκόντως τῶν χυμῶν κατεργασμένων. 14. Ἐπὶ δὴ τούτοις πλείω τῷ ποσῷ τὰ οὖρα φαίνεται διὰ τὴν ἐκ τοῦ παντὸς χειμῶνος ἐπισωρευθεῖσαν ὑγρότητα τῶν χυμῶν τῷ σώματι. 15. Τοῦ γάρ τοι χειμῶνος πλειόνων μὲν τῶν προσαγομένων οὐσῶν τροφῶν, πλειόνων δὲ καὶ τῶν ὕπνων καὶ προσέτι τῆς τοῦ περιέχοντος κράσεως ὑγρᾶς τε καὶ ψυχρᾶς τυγχανούσης, χυμῶν ὠμῶν οὐκ ὀλίγη ποσότης ἀθροίζεται, ἀλλὰ χειμῶνος μὲν ἔτι ὄντος, πεπηγυῖα ἡ τοιαύτη ὕλη ἴσως βραχύ τι πλείων τοῦ ἐξ ἀναλογίας συμμέτρου πρόεισιν. 16. Ἔαρος δ' ἐπιλάμψαντος καὶ τῆς καταστάσεως ἔτι ὑγρᾶς τελούσης, τῶν χυμῶν ἤδη πεττομένων κρειττόνως καὶ λυομένων, πολλῷ ἂν ἴδῃς πλείω τῶν προσφερομένων τὰ ἐξουρούμενα. 17. Προϊόντος δὲ τοῦ χρόνου, ὅτε δὴ καὶ Ὑάδες ἐῷαι φαίνονται, τά τε χρώματα καὶ αἱ συστάσεις πρὸς τοῖς παρυφισταμένοις πρὸς τὸ σύμμετρον χωρεῖ. 18. Ἤδη γὰρ τοῦ περιέχοντος καθισταμένου πρὸς τὸ σύμμετρον καί, ὅσα διὰ

*τὴν προγεγονυῖαν ἠλλοιοῦντο κατάστασιν, ἐπαγάγεται πρὸς τὸ σύμμετρον.* 19. *Ἐπὰν γὰρ ἡ τοῦ περιέχοντος κρᾶσις μήτε ψυχρὰ εἴη πάνυ, ὥστ' ἀδικεῖν τὴν ἔμφυτον θερμότητα, μήτ' αὖ ἐπιτεταμένως θερμή, ὡς διαφορεῖσθαι ἤδη καὶ τὴν ἐν ἡμῖν θερμότητα, αἱ φυσικαὶ δυνάμεις τὰς φυσικὰς ἐν ἡμῖν ἐνεργείας πρὸς τὸ κατὰ φύσιν τε καὶ σύμμετρον διεγείρουσιν, οὐδενός τινος θύραθεν ἐμποδὼν προσισταμένου.* 20. *Ὁπόταν δὲ ἑῷος μὲν Ὠρίων ἄρχηται ἐπιτέλλειν, θεριναὶ δ' ἤδη τροπαὶ τυγχάνωσιν, ὑπόπυρρα μὲν καὶ ὑπόξανθα τὰ οὖρα φαίνηται, λεπτότερα δὲ τῶν συμμέτρων τὰ παρυφιστάμενα καὶ εἰκότως.* 21. *Τοῦ γάρ τοι θερμοῦ καθαρῶς ἐν τῷ παντὶ διαχυθέντος σώματι καὶ τῆς εὑρισκομένης ὕλης κατακρατοῦντος, καὶ πέψεως ἐπιγινομένης πρεπούσης, καὶ οὖρα ἀποδίδοται τὸ σύμμετρον ἔχοντα χρῶμα, λεπτότερα δ' οἷον αὐτοῖς τὰ παρυφιστάμενα τῷ εἴδει τούτων τὰ πλείω λεπτύνεσθαί τε καὶ τῷ περιέχοντι διαφορεῖσθαι θερμῷ.* 22. *Ἀκμάζοντος δ' ἤδη θέρους, ὁπότε καὶ Προκύων ἑῷος ἐπιτέλλει, μείω μὲν τὰ οὖρα τῷ ἐξ ἀναλογίας ἀποδιδομένῳ φαίνεται ποσῷ, ἤδη δὲ πρὸς τὸ πυρρὸν καὶ ξανθὸν χωρεῖ τὰ χρώματα καὶ αἱ συστάσεις λεπτότεραι τῶν συμμέτρων, τὰ δὲ παρυφιστάμενα μείω τε καὶ λεπτότερα καὶ ἴσως ἐπιχρωννύμενα τὴν λευκότητα.* 23. *Τοῦ γάρ τοι περὶ ἡμᾶς θερμοῦ ἀκμαίου μὲν ἤδη γεγονότος, ἐφελκομένου δὲ πρὸς ἑαυτό, τὸ ἡμέτερον τοῦτο φυσικὸν πῦρ καὶ τῇ ποιότητι ἐπιτείνοντος, πλείων μὲν χρεία προσφορᾶς γίνεται πόματος, μείων δ' ἡ ἐξ ἀναλογίας ἔκκρισις εἴς θ' ἱδρῶτας καὶ τὴν ἄδηλον, διαφορουμένη διαπνοήν.* 24. *Τῇ γε μὴν διὰ τὸ περιέχον τῆς χολῆς ἐπιδόσει καὶ τὰ χρώματα τοιαῦτα φαίνεται. ὅτι δὲ τοῦ φυσικοῦ συνδιαφορουμένου θερμοῦ αἱ κατὰ φύσιν πέψεις ἀποτυγχάνουσι, καὶ τὰ οὖρα τὴν σύστασιν λεπτότερα ἐπιφαίνεται.* 25. *Τὰ δέ γε παρυφιστάμενα χρώννυται μὲν ἤδη τῇ τῆς χολῆς περιουσίᾳ, μείω δὲ καὶ λεπτότερα φαίνεται τῷ τε διαφορεῖσθαι καὶ λεπτύνεσθαι τὰ πλείω τούτων καὶ τὰς πέψεις ἀσθενεστέρας γίνεσθαι, τῷ θύραθεν ἐκκρινομένου δηλονότι τοῦ φυσικοῦ θερμοῦ.* 26. *Ἤδη δ' ἀρχομένου φθινοπώρου,*

ὅτε δὴ καὶ Ἀρκτοῦρος ἐπιτέλλει, ὑποχαλᾶται μὲν τὰ χρώματα τῶν τε χυμάτων καὶ τῶν παρυφισταμένων πρὸς τὸ σύμμετρον χωροῦντα, λεπτὰ δ' ἔτι μένει καὶ διαφανῆ καὶ μείω. 27. Τοῦ γάρ τοι σφοδροῦ παρηκμακότος θερμοῦ καὶ τὰ δι' ἐκεῖνο χρώματα ὑπενδιδόναι ἄρχεται, καθόσον ἂν ἀπολήγειν ἡ θερμότης φαίνηται. 28. Διά γε μὴν τὴν ἔτι τοῦ περιέχοντος ἐπικρατοῦσαν ξηρότητα μείω καὶ διαφανῆ τά τε χύματα καὶ τὰ παρυφιστάμενα φαίνεται. 29. Προήκοντος δ' ἔτι τοῦ φθινοπώρου, ὁπότε δὴ καὶ Πλειάδες δύνουσιν, ἤδη μὲν σύμμετρα τά τε χρώματα καὶ τὰ παρυφιστάμενα τῶν πέψεων ἀμεινόνων δηλονότι, γινομένων, τῆς ὑπὲρ τὸ δέον διαπνοῆς ἐκ τῆς τοῦ περιέχοντος θερμότητος ἐπισχομένης. 30. Ψυχρῶν γὰρ ἤδη πνευμάτων ἐπιπνευσάντων, τόνον μὲν ἡ ἔμφυτος ἀπολαμβάνει θερμότης, τὴν ἐν πᾶσι δὲ συμμετρίας ταῖς πέψεσιν ἀποδίδωσιν. 31. Ἀλλ' ἤδη χειμερινῆς τροπῆς γινομένης, αἲξ τότε ἑῴα δύνει, τὰ μὲν χρώματα τοῦ συμμέτρου ἀφίστανται, ἤδη λεπταὶ δὲ αἱ συστάσεις, ἔτι καὶ τὰ παρυφιστάμενα πλείω μέν, ἔτι δ' ἴσως τηροῦνται σύμμετρα. 32. Τοῦ γὰρ περιέχοντος γινομένου ψυχροτέρου, συναλλοιοῦταί πως καὶ ἡ ἐντὸς θερμότης, ἐπιδίδωσι δὲ καὶ ὁ φλεγματικὸς τότε χυμός, ὥστε συμβαίνειν ὧδ' εἰκότως καὶ τὸν ἐν ἡμῖν χρωννύντα χυμὸν ἀπημαυρῶσθαι ἡττονηκότα. 33. Ὅτι δ' αἱ προσφοραὶ τῶν τροφῶν πλείους, ἐνεργέστεραι δ' αἱ πέψεις τῷ τε ἤδη τὸ θερμὸν ἐρρῶσθαι καὶ τοὺς ὕπνους πλείους εἶναι, ταῖς πέψεσιν οὐκ ὀλίγα λυσιτελοῦντας, καὶ τὰ παρυφιστάμενα πλείω φαίνεται. 34. Ἀκμάσαντος δ' ἤδη, ὁπόταν καὶ ζέφυρος πνεῖν ἄρχηται, τὰ μὲν χύματα τῶν οὔρων πλείω μὲν τοῦ ἐξ ἀναλογίας ποσοῦ, ἤδη δὲ καὶ λευκὰ φαίνεται. 35. Καὶ τὰς τῶν συστάσεων ἀπωθεῖ ἀμετρίας, τὰ δέ γε παρυφιστάμενα τούτοις πλείω τε καὶ ὠμότερα πρόεισι. 36. Τοῦ γάρ τοι περιέχοντος ψύχους ἐπὶ τοσοῦτον ἐπιταθέντος, ὡς ἤδη μὲν τὴν ἔμφυτον ἀδικεῖσθαι θερμότητα καὶ τοῦ χολώδους δὲ τότε πάντη μαραινομένου χυμοῦ, τοῦ δὲ φλεγματώδους καὶ ἀκμάζοντος, λευκὰ μὲν ἀποδίδοται τὰ οὖρα. 37. Διάφορα δὲ ταῖς συστάσεσιν ἤτοι δηλονότι λεπτὰ δι' ἀποτυ-

γίαν τῆς πέψεως ἐξ ἐπικρατείας συμβᾶσαν τῆς τοῦ περιέχοντος ψύξεως ἢ παχέα καὶ ἀνατεταραγμένα, τοῦ ὠμοῦ καλουμένου οὕτω χυμοῦ κατὰ τὸν ἴδιον καιρὸν ἐπακμάσαντος. 38. Τῷ τε μὴ δεδυνῆσθαι κρατεῖν καὶ πέττειν πλείω τὰ προσφερόμενα τελοῦντα τὴν ἔμφυτον θερμότητα, καὶ τῷ τὸ ψῦχος ἴδιον ἔχειν συνιστᾶν τὰς ὕλας, διὰ ταῦτά τοι καὶ τὰ παρυφιστάμενα ὧδε πλείω διὰ τὴν πλείω τῆς τροφῆς κατεργασίαν, ὠμὰ δὲ καὶ παχύτερα ἐνίοτε ἢ διὰ ψυχρότητα ἀπομαραίνουσαν τὴν ἔμφυτον θερμότητα, ἢ διὰ τὸ πλείω τὴν ἀναδοθεῖσαν ὕλην τῆς κατὰ τὴν θερμότητα τελεῖν δυνάμεως. 39. Αἱ μὲν οὖν τοῖς κατὰ τὰς ὥρας μεταβεβλημένοις οὔροις ἀποδιδόμεναι αἰτίαι τοσαῦται ἂν ἀποδοθεῖεν τοῖς τὰ τοιαῦτα σπουδάζουσιν· ἐντεῦθεν δ' ἄν τις σκοπῶν καὶ τὰς ἐπὶ ταῖς χώραις ἐξεταζομέναις ἀποδώσει αἰτίας. 40. Αἱ δὲ ἐπὶ ταῖς διαίταις μεταβεβλημέναις ἀναλόγως ἕξουσι ταῖς ἐπὶ ταῖς δυσκρασίαις ῥηθείσαις.

### Κεφ. ια'. Περὶ αἰτίας τῶν κατὰ τοὺς εὐχύμους τε καὶ κακοχύμους τροφὰς οὔρων.

1. Οὐ καινὸν δ' ἂν εἴη, εἰ ἐπὶ τῶν εὐχύμων τε καὶ εὐπέπτων τροφῶν ῥᾴδιαι μὲν αἱ πέψεις, ἀκίβδηλα δὲ τὰ παρυφιστάμενα. 2. Τοῖς γάρ τοι φυσικῆς θερμότητος ῥᾳδίως μὲν τὰ εὔπεπτα ἀλλοιούσης, προχείρως δὲ τῆς πέψεως ἐπὶ τοῖς εὐχύμοις ἐνεργουμένης ἑτοίμως πάντα γίνεται, σύμμετρα δ' ἐν πᾶσι τὰ τοῖς οὔροις τεθεωρημένα φαίνεται. 3. Ὥσπερ δῆτα τοὐναντίον ἐπὶ προσφοραῖς δυσπέπτων τε καὶ κακοχύμων σιτίων, δυσχερῶς μὲν αἱ πέψεις γίνονται, διεφθαρότα τε καὶ ποικίλα τὰ παρυφιστάμενα φαίνεται, μὴ παραδεχομένης τῆς πεπτικῆς δυνάμεως τοὺς ἀτροφοῦντας τῶν χυμῶν, ἀλλὰ κἂν τύχοιεν ἀναδοθέντες ἀπωθουμένης. 4. Αἱ μὲν γὰρ ἀπεψίαι γίνονται καὶ διὰ τὴν τῶν προσφερομένων ἀνεπιτηδειότητα. 5. Ἤτοι γὰρ διὰ ποιότητα τῶν προσφερομένων ἡ πεπτικὴ πάσχειν εἴωθε δύναμις, ἢ διὰ ὑπερβάλλουσαν ποσότητα. 6. Τά τε γὰρ πλείω καὶ ὑπὲρ τὴν δύναμιν οὐ ῥᾳδίως κρατεῖται τῇ φυσικῇ θερμότητι, τὰ δὲ τῇ ποιότητι χείρω οὐδὲ

τὴν ἀρχὴν προσλαμβάνεται τῆς ἑλκτικῆς δυνάμεως τὰ οἰκεῖα μόνα ἐπισπωμένης. 7. Κἂν τύχοιεν δὲ προσληφθέντα, τῇ ἀποκριτικῇ δυνάμει ἐκκρίνεται· γένοιτο δ' ἂν καὶ διὰ τὴν τῆς δυνάμεως οἰκείαν βλάβην καθ' οἱανδήτινα διάθεσιν ἐπιγεγονυῖαν. [καὶ ταῦτα μὲν ὧδε.]

Κεφ. ιβ'. Περὶ αἰτίας τῶν κατὰ τοὺς ὑπνηλοὺς τε καὶ ἀύπνους οὔρων.

1. Ὑπνηλῶν δὲ οὖρα εἴρηται ὅσα χρώματι μὲν πρὸς τὸ λευκὸν ἀπέστραπται, συστάσει δὲ ἢ μετρίως λεπτὰ ἢ παχέα ἐν παρυφισταμένοις δὲ πλουτεῖ ὠμοῖς τε καὶ πλείοσιν. 2. Ἀυπνούντων δὲ μάλιστα κατὰ πάθος τὰ οὖρα τοιαῦτα εἴρηται ταῖς μὲν συστάσεσι λεπτά, τοῖς δὲ χρώμασι διάφορα. 3. Ποτὲ μὲν γὰρ λευκὰ πάνυ πέφυκε, ποτὲ δὲ ξανθά τε καὶ πυρρά, ἐλαιώδη τε καὶ μέλανα, τοῖς δὲ παρυφισταμένοις ἔτι μᾶλλον ἀλλόκοτα· ἤτοι γὰρ ἐπιλείπει καὶ ταῦτα ἢ προσόντα μετέωρά τε καὶ τραχέα καὶ τοῖς χρώμασιν οὐκ ἀγαθὰ πέφυκε. 4. Καὶ ὁ μὲν ἐπὶ διαγνώσει λόγος τοιοῦτος· νῦν δὲ καὶ τὰς αἰτίας ὧδε προσθετέον. 5. Τὸν οὖν ὕπνον ἴσμεν γεγενημένον κατὰ φύσιν μὲν ὑγιῶς τοῦ ἀνθρώπου ἔχοντος, ἐπί τε προσηνεῖ ὑγρότητι καὶ μετρίᾳ φυσικῇ θερμότητι, διατεθέντος δέ πως ἑτέρως, ἐπί τε πολλῇ ὑγρότητι καὶ μάλιστα φλεγματώδει καὶ ἐπὶ τροφαῖς τε καὶ φαρμάκοις ψυχροτέροις, τὰς δ' ἀυπνίας ἴσμεν γεγενημένας τὸ μὲν πλέον ἐπὶ ξηρότησιν, ἔσθ' ὅτε δὲ καὶ ἐπὶ θερμότησι πλείοσιν. 6. Ἐπεὶ τοίνυν ἐπὶ τοῖς οὕτως ἢ ἐκείνως διατεθεῖσιν ὕπνοι τε καὶ ἀϋπνίαι γίνονται κατ' εἰκότα λόγον καὶ τὰ τοιαῦτα οὖρα ἀποδίδοται. 7. Δέδεικται μὲν γὰρ ὡς τὰ πρὸς τὸ λευκὸν τοῦ χρώματος οὖρα χωροῦντα καὶ τὴν πέψιν διημαρτημένην δείκνυσιν. 8. Οὐ μεῖον δὲ τούτων δείκνυσι τὰς ἀπεψίας καὶ αἱ τῶν συστάσεων ἀπὸ τῆς συμμέτρου διαπτώσεως καὶ πρὸς τούτοις τῶν παρυφισταμένων τὰ ἔνωμά τε καὶ πλείω. 9. Ὅπη δὴ τοίνυν τοιαῦται ἀπεψίαι γίνονται μέτριαι μὲν οὖσαι αἰσθητὴν μὲν βλάβην οὐκ ἐπάγουσι τοῖς παθοῦσι, φιλυπνεῖν τούτους πείθουσι. 10. Τῆς γὰρ ὠμοχυμίας ἡσυχῇ θερμαινομένης τε καὶ λυομένης, πολλοὶ μὲν οἱ ἐκεῖθεν ὑγροὶ ἀτμοὶ γίνονται, πολὺ δὲ καὶ ὁ ἐγκέ-

φαλος τῆς ἀπ' ἐκείνων ἀπολαύει τροφῆς. 11. Ἐπεὶ δ' οὐκ ἐπιλείπουσιν οἱ χυμοὶ τούτοις ῥαδίως, οὐδ' οἱ ἐπὶ τούτοις ἀτμοὶ ἂν ἐπιλείψαιεν, ὥστε συμβαίνειν ὧδε πλησμένως οὕτω τὸν ἐγκέφαλον ὑγραινόμενον καὶ τοὺς ὕπνους πλείους ἐργάζεσθαι. 12. Ὕπνος γὰρ οἶμαι γίνεται τῆς ἀναδοθείσης ἐν ἐγκεφάλῳ ἀγαθῆς τροφῆς πεττομένης· καθ' ὅσον δ' ἂν αὕτη πέττηται καὶ αἱ αἰσθήσεις ἐναπολαμβάνονται τοῦ ζῴου, τῆς μείζονος τὰς μείους ἀπειργούσας δυνάμεις τε καὶ ἐνεργείας. 13. Ἐπειδὰν δὲ τύχῃ ἡ προσληφθεῖσα τροφὴ πεφθεῖσα, λύεται μὲν τοῦ δεσμοῦ ἡ αἴσθησις, ἐγρήγορσις δὲ οὕτως τοῖς ζῴοις ἕπεται. 14. Ἀλλ' ὁ μὲν περὶ ὕπνου λόγος ἄλλοις ῥηθεὶς ἀρκούντως τανῦν ἡμῖν ἀφείσθω, ἐφεξῆς δ' ἰτέον τῷ λόγῳ. 15. Τῶν μὲν οὖν ὑπνηλῶν διὰ τοιαύτας αἰτίας τὰ οὖρα τοιαῦτα πέφυκεν, ἀύπνων δὲ τἀναντία διὰ τὰς ἐναντίας αἰτίας οἶμαι. 16. Ἐπεὶ γάρ, ὅσα ξηραίνειν εἴωθε, τὰς ἀυπνίας πέφυκε προξενεῖν, εἰκότως ἂν καὶ αἱ ξανθαὶ χολαὶ διαλεπτυνθεῖσαι οὕτω καὶ ἐπὶ τὸν ἐγκέφαλον αὐτὸν διαδοθεῖσαι οὐ μόνον οὐκ ἀποδώσουσιν αὐτῷ τροφὴν ὑγραίνουσαν, ἀλλὰ ἀφαιρήσουσι καὶ τὴν ὑπάρχουσαν, ὡς ἀϋπνεῖν ἐντεῦθεν τὸν ἄνθρωπον. 17. Τὰ γὰρ τοιαῦτα χρώματα δέδεικται χολῆς μᾶλλον ξανθῆς οἰκεῖα ὄντα. 18. Ἐπεὶ δὲ καὶ τὰ παρυφιστάμενα λέλεκται τυγχάνειν πέψεως σύμβολα, πέψις δ' οὐκ ἂν ῥαδίως γένοιτο ἤτοι δυσκρασίας τινὸς ἐπιταθείσης ἢ τἀνθρώπου ἐγρηγορότος, εἰκότως οὖν καὶ τῶν παρυφισταμένων ἐντεῦθεν γένοιτο ἀνωμαλία καὶ σύγχυσις πλείστη. 19. Τὰ δ' ἀκριβῶς λεπτὰ τῶν οὔρων καὶ λευκὰ ἤτοι διὰ τὴν τῆς χολῆς ἐπὶ τὸν ἐγκέφαλον ἀναδρομὴν μείναντα τοιαῦτα τὴν ἀπ' ἐκείνης ὁμιλούσης τῷ ἐγκεφάλῳ δηλώσει ἀγρυπνίαν ἢ διὰ μελαγχολίας εἶδος. 20. Τοιαῦτα γὰρ ὡς ἐπὶ τὸ πλεῖστον τὰ τῶν μελαγχολούντων οὖρα. 21. Ἐλαιώδη γε μὴν καὶ μέλανα θάνατον ἀπειλοῦντα τὸ πλέον οὐδὲν ἴσως καινόν, εἰ ἀγρυπνίαν φέρει καὶ παρακοπήν, ἀλλὰ τὰς ἐπὶ τούτοις ἔχεις κἂν ἄλλοις ῥηθείσας αἰτίας, ὥστε φευκτέον τὸ παλιλλογεῖν οὕτως ἀκαίρως. ἰτέον δ' ἐφεξῆς τῷ λόγῳ.

Κεφ. ιγ΄. Περὶ αἰτίας τῶν κατὰ τοὺς ἀπεπτοῦντας ἐκ πλησμονῆς καὶ λιμώττοντος οὔρων.

1. *Πλείω γοῦν ποτε ἐδηδοκότων καὶ ἀπεπτησάντων λεπτά τε καὶ λευκὰ καί πως ἀνυπόστατα φαίνεται· ἐγχρονιζόντων δὲ ταῖς ἀπεψίαις ἀνώμαλα ταῖς συστάσεσι καὶ τοῖς παρυφισταμένοις, ὥσπερ καὶ ἀσιτησάντων πρώτως μὲν πυρρά τε καὶ ξανθὰ καὶ ταῖς συστάσεσιν ἐπιφαίνεται λεπτά, λιμῷ δ' ἤδη πιεζομένων λευκά τε καὶ λεπτὰ καὶ ἀνυπόστατα φαίνεται.* 2. *Καί ποτε καὶ πρὸς πονηρά τινα μεθίσταται χρώματα, ἀλλά γε κἀν τούτοις ὡς οἷόν τε ἀποδοτέον τὰς αἰτίας τοῖς χρήζουσιν οὐκ ἀγενεῖς ἴσως ὀφθησομένας τοῖς ἀκριβέσι τῶν λόγων ἐξετασταῖς.* 3. *Ἐπεὶ τοίνυν πέψις εἴωθε γίνεσθαι τῶν ἐπεισιουσῶν κρατουμένων τροφῶν, ἀπεψία δὲ ὑπερβαλλουσῶν τὸ μέτρον πολλή, ὥσπερ αὖ ὠμότης ἧττον ὑπερβαλλουσῶν τὸ σύμμετρον, εἰκότως ἂν ὧδε τἀνθρώπου καταβαρύναντος αὐτὸν πλείοσι τροφαῖς, διαμαρτία παντελὴς τῆς πέψεως γένοιτ' ἄν.* 4. *Φαίνεται γὰρ βραχύ τι ἢ οὐδὲν ἐνταῦθ' ἡ φύσις ἐνεργήσασα ταῖς τροφαῖς μήτε χρῶμα μήτε σύστασιν ἀποδοῦσα σύμμετρον, ὑφελομένη δὲ καὶ τὰ παρυφιστάμενα τῇ πολλῇ ἀποστάσει τῆς πέψεως.* 5. *Ἀφ' ὧν γε μὴν ἧττον μὲν τοῦ δέοντος διαπίπτει, τῷ χρόνῳ δὲ βιαζομένη πείθεται στέγειν τὰς διαμαρτίας ταύτας ἡμιπέπτους ἀποδίδωσι καὶ τὰς ἐνεργείας ἡ δύναμις.* 6. *Ὧδε δὲ καὶ περὶ τῶν ἀσιτούντων ῥητέον. ἐπειδὴ γοῦν ἀεὶ τῷ φυσικῷ τούτῳ θερμῷ ὑπεκκαυμάτων χρεία, ἵνα τε αὐτὸ συνίσταιτο καὶ τὰ μόρια τρέφηται, ἀρκούσης μὲν ἐπισωρευομένης ὕλης καὶ τὰ δέοντα γίνεται.* 7. *Ἐπειδὰν δ' αὕτη ἐπιλίπῃ, πρὸς ἑαυτὸ μὲν τοῦτο ἐπινεύει· εἴ τις δὲ ὑγρότης καταδαπανᾷ ταύτην καὶ δριμύτερον ὑφαιρουμένης ταύτης γίνεται.* 8. *Καὶ ὁ ξανθήχολος ὧδε χυμὸς ἐπιδίδωσι ξηραῖς τε καὶ θερμαῖς αὐξάνων διαθέσεσι καὶ τὰ οὖρα κατ' ἐκεῖνο τοῦ θερμοῦ τῆς διαθέσεως γίνεται, μείω δὲ καὶ τὰ παρυφιστάμενα φαίνεται.* 9. *Ἐπιλιπούσης τῆς τροφῆς τἀνθρώπῳ, ἣ δὴ πεττομένη τε καὶ τρέφουσα ταῦθ' ὑφίησι σύμβολα τῆς τροφῆς.* 10. *Ἀλλ' ἐπειδὰν ἐνστᾶν ὡς οἷόν τε τὸ θερμὸν αὖθις ἀπορoῦν τροφῆς ἐνδῷ, ἤδη μὲν αὐτὸ καταμαραίνε-*

ται. 11. Ἤδη δὲ ἡ ἕξις πέφυκε χωρεῖν μαραινομένου τοῦ θερμοῦ πρὸς τὸ ψυχρότερον καὶ τὰ λευκὰ καὶ φαῦλα, εἶθ' οὕτως ἐπὶ τὸ χεῖρον ἀποδίδωσι προχωροῦσα χρώματα καὶ συστάσεις δὲ τοῖς χρώμασι κατ' ἀλλήλους. 12. Ἀλλ' ὁ μὲν περὶ τούτων καὶ τοιούτων λόγος ἀρκούντως οἶμαι ῥηθεὶς ἀφείσθω ἤδη, μήπως καὶ λάθωμεν τῇ ἐπὶ τούτοις πλείονι διατριβῇ τὸ σύμμετρον ἀποδεδωκότες μέτρον τῷ λόγῳ. 13. Ὥστε καὶ ἄλλου ἐπὶ τοῖς λειπομένοις δεηθῆναι λόγου καὶ παθεῖν τὸ τῶν ἀπειροτέρων, οἳ διὰ βραχυτέρας ὁδοῦ τὸ σπουδαζόμενον καταλαβεῖν ἐφιέμενοι διά τινας ἑτέρας ἐκτοπισθέντας διατριβὰς ἐπὶ μακρὰς ἑαυτοὺς περιόδους ἐμβάλλουσιν, ὥστε δίκαιον ἂν εἴη ὡδέ ποθεν ὡς ἀφ' ἑτέρας ἀρχῆς τῶν ἐπὶ τοῖς λειπομένοις ἐξευρημένων ἅπτεσθαι αἰτιῶν. 14. Οὕτω γὰρ ἡμῖν ῥᾴδιόν τε καὶ συντετμημένον ἀποδοθείη τοὐγχείρημα· πρόχειρον δὲ τοῖς ἐν βραχέσι λόγοις πολλὰς ἀφορμὰς μαθεῖν σπουδάζουσι μαθημάτων. 15. Ῥητέον τοίνυν κἀνταῦθα περὶ τῶν ἐν τοῖς γενικοῖς τῶν νοσημάτων ἀναφαινομένων οὔρων καὶ τὰς τούτων προσαποδοτέον αἰτίας. 16. Οὕτω γὰρ προσήκουσαν μὲν τὴν ἐκ τῶν κεφαλαίων ὁ λόγος ἀπολαύει συνθήκην, πέρας δ' αἴσιον ἀποδοθῇ παντὶ τῷ λόγῳ.

### Κεφ. ιδ΄. Περὶ αἰτίας τῶν κατὰ τὰ γενικὰ τῶν νοσημάτων οὔρων.

1. Εἴρηται τοίνυν ἐν τοῖς περὶ διαγνώσεως οὔρων λόγοις, ὡς ἐπὶ τῶν ἐφημέρων πυρετῶν ψιλῶν τελούντων καὶ οὐχ ἑτέρας προσεπιδούσης αἰτίας, οὐκ ἀξιολόγως ἄν τις ἴδῃ τὰ οὖρα μεταβληθέντα. καθὸ γὰρ ἂν τύχῃ μεταβληθέν, βραχέως πάνυ καὶ ἀσαφῶς μεταβάλλεται. 2. Τῶν γάρ τοι ἐφημέρων πυρετῶν διὰ πνεύματος μόνου ἐπὶ τὸ θερμότερον διατεθέντος ἀλλοίωσιν γεγονότων, δικαίως οὐδὲ πάνυ ἐπίδηλος ἐν τοῖς οὔροις γίνεται ἀλλοίωσις. 3. Ἀπὸ μὲν τῶν μικρῶν προφάσεων βραχέων καὶ τῶν κινημάτων γινομένων, μειζόνων δ' ἀπὸ τῶν ἀξιολογοτέρων. 4. Ἐπειδὴ γὰρ τὰ οὖρα τὴν ἀλλοίωσιν τῶν χυμῶν δεικνύουσιν, οἱ δ' ἐφήμεροι τῶν πυρετῶν ἐπὶ ταῖς τοῦ πνεύματος, ὡς εἴρηται, μεταβολαῖς ἐπὶ τὸ θερμότερον γίνονται, οὐκ ἀξιόλογόν τι ἂν ἀλλοιωθῶσι τὰ οὖρα. 5. Πρὶν ἢ γὰρ τὴν τῶν

*χυμῶν αἰσθέσθαι ὕλην τῆς ἐπιγεγενημένης ἀλλοιώσεως τῷ φυσικῷ πνεύματι, οὗτοι προσηκούσης ἐλύθησαν τετυχηκότες διαίτης. 6. Ἀλλ᾽ ἐπὶ μὲν τῶν ἐφημέρων πυρετῶν βραχείας τινὸς τῆς μεταβολῆς γεγενημένης, μέτριαι καὶ αἱ τῶν οὔρων φαίνοιντ᾽ ἂν ἀλλοιώσεις. 7. Ἂν τις δὲ προσοῦσα ὕλη τύχῃ τῷ σώματι διεφθαρμένη ἐπιτηδεία μὲν εἰς ἔξαψιν, βραχείας δέ τινος τῆς κινήσεως δεομένη, ῥαδίως ἐντεῦθεν ἐξάπτεταί τε καὶ καταπίμπραται, τοὺς ἐπὶ σήψει μὲν ἀνεγείρουσα πυρετούς, οὖρα δὲ οἷα οἱ ἐπὶ σήψει χυμῶν προβάλλονται πυρετοὶ ἐπιδείξασθαι, περὶ ὧν νῦν ἐροῦμεν. 8. Τῶν τοίνυν ἐπὶ σήψει χυμῶν γεγενημένων πυρετῶν ὅσοι μὲν ἂν ὦσι διαλείποντες, ἀλλοῖα οὖρα προβάλλονται, ὅσοι δ᾽ αὖ συνεχεῖς ἑτεροῖα διά τε τὴν διεφθαρότων χυμῶν διαφορὰν καὶ τὴν ἐπὶ τούτοις συνέχειάν τε καὶ διάλειψιν. 9. Ῥητέον τοίνυν ἡμῖν πρώτως μὲν περὶ τῶν διαλειπόντων γινομένων πυρετῶν τὰς αἰτίας τούτων ἀποδιδοῦσιν, εἶθ᾽ οὕτως καὶ περὶ τῶν ἑξῆς καθὼς ἂν ὁ λόγος ἀποδώσει προβαίνων.*

*Κεφ. ιε΄. Περὶ αἰτίας τῶν κατὰ τοὺς τριταίους ἀμφοτέρους οὔρων.*

1. *Τῶν ἀκριβῶς οὖν τριταίων τὰ οὖρα πρός τε τὸ πυρρὸν καὶ ξανθόν, ὡς εἴρηται, χωρεῖ τῶν χρωμάτων, σύστασις δ᾽ αὐτῶν καὶ τοῦ συμμέτρου δείκνυται παχυτέρα, καὶ ταῖς μὲν ἀρχαῖς οὐδέν τι προβάλλεται παρυφιστάμενον, τοῦ χρόνου δὲ προϊόντος τά τε παρυφιστάμενα φαίνεται καὶ τὰ χρώματα χωροῦντα πρὸς τὸ σύμμετρόν τε καὶ κατὰ φύσιν καὶ αἱ τοῦ κατέχοντος νοσήματος λύσεις διὰ ταχέως ἥξειν ἐλπίζονται ταῖς πέψεσιν ἐπιμαρτυρηθεῖσαι.* 2. *Τοιαύτη τις ἡ τῶν τριταίων ἐπὶ σέψει διαλειπόντων πυρετῶν διάγνωσις ἐκ τῶν οὔρων φαίνεται· νῦν δ᾽ ἂν εἴη χρεὼν καὶ τὰς ἐπὶ τούτοις δεδωκέναι αἰτίας.* 3. *Τῆς τοίνυν ξανθῆς χολῆς αὐξηθείσης δι᾽ οἱασδήτινας αἰτίας ταύτην ἀπογεννώσας καὶ τῶν φλεβωδῶν ἀγγείων ἀποπλανωμένης ἐκτός, οἱ τριταῖοι μὲν οὕτω καλούμενοι γίνονται πυρετοί, εἰς διαλείματα δὲ καθίστανται, ἅτε μὴ τῶν φλεβῶν ἐντὸς τῆς πλείονος οὔσης ὕλης.* 4. *Κεκοινωνήκασι μὲν γὰρ καὶ αὗται τοῦ τοιούτου χυμοῦ διά τε τὴν ἐγγυ-*

τητα καὶ τὴν τοῦ χολώδους χυμοῦ πληθώραν, ἀλλ' οὐχ ὥστε κατακερασθῆναι τὴν τοῦ αἵματος γλυκύτητα. ἢ γὰρ ἂν καὶ συνεχεῖς ἦσαν οὕτω πυρετοί. 5. Ἐπεὶ τοίνυν τῶν μὲν ἀγγείων ἐκτὸς καθέστηκεν ὁ τοιοῦτος χολώδης χυμός, σέσηπται δέ πως, διὰ τοῦτο τήν τε σηπεδόνα καὶ τὰ διαλείμματα δείξει. χρωσθείη δ' ἂν τὰ οὖρα κατὰ τὴν τῆς χολῆς ἐπίδοσιν. 6. Ἐπεὶ δὲ καὶ πάνυ μὴ διαφθαρεὶς ὁ χολώδης οὗτος χυμὸς ἐν τοῖς τριταίοις δέδεικται πυρετοῖς, τὰ μὲν χρώματα οἷα δὴ καὶ λέλεκται, δείκνυται, διὰ δὲ τὸ πλῆθος καὶ σύμμετρον τῆς χολῆς πάχος διὰ τῶν οὔρων ἀποκρινόμενον. 7. Συμβαίνει καὶ τῆς συμμέτρου φαίνεσθαι τὴν σύστασιν παχυτέραν, ἐπιλείπεται δὲ τὰ παρυφιστάμενα ταῖς ἀρχαῖς τῷ τῆς ἀπεψίας καὶ ἐμφράξεώς τινος λόγῳ. 8. Ἐπεὶ γὰρ οὔτω πέφθακεν ἡ φύσις καταχρατῆσαι τῆς ὕλης, οὐχὶ πέψεσιν ὁλοσχερῶς ἐπεχείρησεν, ὥστε οὐδὲ παρυφιστάμενα διὰ τοῦτο φαίνεται σύμβολα καθεστηκότα τῆς πέψεως. 9. Ἐπειδὰν μέντοι ἑαυτὴν ἐπισυνάγηται καὶ ῥώσῃ, ἀπώσηται δὲ τὰ περιττὰ προσπαραλαβόμενα τὰ δέοντα, καὶ καλῶς καὶ κατὰ κόσμον διαθείη τὰ κατὰ τὸν λυποῦντα χυμόν, ἤδη μὲν πέψεως ἐπιφαίνονται σημεῖα τὰ παρυφιστάμενα δηλονότι, πρὸς τὸ σύμμετρον δὲ τά τε χρώματα καὶ αἱ συστάσεις χωροῦσιν. 10. Ἀλλ' ὁ μὲν περὶ τῶν ἐπὶ τριταίοις ἀκριβέσιν οὔρων λόγος τοιοῦτος ἄν, ὡς ἐν βραχεῖ φάναι ῥηθείη. 11. Νόθων δὲ τριταίων οὖρα καὶ τὸ πυρρὸν μὲν ὑπερβάλλει τοῦ χρώματος, ἤδη δέ ποτε καὶ οἰνωπὸν προβάλλεται· τῇ δὲ συστάσει ταῦτα καὶ τῶν ἐπὶ τοῦ ἀκριβοῦς τριταίου παχύτερα, τὰ δὲ παρυφιστάμενα τούτοις ἤτοι μείω τε καὶ φαῦλα ἢ τὴν ἀρχὴν οὐδ' ὅλως φαίνονται. 12. Δεόντως οὖν ἄν τις τὸν τοιοῦτον νόθον τριταῖον πλήθει τε καὶ ποιότητι χολῆς τὸν ἀκριβῆ τριταῖον ὑπερβάλλεσθαι, ὥστε καὶ πλείονος διὰ τοῦτο ἐς πέψιν δεηθῆναι χρόνου. 13. Καὶ γὰρ τὰ τοιαῦτα οὖρα καὶ πάλαι λέλεκται ἐν τοῖς περὶ διαγνώσεώς τε καὶ αἰτίας χρωμάτων λόγοις ὑπὸ πλείονός τε καὶ φαυλοτέρας γίνεσθαι χολῆς. 14. Οὐ θαῦμα δ' ἂν εἴη, εἰ πλείονος ἐς πέψιν χρόνου τοῦτο δεήσει, πολλῆς μὲν οὔσης τῆς διασαπείσης ὕλης, πλείονος δὲ χρόνου

δεομένης ἐς πέψιν, κραταιᾶς δὲ τῆς δυνάμεως. 15. Τάχα δ' ἄν τι κἂν τοῖς περὶ προγνώσεως περὶ τούτου ῥηθείη. νῦν δὲ ἐφ' ἕτερον ὁ λόγος μεταβαινέτω κεφάλαιον ἀρκούντως ὁμιλήσας ἐν τοῖσδε.

Κεφ. ις'. Περὶ αἰτίας τῶν κατὰ τοὺς τεταρταίους οὔρων.

1. Τεταρταίων τοίνυν ἀπὸ σπληνὸς μᾶλλον τὴν ἀρχὴν εἰληφότων τῆς συστάσεως λεπτὰ μὲν καὶ λευκὰ ταῖς ἀρχαῖς τὰ οὖρα διαφαίνεται· τοῦ χρόνου δὲ προϊόντος ταῖς ἀνέταις μᾶλλον τῶν ἡμερῶν ἀθρόα καὶ ὠμὰ δείκνυται τούτοις τὰ παρυφιστάμενα. 2. Καί ποτε δι' ὅλου ἀναθολοῦται τὰ χύματα, ταῖς δὲ τὸν παροξυσμὸν ἐχούσαις ἔτι που λεπτὰ καὶ τὰ παρυφιστάμενα μέτριά τε καὶ λεπτὰ προβάλλεται, πρὸς λύσιν ἤδη κεχωρηκότος τοῦ πάθους. 3. Ἐνίοτέ γε μὴν καὶ μέλανα φαίνεται οὖρα τὴν τοῦ κατέχοντος ὑπαγορεύσοντα πάθους ἀπόλυσιν· ὅσοι γε μὴν διὰ τετάρτης παροξυνόμενοι πυρετοὶ ἔμφασιν μὲν παρέχουσι τοῦ ῥηθέντος τεταρταίου πυρετοῦ, πολλῷ δέ γε λείπονται, διὰ τὸ μᾶλλον ἐπὶ θερμῇ τοῦ ἥπατος γίνεσθαι δυσκρασίᾳ, ὑπέρυθρα μὲν καὶ ἐρυθρὰ καὶ οἷα ἡ σανδαράχη οὖρα προβάλλονται. 4. Λεπταὶ δὲ τούτοις αἱ συστάσεις πρώτως, ἐνίοτε δὲ καὶ παχύνονται, τά γε μὴν παρυφιστάμενα. 5. Καὶ ταῦτα μὲν οὐκ ἄμοιρα χρωμάτων πυρρῶν καθέστηκεν, ἔσθ' ὅτε δὲ καὶ ἀνώμαλα τούτοις τὰ παρυφιστάμενα φαίνεται, ὥσπερ καὶ τῶν χυμάτων τὰ χρώματα. 6. Δέδεικται μὲν οὖν ἐν ἄλλοις ὡς ὁ τεταρταῖος διαλείπων πυρετὸς ἐπὶ διαίτῃ ψυχρᾷ τε καὶ ξηρᾷ τῇ τὸν μελαγχολικὸν ἀπογεννώσῃ χυμὸν συνίσταται. 7. Ὁπόταν τοίνυν ὁ τοιοῦτος αὐξηθῇ χυμὸς καὶ κατὰ τὸ τοῦ σπληνὸς ἀπερεισθῇ σπλάγχνον, τοὺς διὰ τετάρτης ἐπάγει παροξυσμούς, λευκὰ δὲ καὶ λεπτὰ τὰ οὖρα προβάλλεται. 8. Τοῦ γὰρ τοιούτου χυμοῦ παχέος μένοντος καὶ διὰ τοῦτο ἐμπράττοντος, καὶ ἄλλως δὲ ψυχροῦ τυγχάνοντος, καὶ τὴν ἔμφυτον, ὡς ἴσμεν, ἀδικοῦντος θερμότητα, φαῦλαι μὲν αἱ πέψεις γίνονται, λεπτὰ δὲ καὶ λευκὰ τὰ οὖρα φαίνεται, οὐχ ἧττον διὰ τὴν ἐκ τῆς τοῦ χυμοῦ ψυχρότητος ἀδικίαν, ἢ διὰ τὴν αὐτοῦ ἐπὶ τοὺς πόρους οἷον ἐπι-

πωμάτισιν. 9. Ἐπιφράξας γὰρ τοὺς πόρους ὁ αὐξηθεὶς χυμὸς διὰ τὴν παχύτητα ἔτι καὶ τῶν διὰ ψιλὴν ψυχρότητα λεπτῶν λεπτότερα προιέναι ποιεῖ. 10. Τοῦ γε μὴν χρόνου προήκοντος καὶ τῷ χρόνῳ τοῦ χυμοῦ λεπτυνομένου, εὐδίοδος μὲν ἡ ὕλη ἤδη γίνεται τοῖς οὐρητικοῖς ἀγγείοις, ἀθρόαι δ' ὑποστάσεις ἐπιφαίνονται, ἢ μὴν καὶ δι' ὅλου ἀνατεταραγμένα τὰ οὖρα, ἀλλὰ τὰ μὲν πάχη τε καὶ τὰ παρυφιστάμενα διὰ τὴν ἐπιγεγονυῖαν ἤδη λέπτυνσιν ἐπιφαίνεται τῶν χυμῶν. 11. Αἱ δὲ δὴ λευκότητες διὰ τὴν ἐκ τοῦ χυμοῦ ψυχρότητα ἣ τὴν πέψιν οἷον ἀπείργουσα σύμμετρον οὐκ ἐᾷ σύστασιν τοῖς οὔροις χαρίζεσθαι. 12. Οὐ θαῦμα δ', εἰ καὶ μελάνων οὔρων διαχωρούντων λύσιν τεκμαιρόμεθα τοῦ τεταρταίου. 13. Αὐτὸς γὰρ οἷον ἀρχὴ καὶ ῥίζα πέφυκεν ὁ μελαγχολικὸς χυμὸς τοῦ τεταρταίου δὴ πυρετοῦ, ὃς ἐκκρινόμενος ἤδη ἀφεῖσθαι δείκνυσι τὸν ἄνθρωπον τοῦ νοσήματος, οὐκ οἶδα δ' ὁποίου φύτου ῥίζης ἀποτμηθείσης ἢ πρὸς τοὐμπανὲς χωρησάσης οὐχὶ καὶ τὰ μετ' αὐτὴν ὡς τὴν ἀρχὴν ἀπολελωκότα διαφθαρείη τε καὶ μαρανθείη. 14. Ὁδ' ἐφ' ἥπατι κακῶς διατεθέντι λεγόμενος τεταρταῖος κατ' εἰκότα λόγον τοιαῦτα οὖρα προβάλλεται. 15. Αὐτοῦ γὰρ δὴ τοῦ σπλάγχνου φλεγμαίνοντος ἤδη καὶ ἄλλως δὲ ἐπιτεταμένως θερμανθέντος δι' ἐπιρροήν τινα θερμοτέρας ὕλης, συνδιαθερμαίνεται μὲν τὸ φλεβῶδες γένος, ἐπιζεῖ δὲ τὸ αἷμα, ἡ δὲ χολὴ προσεπιδοθεῖσα συνδιατίθησιν οὕτω τὸ σῶμα, ὥστε συμβαίνειν καὶ τὰ οὖρα διὰ ταῦτα εἰς τοιοῦτον χρώματος εἶδος μεθίστασθαι. 16. Ἀνώμαλα γε μὴν ἔσθ' ὅτε τὰ χρώματα τούτοις φαίνεται διά τε τὰς ἐμφράξεις καὶ μὴ προσηκούσας διαίτας, ἤτοι τοῦ χρωννύντος ἐπιφραττομένου χυμοῦ, ἢ καὶ μεθισταμένου ἐφ' ἕτερα τοῦ σώματος μέρη. 17. Εἰ γε μὴν καὶ σφυγμῶν ἅψασθαι δεῖ, οὐδ' ἀκριβῶς ἐντεῦθεν ἂν στοχάσαις τοῦτον διαλείποντα τελεῖν πυρετόν, ὥστε καὶ συνεχῆ μᾶλλον ἄν τις φαίη διὰ τετάρτης παροξυνόμενον. 18. Ἐπεὶ δέ τοι καὶ ταῖς ἐπικρατούσαις ἔσθ' ὅτε συνηθείαις τῶν ὀνομάτων εἴκειν χρεών, ἁπλῶς καὶ οὗτος τεταρταῖος καλείσθω, δόξαν οὕτω τοῖς πλείοσιν.

Κεφ. ιζ. Περὶ αἰτίας τῶν κατὰ τοὺς ἀφημερινοὺς πυρετοὺς οὔρων.

1. Ἀφημερινοῦ γε μὴν οὖρα λευκὰ καὶ λεπτὰ καὶ ὑδατώδη πρώτως, τοῦ χρόνου δὲ προϊόντος καὶ παχύνονται καὶ ἀθρόας δείκνυσιν ὑποστάσεις ἥπατι τοῦ χυμοῦ πεττομένου. 2. Καὶ ὁ τοιοῦτος πυρετός, ὡς εἴρηται, ἀπὸ ψυχρῶν τε καὶ ὑγρῶν τροφῶν, παραπλησίους χυμοὺς διαίτης ἀπογεννώσης, συνίσταται, ὥστε καὶ διὰ ταῦτα πάντα τὸν ὠμὸν οὕτω καὶ φλεγματώδη ηὐξημένον χυμὸν φαῖεν ἂν ἀδικεῖν τὴν ἔμφυτον θερμότητα τῇ περιουσίᾳ τῆς ψύξεως, ἀποκλείειν δὲ τοὺς πόρους, ὥστε λεπτά τε καὶ λευκὰ καὶ ἀνυπόστατα διὰ ταῦτα τὰ οὖρα φαίνεται καὶ τοῦ μέν, ὡς εἴρηται, φυσικοῦ κατακρατοῦντος θερμοῦ ἀλλοίωσις τις καὶ πέψις καὶ θρέψις γίνεται. 3. Τούτου δὲ τοῦ οἰκείου τόνου διαπεπτωκότος καὶ τὰ οὖρα διημαρτηκότα φαίνεται τοῦ προσήκοντος. 4. Ἀναρρωσθείσης μέντοι τῆς ἐμφύτου θερμότητος λεπτύνεται μὲν τὸ πολὺ τῆς παχύτητος, διακρίνεται δὲ τὸ περιττὸν τῆς ὠμότητος. 5. Ἀλλ' ὁ μὲν περὶ διαλειπόντων πυρετῶν λόγος ἀρκούσας ἀποδεδωκὼς ἐς αἰτιολογίας προφάσεις ὧδέ πῃ καὶ παυέσθω. 6. Ἑξῆς δ' ἁπτέσθω τῶν ἐπὶ σήψει συνόχων τε καὶ συνεχῶν καὶ τῶν ὑφ' οἱασδήτινος ἀμέτρου γεγενημένων θερμότητος, εἶθ' οὕτως καὶ ἐπὶ τῶν ἀπὸ ψυχρότητος οἱασδήτινος, ἵν' ὅπως καὶ τὰς ἐπ' αὐτοῖς αἰτίας ἀπολαβὼν ὁ λόγος καὶ αὐτὸς εἶθ' οὕτως συμπερανθείη.

Κεφ. ιη'. Περὶ αἰτίας τῶν ἐπὶ σήψει συνεχεῖ πυρετῶν οὔρων.

1. Τῶν τοίνυν ἐπὶ σήψει συνόχων τε καὶ συνεχῶν πυρετῶν ἐπὶ τὸ χεῖρον μὲν τὰ χρώματα πρόεισι τῶν οὔρων, φαῦλα δὲ καὶ τὰ παρυφιστάμενα τούτοις φαίνεται καὶ ποικίλα κατὰ τὴν τῶν ἐπικρατούντων χυμῶν ποιότητα. 2. Τῶν γάρ τοι ἐπὶ σήψει πυρετῶν ἤτοι ὑπὸ ἀκραιφνοῦς γεγενημένων διασαπείσης χολῆς ἢ ὑπὸ αἵματος ἢ χυμοῦ φλεγματώδους ἢ μελαγχολικοῦ ἢ καὶ ἐκ πάντων συμμεμιγμένων ὥσπερ καὶ ἐκ δυοῖν ἢ τριῶν χυμῶν συμπεπλεγμένων διαφόρως. 3. Τῶν μὲν ἐφ' ἁπλοῖς χυμοῖς γεγενημένων πυρετῶν ῥᾴδια ἄν τις εὕρῃ τὰς διαγνώσεις καὶ τὰς αἰτίας, εἶθ' οὕτως ἀποδῴη. 4. Τῶν δὲ συμπεπλεγμέ-

νων δυσχερὴς μὲν ἡ ἀκριβὴς διάγνωσις καὶ ἡ ἐξαγγελία ὀνομάτων ἠμοίρησεν οἰκείων. 5. Ἔνθεν τοι τῶν μὲν ἁπλῶν ὡς εὐλήπτων ἐπιμνησθῶμεν καὶ πάλαι διασαφήσαντες περὶ τούτων ἐν τοῖς περὶ διαγνώσεως οὔρων λόγοις. 6. Τὰ δὲ συμπεπλεγμένα ἐπείπερ ὀνομάτων οἰκείων ἠμοίρησεν, ἐάσωμεν τοὺς περὶ τὰ τοιαῦτα σπουδαίους ταῖς ἐπινοίαις μανθάνειν. 7. Τῶν οὖν ἐπὶ σήψει αἵματος πυρετῶν τὰ οὖρα ὑπέρυθρα μὲν καὶ ἐρυθρὰ καὶ οἰνωπὰ προϊόντα, μετ' οὐ πολὺ δὲ καὶ παχύνεται καὶ παραπλήσια προβάλλεται τὰ παρυφιστάμενα. 8. Ἐπεὶ τοίνυν ἐπὶ τούτοις αἵματος ἐπίδοσις ἐν ταῖς φλεψὶν ἐπιφαίνεται, ὅπου δὲ ἐπίδοσις τὸ μέτρον ὑπερβάλλουσα τὸ προσῆκον καί τις ἕπεται διαφθορά, εἰκότως ἂν ὧδε τῷ μὴ κρατεῖσθαι διὰ πλῆθος τὸν αἱματικὸν τοῦτον χυμόν, ὅσον ἀχρεῖον τούτου καὶ περιττὸν ἐν οὔροις ἀποδίδοται καὶ τὰ τοιαῦτα ἀποδίδωσι χρώματα. 9. Εἴωθέ γε μὴν ταχύτερον τῶν λοιπῶν παχύνεσθαι οὔρων τὰ τοιαῦτα διὰ τὴν τοῦ μαρτυρημένου οἰκειότητα χυμοῦ. 10. Βραχείας γάρ τινος οὗτος ἐπιδεῖται ῥοπῆς εἰς πέψιν, ὅτι δ' ἡ πεπτικὴ κατακρατεῖται, δύναμις τῷ πλήθει καὶ τὰ παρυφιστάμενα δείκνυσι μὴ τὸ κατὰ φύσιν ἀπολαβόντα χρῶμα. 11. Χολῆς δ' ἐπικρατούσης καὶ συσσαπείσης ἐν τῷ φλεβώδει γένει, μετρίως μὲν ξανθὰ καὶ ἐρυθρά, πλειόνως δὲ κυανά τε καὶ χλωρὰ καὶ ἤδη μέλανα, χολώδη δὲ καὶ πάνυ φαῦλα, εἴ γε πάρεισι τὰ παρυφιστάμενα τούτοις. 12. Τοῦ γὰρ τοιούτου κεκρατηκότος χυμοῦ καὶ τὸν αἱματικὸν τῇ κοινωνίᾳ διαφθείροντος χυμόν, τῷ δέ γε πλήθει καὶ τῇ ποιότητι καταβαλόντος τὴν δύναμιν, συναναδιδομένου δὲ καὶ τοῖς τρέφουσι χυμοῖς, δεινὰ μὲν τὰ παρυφιστάμενα δείκνυται, φαῦλα δὲ καὶ τὰ χρώματα. 13. Ἐπὶ δὲ τῶν φλέγματος συσσαπέντος οἷον συνεχῶν πυρετῶν ὑπόλευκα μὲν καὶ παχέα οἷα τὰ γλαυκά τε καὶ χαροπά. 14. Τῷ γὰρ χρώματι διασημαίνει τὴν τοῦ χρωννύντος χυμοῦ ποιότητα, ὠμότερα δὲ καὶ τούτοις τὰ παρυφιστάμενα διὰ τὸ τοῦ χυμοῦ δυσκατέργαστον ἤτοι τῷ πλήθει τούτου κατακρατοῦντος τῆς ἐμφύτου δυνάμεως, ἢ τῆς δυνάμεως διὰ ἑαυτὴν πασχούσης καὶ ὑπ' ὀλίγων χυμῶν ῥᾳδίως καταπονουμένης. 15. Μελαγχολικὸς δ' εἴ ποτε

*διασαπεὶς τε καὶ διαδραμὼν τὸ σῶμα χυμὸς πυρετὸν ποιήσειεν, ἀγεννὴς καὶ οὗτος κατὰ τὸν ἐπὶ τῷ φλεγματώδει ηὐξημένον χυμῷ.* 16. *Λευκὰ μέντοι ἴσως καὶ λεπτὰ πρώτως ποιήσει τὰ οὖρα, συγκατικὼν δ' ὡς πρὸς ἔξοδον φαιά τε καὶ μέλανα.* 17. *Τὰ μὲν οὖν πρῶτα διά τε τὴν ἐπιπωμάτησιν τοῦ χυμοῦ καὶ τὴν ἐπὶ τὰ ἄνω ῥοπήν, τὰ δεύτερα δὲ διά τε τὴν ἀπόφραξιν καὶ τὴν ἐπὶ τὰ κάτω ῥοπήν.* 18. *Καὶ ταῦτα μὲν σπάνια· δεῖ μέντοι γε εἰδέναι. περὶ γὰρ τῶν ἐνδεχομένων, ἀλλ' οὐχὶ τῶν ὡς ἐπὶ τὸ πολὺ φαινομένων ἡμεῖς εἰπεῖν προὐθέμεθα, περὶ δὲ τῶν κατὰ τὰς φλεγμονὰς καὶ ἐρυσιπέλατα κατὰ τοὺς ἐντὸς πεπονθέτας τόπους οὔρων εἴρηται μὲν ἐν τοῖς περὶ διαγνώσεως οὔρων ἀρκούντως. νῦν δὲ τὰς αἰτίας ἀποδοτέον.*

### *Κεφ. ιθ'. Περὶ αἰτίας οὔρων τῶν κατὰ θερμὴν διάθεσιν καιρίων πεπονθότων μορίων.*

1. *Καὶ γοῦν τὰ μὲν ἐγγυτέρω τῆς τοῦ θερμοῦ πηγῆς τῇ τε ἐγγύτητι καὶ καιριότητι μᾶλλον τὰ οὖρα χρώννυσι διὰ τὴν τῶν μορίων δηλονότι εὐπάθειαν, λεπτὰ δὲ πρώτως φαίνεται καὶ παρυφισταμένων παρὲξ ἔσθ' ὅτε διὰ τὸ μήπω τὴν ἐπισωρευθεῖσαν ὕλην τῇ τῆς παρὰ φύσιν θερμότητος ὁλκῇ πεπέφθαι καὶ διὰ τὸ τὴν φύσιν ἀεὶ περὶ τὰ κατεπείγοντα διατρίβειν.* 2. *Οὐ γάρ ἐστιν οὐκ ἔστι καὶ τῶν φαυλοτέρων ταύτην ἐπιλαθέσθαι τῶν οἰκονόμων τούτων πολλῷ γε συμπαθεστέραν πεφυκυῖαν.* 3. *Τοῦτο δὲ ἢ τῷ τὴν ὕλην ὑπερβαλεῖν ἢ τῷ τὴν δύναμιν αὐτὴν προαποκαμεῖν τοῦ ἀγῶνος γίνεται.* 4. *Πεφθείσης δ' ἤδη τῆς φλεγμονῆς παχύνεται μὲν τὰ οὖρα καὶ ὑποχαλᾶται τῆς ἐπιτεταμένης χροιᾶς. ἀθρόας δὲ καὶ διεφθορυίας τὰς ὑποστάσεις ἔχει ἐκεῖθεν ἀποκρινομένου τοῦ περιττοῦ.* 5. *Ἔστι γε μὴν ὅτε καὶ πῦον ὑφιζάνει διουρηθὲν ἀπὸ τοῦ πεπονθότος τόπου.*

### *Κεφ. κ'. Περὶ αἰτίας οὔρων τῶν κατὰ ψυχρὸν διάθεσιν καιρίων πεπονθότων μορίων.*

1. *Τῶν γε μὴν ἐπὶ ψυχρότητα πεπονθότων τόπων λεπτὰ μὲν καὶ λευκὰ ὡς εἴρηται τὰ οὖρα φαίνεται καὶ*

*ἀνυπόστατα τὸ πλέον, ἔσθ' ὅτε δὲ καὶ παχέα, μετὰ παρυφισταμένων ὠμῶν τε καὶ φλεγματωδῶν.* 2. *Πολλοῦ τοίνυν τοῦ κατὰ τὸ λευκὸν πλάτους τεθεωρημένου, κατὰ τὰ μέτρα τῆς ψυχρότητος καὶ ταῦτα μεταβάλλεται.* 3. *Ἐπειδὰν γάρ τοι μέρος τοῦ σώματος διατεθῇ ἐς μείω τε καὶ πλείω ψυχρότητα, κατὰ μὲν τὴν τῆς ψυχρότητος ποσότητα καὶ τὰ οὖρα συμμεταβάλλεται.* 4. *Ἐπὰν γὰρ ἡ ἐπικρατήσασα ψυχρότης προϊοῦσα καὶ μέχρις αὐτῆς τῆς καρδίας ἀφίκηται, κατασείει μὲν τὸν τῆς καρδίας τόνον, ὡς οἷόν τε, ἀσθενέστερον δὲ τὸ θερμὸν ποιεῖ.* 5. *Καθόσον δ' ἂν αὐτὸ μαλακισθὲν ἀπαγορεύσῃ τὴν οἰκείαν ἐνέργειαν, ἀσθενέστεραι μὲν αἱ πέψεις γίνονται· πέψεων δὲ ἀσθενῶν οὖρα φαίνονται.* 6. *Καὶ ταῦτα μὲν οὖν κἀν τοῖς περὶ διαγνώσεως οὔρων εἴρηται, ὥστε οὐ δεῖ τὸν περὶ τούτων ἔτι μηκύνειν λόγον.* 7. *Ἐπεὶ δὲ καὶ ὁ πᾶς περὶ αἰτίας λόγος ὧδ' ἱκανῶς ἀποδοθεὶς ἔχει, καὶ τοῦ πορρωτέρω βαίνειν ληγέτω, καί τοι πολλῶν ἑτέρων βιαζομένων τὸν λόγον εἰς ἐπίδοσιν, ὥστ' ἂν μή τις νόμος ἡμᾶς ἀπεῖργε βραχυλογίας, ἐπεθήκαμεν ἂν τῷ λόγῳ καὶ ἕτερον τὸ περὶ τὰς ἀφορμὰς τῶν διαγνώσεων.* 8. *Τοῦ θεωρητικοῦ τῆς τέχνης ἐνδεικνύμενοι τὸ φιλότιμον ἀποχρῶσαν δ' ἂν ὁ λόγος τὴν ἐν πᾶσι σχοίη συνθήκην, εἰ μετὰ τοὺς περὶ αἰτίας λόγους τοὺς περὶ προγνώσεως θείημεν, χρειώδεις μὲν τῇ τέχνῃ τυγχάνοντας, προφητὰς δ' οἷον τῶν τῆς φύσεως κινημάτων τοὺς περὶ τὰ τοιαῦτα σπουδαίους ἀπεργαζομένους.* 9. *Θεοῦ δ' ἂν εἴη καὶ τοῦτο δῶρον, εἰ κατὰ θυμὸν καὶ τοῦδε τοῦ λόγου τὸ μέρος προβαίη, δόξαν μὲν οὐκ εὐδιάβλητον περιποιούμενον τοῖς μετιοῦσι λυσιτέλειαν δ' οὐκ ἀγεννῆ τοῖς κάμνουσιν, ὥστε διὰ ταῦτα πέρας μοι ὁ περὶ αἰτίας οὔρων λόγος ὧδ' ἐχέτω· ἐναρκτέον δ' ἤδη καὶ τοῦ περὶ προγνώσεως οὔρων.*

# *ΠΕΡΙ ΠΡΟΓΝΩΣΕΩΣ ΟΥΡΩΝ*

## *ΤΟ Α.*

---

### *Προοίμιον.*

1. *Ἐδόκει τισὶ τῶν τὰς προγνώσεις διαβάλλειν προχείρων, μὴ οἷόν τ' εἶναί τινα περὶ τῶν ἀποβησομένων προειδέναι ἐν τοῖς κατ' ἀκολουθίαν φύσεως γινομένοις πράγμασιν, ἐποίει δὲ τοῦτ' αὐτοὺς λέγειν τε καὶ διαβάλλειν ἥ τε σφᾶς κατέχουσα τῶν γινομένων κατὰ φύσιν ἄγνοια καὶ ἡ περὶ τὰ καλὰ τῶν μαθημάτων ζηλοτυπία, ὥστε καὶ δέος οὐκ ὀλίγον ἐνεποίει τοῖς κατὰ λόγον ἐπιστήμης τὸ προειδέναι μετιοῦσιν ἡ τῶν προχείρων τὰς προγνώσεις διαβάλλειν αὐθάδεια.* 2. *Οἵ τε γὰρ οἱουσδήτινας σχηματισμοὺς ἀστέρων καὶ ποιότητας ἐξετάζοντες συνόδους τε καὶ οἰκοδεσποτείας καὶ ἄλλ' ὅσα ἐπὶ τούτοις λέγεταί τε καὶ γράφεται, καὶ πρὸς τούτοις τὰς περὶ στοιχεῖα ἀλλοιώσεις οἱασδήτινας προεπιγινώσκοντες τῇ θεωρίᾳ τῆς ἐπιστήμης εὐλαβοῦνται τὸ τῶν πολλῶν ὡς εἰς διαβολὴν πρόχειρον καὶ σιωπᾶν ἄμεινον τίθενται.* 3. *Εἰσὶ γὰρ οἳ καὶ τερθρείαις ταῦτα καὶ ὁμιλίαις μᾶλλον δαιμονίων προσάπτουσι, τὴν σφῶν αὐτῶν ἐντεῦθεν περὶ τὰς κατὰ φύσιν ἀλλοιώσεις γινομένας ἄγνοιαν ἐξελέγχοντες, οἵ τε ὀνειροσκοπίαις καὶ τισι παραπλησίαις φυσικαῖς ἀρχαῖς τῶν καθ' ἡμᾶς πραγμάτων προορώμενοι τὸ ἀποβησόμενον λανθάνειν μὲν πειρῶνται διὰ τὸ τῶν πολλῶν ἀπρόοπτον.* 4. *Κινδυνεύει δὲ οὕτω τὰ καλὰ μαραίνεσθαι τῷ χρόνῳ.* 5. *Οἵ γε μὴν τοιοῦτοι θαυμάζοιντ' ἂν μᾶλλον τοῖς σοφοῖς ἢ διαβάλλοιντο, ἐπόπται πεφυκότες τῶν κατὰ φύσιν γινομένων πραγμάτων.* 6. *Ἀλλ' ὁ μὲν περὶ τούτων λόγος ἄλλοις ἂν μᾶλλον ἁρμόσειεν, ὅσοις δῆτα τὸ μετιέναι ταῦτα εὐκταῖον ἔργον καθέστηκεν, ἡμῖν δὲ ἰατρικὴν μὲν τέχνην μετιοῦσι, τὰς δ' ἐξ αὐτῆς προγνώσεις περὶ τἀνθρώπινα σπουδάζουσι σώματα τοῦτο μᾶλλον ἐκείνων ἔργον καθέστηκεν.* 7. *Ὁπόσα τοίνυν προειδέναι θέμις εἰς τὴν τοῦ προγινώσκειν ἐντελέχειαν πέφυκεν, ὅλαι βίβλοι διδάσκουσι*

προεκτεθεῖσαι τοῖς περὶ τὰ τοιαῦτα σπουδάσασι. 8. Δεῖ γάρ τοι δὴ τὸν προγινώσκειν σπουδάζοντα τούς τε στοιχειώδεις χυμοὺς εἰδέναι καὶ ταῦτα τὰ φυσικὰ πνεύματα, κράσεις τε καὶ ἀλλοιώσεις καὶ μεταβολὰς ἑκάστου, καιριότητάς τε καὶ ἰδιότητας, συμπαθείας τε καὶ ἀντιπαθείας τε καὶ ἄλλα ὅσα ἐξεύρηταί τε καὶ δίδοται τοῖς μαθεῖν ἐθέλουσι φυσικὰς κινήσεις τοῦ σώματος. 9. Τῷ γάρ τοι ταῦτα προεξησκηκότι ῥᾴδιον μὲν τὸ διαγνῶναι, πρόχειρον δὲ τὸ προγινώσκειν καθέστηκεν τοῖς φυσικοῖς ἀκολουθοῦντι τῶν χυμῶν κινήμασι.

*Κεφ. α΄. Ὅτι μετὰ τοὺς σφυγμοὺς τὰ οὖρα συντείνει εἰς τὴν πρόγνωσιν.*

1. Πολλῶν οὖν ἐξευρημένων μεθόδων τοῦ ἐπὶ σοφίᾳ διενέγκασι τοὺς πολλοὺς εἴς τε πρόγνωσιν καὶ διάγνωσιν τῶν ἐν τοῖς σώματι γινομένων μεταβολῶν, τούτων τὸ προὔχον ἔχειν ἔδοξεν ἡ περὶ σφυγμῶν πραγματεία. ἐκεῖθεν γὰρ τοῖς μετιοῦσιν ἀκριβῶς τὰ πλείω τῶν προγνώσεων ἐπιγίνεται. 2. Ταῖς γὰρ μεταβολαῖς τοῦ σώματος πρώτου τοῦ πνεύματος ἠλλοιωμένου τε καὶ ᾐσθημένου, ἀρτηρίαι δ' ἄρα πνεύματος ἀγγεῖα μᾶλλον ἢ αἵματος πεφύκασιν, εἰκότως καὶ αἱ ἐπὶ σφυγμοῖς προγνώσεις ἀδιάπτωτοι γένοιντ' ἄν. 3. Ἐπεὶ δὲ δεύτεροι μετὰ τὸ πνεῦμα οἱ χυμοὶ ἀλλοιωθέντες τὴν αἴσθησιν τοῖς οὔροις διδόασιν ἀκραιφνεστέραν τὴν ἐν αὐτοῖς ἀλλοίωσιν τούτοις ὑποσημαίνοντες. τῶν γὰρ χυμῶν τὸ οὖρον περίηθημα πέφυκεν. 4. Ἀποχρῶσαν ἂν οἶμαι κἂν ταῖς προγνώσεσιν ἀποδοθῆναι τῷ λόγῳ μέθοδον, ταῖς οἰαισθήτισι μεταβολαῖς τῶν χυμῶν μεταβαλλομένων τῶν οὔρων. 5. Ἐπεὶ δ' ὥς πη καὶ πρώην εἴρηται κοινωνεῖ ἡ πρόγνωσις τῶν διαγνώσεων, ἄν τινος τῶν ἐκεῖσε ῥηθέντων ὡδὶ προσεπιμνησθῶμεν ἐντελῆ τὴν πραγματείαν ποιούμενοι, μηδεὶς ἡμᾶς αἰτιάσθω παλιλλογήσαντας, εἴ πού γε τοῦτο συμβαίη τἀσφαλὲς προκρίνων τοῦ περιττοῦ. 6. Ἡ μὲν γὰρ δευτερολογία τὸ ἐντελές τε δοίη ἂν καὶ ἀδιάπτωτον οἶμαι, τῇ δὲ φυγῇ τῆς κοινωνίας τῶν λόγων πολλὰ ἂν οἶμαι ὧν ῥηθῆναι χρεὼν προαπολεῖται τῷ λόγῳ. 7. Ἀλλὰ τοῦτο μὲν οὐχὶ βραχὺ

τι ἂν ἁμάρτημα προσάψῃ τῷ λόγῳ· ἐκεῖνο δὲ κἂν τις ἐπαινέσειε μᾶλλον ἀναμνήσεώς τε καὶ σαφηνείας ἔργον πεφυκὸς ἢ τινος ἀκαιρολογίας, ὡς ἄν τινες τῶν διαβάλλειν οἰηθῶσι προχείρων. 8. Ἡμεῖς δ' ὥσπερ κἀν τοῖς ἄλλοις πεποιήκαμεν προεκτιθέμενοι χρώματα καὶ συστάσεις, εἶθ' οὕτως παρυφιστάμενα, καὶ ὅσα ἐπ' αὐτοῖς τεθεώρηται, οὕτω δὴ καὶ νῦν ποιῶμεν καὶ τὴν ἐπὶ τοῖς κεφαλαίοις τάξιν ὡς ἀμείνω τῆς ἀταξίας προκρίναντες. 9. Προσμιχθήσεται δὲ τῶν ῥηθησομένων ἑκάστῳ καὶ ἡ ἀνωμαλία, οὐχ ἧττον δι' αὐτῆς ἢ δι' ἐκείνων συναγομένης τῆς προγνώσεως. οὕτω δὴ καὶ ποιῶμεν ἐντεῦθέν ποθεν σὺν θεῷ τοῦ λόγου ἀρξάμενοι.

### *Κεφ. β'. Περὶ τῆς ἐκ τῶν λευκῶν οὔρων προγνώσεως.*

1. Ἐπεὶ τοίνυν δέδεικται τὰ λευκὰ τῶν οὔρων εἰς πλείω διαιρούμενα εἴδη καθὼς κἀν τοῖς περὶ διαφορᾶς οὔρων εἴρηται, χρεὼν ἂν εἴη περὶ αὐτῶν σκεπτομένους ἐπιδιελεῖν ταῦτα τῷ λόγῳ, καὶ τὰς ἐπ' αὐτοῖς ὡς οἷόν τε προγνώσεις ἐπιθεῖναι. 2. Τῶν οὖν λευκῶν μὲν τῷ χρώματι κρυσταλλοειδῶν δὲ καὶ ὑδατωδῶν τῷ εἴδει ἀεὶ μὲν λεπτῶν τελούντων, ἐκεῖνα δὲ δηλούντων, ἃ κἀν τοῖς περὶ διαγνώσεως εἴρηται καὶ ταῦθ' ὧδε προσεπιθεῖναι δεῖ τῷ λόγῳ. 3. Πυρρῶν οὖν καὶ ἐρυθρῶν καὶ οἰνωπῶν καὶ οἱῳδήτινι κεχρωσμένων χρώματι ἡγησαμένων οὔρων ἐπὶ πυρετῷ κρατίστῳ, εἰ ἐπὶ τὰ τοιαῦτα τῶν λευκῶν χρωμάτων μεταβληθείη τὰ οὖρα, ἔτι τῆς τοῦ πυρετοῦ μενούσης σφοδρότητος καὶ μήπω τινὸς ἀξιολόγου κρίσεως σημείου γεγονότος, εἰκότως ἂν γνοίης ἐσομένην φρενῖτιν, καὶ τοσούτῳ χείρω, ὅσῳ καὶ τὰ προϋποδεδειγμένα χρώματα χείρω καθέστηκε. 4. Διαψεύσῃ δ' οὐδόλως πάλιν ἐπιχρωσθέντων τῶν οὔρων, εἰ καὶ τὴν φρενῖτιν ἐπιλελύσθαι φαίης. 5. Ἐκεῖνα μὲν γὰρ τὴν τὸ οὖρον χρωννύουσαν μετεωρισθῆναι δείκνυσιν ἐπὶ κεφαλὴν χολήν, ἣ δὴ καὶ χρονίσασα προσθήκην ἂν προσενέγκαι τῷ πάθει θάνατον, τὰ μέντοι προσεπιχρωσθέντα τῶν οὔρων αὖθις καὶ τὸ δεινὸν λελύσθαι τοῦ παροτρύναντος τὴν πρώτην αἴσθησιν φάσκει, ἀντιστραφείσης αὖθις τῆς χολῆς πρὸς τὰ κάτω. 6. Τῶν

γε μὴν μετὰ παχείας συστάσεως ἡγησαμένων τοιούτων οὔρων μετὰ θρομβοειδῶν τῶν ὑποστάσεων ἐν ἀσθενεστέροις πυρετοῖς, πλήθει δὲ καὶ τῷ λευκῷ διαλλαξάντων χρώματι μετὰ τὴν τοῦ νοσήματος ἀκμήν, ὅσον οὔπω λυθῆναι προγινώσκεται ὁ πυρετός. 7. Τῆς γάρ τοι φύσεως κρατησάσης μὲν τῆς ὕλης, πεψάσης δὲ καὶ προσλαβούσης, ὅσον ἂν χρειῶδες δόξειε, τὸ περιττόν τε καὶ ἀχρεῖον οὕτω δι' οὔρων ἀπωθεῖται μὴ χρεὼν ὂν ἐπέχεσθαι νομισθέν. 8. Ἐπί γε μὴν τοῦ διαβήτου μήτε χρωννύμενον μήτε συνιστάμενον καὶ μειούμενον οὐκ εἰς καλὸν προβῆναι τὴν εἰς ἀμίδα φάσκει διάρροιαν. 9. Τῆς γάρ τοι φύσεως προαποκαμούσης δέος οὐκ ὀλίγον, μὴ καὶ τὴν ζωὴν ὁ κάμνων ζημιωθείη. 10. Οὐ δεῖ δὲ λανθάνειν, ὡς τὰ τοιαῦτα χρώματα τῶν οὔρων γέρουσι μέτριά τινα τὰ κακὰ σημήνειε· νέοις δὲ καὶ ἀκμάζουσιν ἐπιφαινόμενα πονηρότερα καὶ μᾶλλον εἰ μηδὲ παρυφιστάμενα τούτοις φαίνηται καὶ φαινόμενα ἢ φαῦλα καὶ οὐ προσήκοντα. 11. Ἐπὶ γὰρ ἐσχάταις ταῦτα ἀπεψίαις καὶ ψύξεσι καὶ μακραῖς τισιν ἀρρωστίαις γίνεται καὶ πρὸς τούτοις οὐ μετρίαις ἐμφράξεσι. 12. Καὶ ἐπανιόντων μὲν εἰς τὸ σύμμετρον αὖθις, βραχύ τι ἂν τὰ σώματα λυπηθείη καὶ τὰ φθάσαντα λυμανθῆναι ῥᾳδίως ἂν ἡ δύναμις ἀνακαλέσαιτο ἤδη τὴν αὐτῆς ἀναλαμβάνουσα ῥώμην. 13. Ἐπὶ τοῖς αὐτοῖς δὲ εἴδεσι μένοντα δυσθυμίας μὲν καὶ σκοτοδίνας, ἰλιγγάς τε καὶ ἐπιληψίας ἐποίσει, σιτίων τε ἀποστροφὰς καὶ φαύλων ἔσθ' ὅτε ἐπιθυμίας βρωμάτων, καὶ κυνώδεις ὀρέξεις, ἄρθρων τε ὀδύναι παρέσονται καὶ δυσκινησίαι νεύρων, νεφρίτιδές τε καὶ κεφαλῆς διάφορα πάθη, κώλου τ' ἀλγειναὶ αἰσθήσεις καὶ μαρασμῶδες ἐκ νόσου γῆρας. 14. Τοιαῦτ' ἂν προγνοίης τὰς διαφορὰς μεμαθηκὼς τῶν ἐπὶ τῆς περὶ διαγνώσεως ῥηθέντων οὔρων λευκῶν, προανεγνωκὼς δὲ καὶ τὸ περὶ τῶν συμπτωμάτων συγγραφὲν τῷ Γαληνῷ βίβλιον. 15. Τὰ μὲν γὰρ τούτων ἀπεψίαις μάλιστα ἕπεται συνεχέσι, τὰ δ' αὖ ψύξεσιν ἐφ' οἱασδήτινος ἐπιγεγενημέναις αἰτίας· ἐκεῖνα δὲ ἐμφράξεσιν ἢ χυμῶν μεταστάσεσι. 16. Σκοπεῖν δὲ δεῖ πρὸς τούτοις τὸν ἀληθεῖς τὰς ψήφους ἐπιθεῖναι σπουδάζοντα ἡλικίας τε καὶ κράσεις, ἔθη τε καὶ

γένη καὶ ὥρας καὶ τὰς προγεγενημένας ἔσθ᾽ ὅτε διαίτας. 17. Τῷ γὰρ ταῦτα ἐπιμετρήσαντι καὶ τῇ ἐπινοίᾳ τὸ κατὰ φύσιν τἀνθρώπῳ λογισαμένῳ οὖρον καὶ τούτῳ τὸ φαινόμενον παραβάλλοντι ῥᾳδίως μέντ᾽ ἂν ἡ διαμαρτία, ὁπόση εἴη, ὀφθείη, πρόχειρος δὲ ἡ ἐπὶ τῷ φανέντι πρόγνωσις ἀποδοθείη, προεπεσκεμμένης δηλονότι καὶ τῆς ἐπὶ τῷ νοσοῦντι εὐαισθησίας τε καὶ εὐπαθείας τῶν μορίων. 18. Τὰ μάλιστα γὰρ καὶ αὗται λυσιτελεῖν πως εἰώθεσαν ταῖς προρρήσεσι, μὴ πάντων ἐπὶ ταῖς αὐταῖς ὡσαύτως ἠσθημένων διαθέσεσιν. 19. Ἐπὶ μὲν τῶν οὕτως ἐπιτεταμένων λευκῶν τοιαύτας ἄν τις ἀποδοίη τὰς προγνώσεις, εὖ κρίνειν μεμαθηκώς· ἐπὶ δὲ τῶν ὑφειμένως λευκῶν γαλακτοειδῶν δηλονότι καὶ γλαυκῶν καὶ χαροπῶν καὶ τῶν τοιούτων, τοιαύτας τινὰς προειδείη τὰς ἐπισημασίας, ἐν μὲν ταῖς ἀρχαῖς τε καὶ ἐπιδόσεσι τῶν πυρετῶν πονηρὰ καὶ ταῦτα καὶ μᾶλλον ὅσον οἱ πυρετοὶ κραταύνονται. 20. Πλῆθος γὰρ ἐνταῦθα τῆς ὠμῆς ἀκμάζειν συσσωρευθείσης ὕλης φαίνεται, παρακμασάντων δὲ τῶν πυρετῶν σωτήρια καὶ μᾶλλον, εἰ τῷ πλήθει ὑπερβάλλει. 21. Ἐκεῖνο μὲν γὰρ ἤτοι πλῆθος ἐπισεσωρεῦσθαι τῆς τοιαύτης ἀναφθείσης ὠμοχυμίας δηλοῖ ἢ τοῦ χρωννύντος χυμοῦ καὶ τἄλλα μέρη τοῦ σώματος ῥοπήν, τὰ δ᾽ ὕστατα παρακμὴν μὲν τοῦ πυρετοῦ, πυρρωδεστέρων οὔρων δηλονότι ἡγησαμένων, ἀπόκρισιν δὲ τῶν πυρετῶν ὑπορρωσθεῖσαν τῇ ἀποκριτικῇ δυνάμει. 22. Ταῦτ᾽ ἄρα διὰ μὲν τῶν πρώτως καὶ ἐν ἀρχαῖς φαινομένων κακοήθειαν μὲν ἂν προγνοίης τοῦ νοσήματος, χρόνου δ᾽ ἐς πέψιν πλείονος δεῖσθαι τὴν τοιαύτην φαίης ὠμότητα. 23. Ἐπεὶ δὲ μήπω διάδηλον ἐν τοῖς τοιούτοις οὔροις τὸ μέγεθος τοῦ πυρετοῦ καθίσταται — ἢ γὰρ ἂν οὐδὲ κακοήθης νενόμιστο ἀπὸ σφυγμῶν — ἁψάμενον τό τε μέγεθος ἐπισκοπεῖν προσήκει τῶν πυρετῶν καὶ τὸν τῆς δυνάμεως τόνον, συμμαρτυρήσειε δ᾽ ἂν καὶ διαχωρήματα καὶ χροιὰ προσώπου καὶ ὅσα συμπτώματα λέγεται καὶ φαίνεται. 24. Ἐπὰν οὖν ἄλλοθεν τὸ μέγεθος ἀναμάθῃς τοῦ πυρετοῦ, γνοίης δὲ καὶ τὸν τῆς φυσικῆς δυνάμεως τόνον, ἐπισκοπήσῃς δὲ καὶ τὸ μέτρον τῆς ἀπεψίας, ἐνταῦθα δεῖ σε καὶ σαυτοῦ φανῆναι σκοπι-

*μώτερον, ὥσθ' ἑκάστῳ στοχαστικῶς μὲν, ἠκριβωμένως δ' ἐπιθεῖναι τὰ μέτρα.* 25. *Ἂν μὲν οὖν πλείω μὲν τὰ τῆς ἀπεψίας πέφυκε σύμβολα, ἐπὶ συχναῖς δ' ἡμέραις παρατείνει ταῦτα, πολὺ δὲ τὸ πυρετοῦ μέγεθος, ὁ δὲ δὴ τόνος μείων τε καὶ ἀσθενὴς καταλαμβάνεται, ἀπαγορεῦσαι μὲν ἐνταῦθ' εἰκὸς τὴν φύσιν, λύσιν δὲ τῶν κακῶν τὸν θάνατον ἐπιγεγενῆσθαι προγνοίης, καθ' ἃς ἂν μᾶλλον τῶν ἡμερῶν στοχάσαις τὴν δύναμιν ἀπειρηκυῖαν παύσασθαι.* 26. *Ἂν δὲ ἐκεῖνα μὲν ἔχῃ, ὥσπερ δῆτα καὶ λέλεκται, ἡ δὲ δὴ ῥώμη κρατύνηται, ἐλπὶς μὲν διὰ χρόνου περιγεγενῆσθαι τῶν ἀνιαρῶν τὸν κάμνοντα, ἀσφαλοῦς τετυχηκότα διαίτης. πολλὰ δ' ἂν μεταξὺ συμβαίη φαῦλα συμπτώματα.* 27. *Εἰ δὲ ταῦτα μὲν μείω, ἡ δὲ τοῦ σώματος ῥώμη φυσικὴ ἀμείνων, περιγενήσεται μὲν ὁ ἄνθρωπος οὕτως, μέτρια δὲ προσέσται τῶν συμπτωμάτων τὰ φαῦλα.* 28. *Ἐπὶ οὖν πυρέσσουσιν ἀνθρώποις καὶ τοιαῦτα οὖρα προϊεμένοις δίψαι μὲν μείους τῶν κατὰ τὴν ἀναλογίαν τῶν πυρετῶν προσδοκωμένων ἔσονται, πλείω δ' ἴσως τὰ οὖρα καὶ τὰ κατὰ γαστέρα ξηρότερα καὶ κεφαλῆς βάρη καὶ ἀλγηδόνες ἀλλόκοτοι, ἴλιγγοί τε καὶ κατὰ γαστέρα στρόφοι, ἐνίοτε καὶ ὑδατώχολα τούτοις ἡ γαστὴρ διαχωρεῖ, ἐκ δὲ τοῦ χρόνου τῶν μεταβολῶν τῶν οὔρων τὴν λύσιν ἀποσκοπήσαις ἂν τοῦ πυρετοῦ, ὥσπερ δῆτα καὶ ἐκ τῶν πέψεων τὰς τῶν κρίσεων ποιότητας.* 29. *Ἀλλ' ἡ μὲν ἐπὶ τοῖς ὑφειμένως λευκοῖς οὔροις πρόγνωσις ἐπὶ τοῖς πυρέσσουσιν ἀνθρώποις τοιαύτη τις ἂν ἀποδοθείη· τοῖς γε μὴν ὑγιαίνουσι τοιαῦτά ποτε φαινόμενα μετρίαν μὲν τὴν ἐπὶ τῆς ψύξεως βλάβην δηλοῖ.* 30. *Προλέγειν δὲ κἀνταῦθα χρεών, ἃ ἂν τῶν παθῶν τε καὶ τῶν συμπτωμάτων διὰ μετριωτέρας ψύξεις ἐπάγεσθαι οἰηθῇς.* 31. *Πρὸς τούτοις δὲ κἀκεῖνο προειδέναι θέμις, ὡς ὅσα δῆτα τῶν συμπτωμάτων ἡμεῖς τῷ λόγῳ προτίθεμεν, οὔθ' ὡς κατ' ἀνάγκην ἑπόμενα λέγομεν, οὔτε μὴν σπανίως φαίνεσθαι.* 32. *Ὥσπερ οὔθ' ὅλα οὔτε τὰ πλείω ἢ ἐλάττω, ἀλλ' ὡς ἐνδεχόμενα ἀεὶ συναναφαίνεσθαι τοιούτοις ἀρρωστημάτων εἴδεσιν, ἢ πάντα ἢ τὰ πλείω ἢ ἐλάττω κατά τε τὸ τῶν παθῶν μέγεθος καὶ τὴν εὐπάθειάν τε καὶ εὐαισθησίαν τἀνθρώπου.* 33. *Δεῖ*

δὲ πάντως ὧδε καὶ ἀγχινοίας τε καὶ πείρας καὶ μαθήσεως τὸν τὰ τοιαῦτα σκοπήσαντα.

Κεφ. γ'. Περὶ τῆς ἐκ τῶν ὑπώχρων καὶ ὠχρῶν οὔρων προγνώσεως.

1. Ὕπωχρα δὲ καὶ ὠχρὰ ἐπὶ πυρετοῖς μὲν οὐκ ἂν ὀφθεῖεν, κἂν τύχοιεν δ' ἐπὶ τούτοις ὄντες πυρετοὶ ἀβληχροί τε πάνυ καὶ εὔλυτοι τῶν ἐφημέρων τινὲς τυγχάνοντες, πυρρωδεστέρων μέντοι προηγησαμένων ταῦτ' ἐπιφανέντα τὸν μὲν πυρετὸν ἐπιλελύσθαι δηλοῖ, ἐπὶ τὸ ψυχρότερον δ' ἤδη κεχωρηκέναι τὴν ἕξιν. 2. Ἀλλ' αὕτη μὲν βραχείας τινὸς ῥοπῆς τῆς ἀπὸ προσηκούσης ἐπιτυχοῦσα διαίτης ἐπιρρώννυταί τε καὶ διορθοῦται καὶ τὰ σύμμετρα ἐντεῦθεν ἕπεται τῶν οὔρων φαινόμενα, περὶ ὧν ἂν εἴη νῦν προσῆκον φάναι.

Κεφ. δ'. Περὶ τῆς ἐκ τῶν ὑποπύρρων καὶ ὑποξάνθων οὔρων προγνώσεως.

1. Τὰ τοίνυν ὑπόπυρρά τε καὶ ὑπόξανθα τῶν οὔρων οὐκ οἶδα ὅτι ἂν πλέον ὑγείας διασημάνουσιν ἐν νέοις τε καὶ ἀκμάζουσι σώμασιν. 2. Ἐπὶ γάρ τοι τῶν διὰ ψυχράν τινα δυσκρασίαν φυσικῶς αὐτοῖς συμβᾶσαν γερόντων τε καὶ γυναικῶν καὶ τῶν ὅσοις πρὸς τὸ λευκότερον τὰ οὖρα φαίνεται, ῥέποντα καθ' οἱονδήτινα λόγον, καθὼς ἐν ἄλλοις τούτων ἀρκούντως ἔφημεν, ταῦτα ἐπιφαινόμενα ἐπὶ τὸ δριμύτερον τὴν ἕξιν ἀπεστράφθαι δηλοῖ, εἴτε διὰ συνεχεῖς τινας δριμυφαγίας ἢ διὰ γυμνάσια τὸ σύμμετρον ὑπερβάλλοντα. 3. Θερμότητας γάρ τινος ἐμποιητικαὶ δίαιται ἐπὶ τούτοις τὰ τοιαῦτα οὖρα προὐξένησαν, ἀλλὰ ταῦτα μὲν πάνυ μέτρια ὄντα καὶ μετρίας ἂν τὰς βλάβας ἐπαγάγοι καὶ ῥαδίως ἂν διορθοῖτο. 4. Τά γε μὴν πυρρά τε ἤδη καὶ ξανθὰ ἐπὶ μείζοσι μὲν προφάσεσιν ἐπιφαίνεται τούτοις, ἐπὶ μείοσι δὲ τοῖς ἀκμάζουσιν, ὥστε τοῖς πόρρω τῶν κατὰ φύσιν τε καὶ κρᾶσιν ἔχουσι ταῦτα μείζους μὲν τὰς προγεγενημένας αἰτίας δεικνυσιν, ἤδη δὲ καὶ πυρετοῖς τούτους κατέχεσθαι χολῆς ξανθῆς διαχυθείσης τῷ σώματι, ὅσα μὲν ἐκ τοῦ καιροῦ εἴης στοχαζόμενος αἴτια, θερμότητα, φαίης ἂν ὡς προξενήσασαν τὴν χολὴν αὔξειν, καὶ

*μάλιστα εἰ προειδὼς εἴης τήν τε δίαιταν καὶ τὴν καθόλου διαγωγήν.* 5. *'Επoίσεις δ' εἶθ' οὕτως τῷ λόγῳ καὶ τὰ τῆς χολῆς ἐν σώματι διασπαρείσης συμπτώματα.* 6. *Οἵ τε γὰρ σκοτόδινοι ἐπὶ τούτοις συνίστασθαι εἰώθασι καὶ αἱ τῆς κεφαλῆς ἀλγηδόνες, πικρότητές τε τοῦ στόματος καὶ τῶν σιτίων ἀποστροφαὶ καὶ δίψαι ἱκαναί.* 7. *Τούς γε μὴν ἀκμάζοντας καὶ θερμοτέρους τῇ κράσει τοιαῦτ' οὖρα προβαλλομένους φαίης ἂν εἰκότως καὶ αὐτοὺς ἐπί τε παραπλησίαις διαίταις καὶ γυμνασίοις πλείοσιν εἰς τοῦτο ἐνεχθῆναι τῆς καταστάσεως, μείους δὲ τῶν προρρηθεισῶν τὰς ταῦτα προξενησάσας προφάσεις, ἀσθενέστερα δὲ καὶ τὰ συμπτώματα φαίης ἂν καὶ πλείονος μὲν ἐκείνους εἰς ἀπόλυσιν τοῦ πάθους ἐπιδεήσεσθαι χρόνου, μείονος δ' αὖ ὅσοι κατὰ φύσιν τοῖς οὔροις παρακείμενα ταῦτ' ἔχοντες χρώματα.*

*Κεφ. ε'. Περὶ τῆς ἐκ τῶν ὑπερύθρων καὶ ἐρυθρῶν οὔρων προγνώσεως.*

1. *'Ενταυθὶ δὲ καὶ περὶ ὑπερύθρων τε καὶ ἐρυθρῶν προσήκει φάναι χρωμάτων.* 2. *Καὶ νέοις μὲν καὶ ἀκμάζουσιν ἀνθρώποις ἐπιφαινόμενα τῇ τοῦ χρωννύντος οἰκειότητι χυμοῦ οὐκ ἄγαν ἐπιταθῆναι δηλοῖ τὴν βλάβην, γέρουσι δὲ καὶ πάλαι τὸ φυσικὸν ἀποβεβληκόσι θερμὸν χείριστα μὲν φαινόμενα, πάνυ δ' ἐς τὴν κατὰ φύσιν ἀποκατάστασιν πλείστου χρόνου δεόμενα ὅπου γε καὶ οὐκ ὀλίγον δέος, μὴ προαποκαμούσης τῆς ζωτικῆς δυνάμεως λύσις τοῦ πάθους ὁ θάνατος ἐπιγένηται.* 3. *'Εν μὲν γὰρ τοῖς νέοις καὶ ἀκμάζουσι ταῦτα δὴ τὰ χρώματα φαινόμενα ὑπαγορεύει μὲν τὸν αἱματικὸν ηὐξῆσθαι χυμόν, καθὼς τοῖς περὶ διαγνώσεως οὔρων ἔφθημεν εἰρηκότες.* 4. *Σὺ δ' ἂν πρόρρησιν ἀψευδῆ τῷ λόγῳ ἐπιθείης, ὡς ἤτοι διαίταις ταῖς τὸν τοιοῦτον χυμὸν ἀπογεννώσαις ὁ κάμνων ἐχρήσατο ἢ συνήθους αἵματος ἐκκρίσεως ἐπίσχεσις γέγονεν, ἤτοι φύσει ἢ τέχνῃ κεκενωμένου.* 5. *Γέρουσι δὲ σπανίως ἂν ταῦτα συμβαίη, ὅσοις δηλονότι αἱ φυσικαὶ δυνάμεις ἔτι ἔρρωνται, καὶ τὰ γυμνάσια καὶ αἱ δίαιταί εἰσι προσήκοντα.* 6. *Χρόνου γε μὴν τούτους δεήσει πλείονος εἰς ὑγίαν· τό γε μὴν ἐπὶ πλεῖστον αὐτοῖς συμβαῖνον ἤτοι*

*θάνατος ἢ μακρονοσία καθίστηκεν.* 7. *Ἐπὶ γὰρ ἀρρωστίᾳ μάλιστα τῆς καθεκτικῆς τε καὶ διακριτικῆς δυνάμεως γίνονται μηκέτι ἰσχυούσης τὸν οἰκεῖον ἔχειν χυμόν, ἀλλ' ἤδη μαραινομένης, ὥστ' αὐτὸν ἀπολύειν.* 8. *Τὰ γὰρ δι' αὔξησιν λόγον τοῦ τοιούτου χυμοῦ πάνυ βραχέα τε καὶ ἀσαφῆ τοῖς γέρουσι πέφυκε, κἂν καὶ διὰ πυρετοῦ μέγεθος τοιαῦτα τοῖς γέρουσι φαίνεται, ἡλίκον ὅσον μεταλαμβάνεται τὸ τοῦ πυρετοῦ μέγεθος.* 9. *Διὰ μὲν γὰρ τὴν ἀπὸ τοῦ κατὰ φύσιν χρώματος ἀπόστασιν τὸ μέγεθος τοῦ πυρετοῦ καταλαμβάνεται, διὰ δὲ τὸ τῆς ἡλικίας ἀνοίκειον ἡ πονηρία τοῦ πυρετοῦ, διὰ δὲ τὴν τῆς φυσικῆς δυνάμεως ἀτονίαν ὁ κίνδυνος ὑποπτεύεται.* 10. *Ἐπεὶ δὲ καὶ δι' ἐρυθρᾶς χολῆς αὔξησιν τοιαῦτ' ἐνίοτε ἀποδίδοται οὖρα, εἰκότως ἂν στοχάσαιο διὰ τῶν τὴν χολὴν γεννώντων ταύτην ηὐξῆσθαι.* 11. *Ἤδη ἀκμάζουσιν ἐπιφαίνεται μάλιστα, χείρω δὲ ποιεῖ συμπτώματα τῶν ἐξ αὐξήσεως αἵματος, ὅσῳ καὶ δριμύτερος καὶ κουφότερος ὁ χυμὸς οὗτος πέφυκε, μετριώτερος δὲ τῶν ξανθῶν τε καὶ προσχολῶν πέφυκεν.* 12. *Ἐκεῖ μὲν γὰρ αἵ τε δίψαι πάνυ μέτριαι καὶ οἱ ὕπνοι οὐ πάνυ θορυβώδεις.* 13. *Τἀναντία δ' αὖ ὧδε ὅσα καὶ εἰς ξηρότητα μετὰ δριμύτητος ὁ χολώδης αἱματικοῦ πεπλεονέκτηκε χυμοῦ καὶ ταῖς μὲν πέψεσί τε καὶ ἀπεψίαις.* 14. *Αἱ οἱαιδήτινες ἐπιγίνονται κρίσεις, τῇ δὲ βραδύτητί τε καὶ παχύτητι τῶν κινήσεών τε καὶ μεταβολῶν ὁ χρόνος τῆς παρατάσεως ἐξευρίσκεται.* 15. *Ταῖς μὲν γὰρ ὀξείαις τοῦ νοσήματος κινήσεσι μετὰ ῥώμης τῆς ἐμφύτου δυνάμεως ῥᾴδιαι μὲν αἱ ἐπὶ τὸ κρεῖττον μεταβολαί, βραχεῖαι δ' ἕπονται τῶν νοσημάτων αἱ λύσεις.* 16. *Ταῖς δὲ δὴ νωθραῖς κινήσεσι τοῦ σώματος καὶ ὁ χρόνος ἐπὶ πλεῖον ἐκτείνεται.* 17. *Δεῖ γε μὴν ἐν πᾶσι ῥώμης δυνάμεως, ἵνα μὴ προαποκαμούσης ταύτης ἐπὶ τὸ χεῖρον προβαίη τὰ τοῦ νοσήματος.* 18. *Κἂν οὖν μετὰ τὴν κατὰ πλάτος ἀρχὴν καὶ ἐπίδοσιν αὖθις ἐπὶ τὰ φαῦλα καὶ χολωδέστερα τὰ χρώματα προχωρείη, εὐλαβεῖσθαι δεῖ καὶ δεδιέναι, μή πως πάμπαν τὸ φυσικὸν καταπνιγείη θερμὸν ὑπὸ τῆς νόθου ταύτης καὶ διεφθορυίας θερμότητος.* 19. *Ἂν δ' αὖ τοὐναντίον τά τε χρώματα πρὸς τὸ κατὰ*

φύσιν ἐπιστρέφηται χωροῦντα, καὶ αἱ πέψεις ἤδη διαφαίνονται τοῖς οὔροις, ἀποδέχεσθαι θέμις, καὶ θαρσύνειν τοὺς κάμνοντας.

Κεφ. ς'. Περὶ τῆς ἐκ τῶν οἰνωπῶν οὔρων προγνώσεως.

1. Τὰ δ' οἰνωπὰ τῶν χρωμάτων χείρω μὲν ὡς ἔοικε τῶν ὑπερύθρων τε καὶ ἐρυθρῶν· ἐπιχολωθέντος δ' αἵματος εἴωθε ταῦτα συνίστασθαι. 2. Ὁπόταν γάρ τοι τοῦτο εἰς χολὴν μεταβληθείη μετρίως ἰδίαν ὑφ' οἱασδήτινος αἰτίας τὰ τοιαῦτα τῶν χρωμάτων ἀποδίδοται, ὥστ' οὐ θαῦμα, εἰ χολῆς οὕτω κατακρατούσης δίψαι μὲν οὐ μέτριαι ἐπιγίνονται, ὕπνοι δὲ θορυβώδεις καὶ ξηρότητες στόματος, καὶ πυρετῶν ὀξύτητι λῆροί τε καὶ βῆχες, ἤδη συναλγοῦντος τοῦ ἥπατος. 3. Ἀλλὰ καὶ ταῦτα ταῖς μὲν μεταβολαῖς τῶν χρωμάτων κρίνεται, εἴ τε φαῦλα τελοίη, ἢ καὶ σωτήρια. ταῖς δὲ δὴ κατὰ μέρος πέψεσι τὴν ταχυτῆτα κρίνομεν τῆς ἀπολύσεως. 4. Ἀλλὰ τούτων μὲν πέρι καὶ ἄλλοτέ ποτε ἔσται φάναι καθαρώτερον. νῦν δὲ φῶμεν καὶ περὶ τῶν κυανῶν οὕτω καλουμένων χρωμάτων.

Κεφ. ζ'. Περὶ τῆς ἐκ τῶν κυανῶν οὔρων προγνώσεως.

1. Ταῦτα δὲ μετὰ πλήθους τε καὶ πάχους καὶ διαφθορᾶς τῷ ἥπατι ἐπισωρευθείσης φαίνεται χολῆς, ἀφ' ἧς δὴ καὶ τοὺς ἰκτέρους ἴσμεν μᾶλλον γεγενημένους, ὥστ' οὐκ ἂν ἁμάρτοις τοιαῦτα οὖρα ἑωρακώς, φάμενος ἴκτερον ἐπιγενήσεσθαι τἀνθρώπῳ. 2. Ἀλλὰ μήπω μὲν ἐξαφθείσης τῆς ὕλης, φθασάσης δηλονότι τῆς ἐκκρίσεως τὴν ἔξαψιν, βραχεῖς τινες καὶ ἀσαφεῖς οἱ πυρετοὶ ἐπιγίνονται καὶ δίψαι πάνυ μέτριαι, ἐφ' οἷς οἱ πλείους ἐξαπατώμενοι συμπτώμασι καὶ διαιτηθέντες ἁδρότερον ἐξέκαυσαν μὲν τὸ πολὺ τῆς ὕλης, σφοδρότατον δ' ἤγειραν πυρετόν, θορύβους δὲ καὶ ἀϋπνίας καὶ ἐξαισίους δίψας ἐπήγαγον. 3. Καί ποτε αὐτὸς ἐπί τινος γνωρίμου τὰ παραπλήσια ἑωρακὼς νῦν ἂν διηγησαίμην κατὰ καιρόν. 4. Ὥρα μὲν ἦν χειμῶνος καὶ ὁ ῥηθεὶς ἡμέτερος γνώριμος τὰ μέγιστα ὑπό τινος ἀδικούμενος ἐθάμιζε μὲν πρὸ δείλης ἑώας ἐγειρόμενος περὶ τὰ βασίλεια, λύσιν εὑρεῖν ζητῶν τοῦ ἀδική-

ματος. 5. Τὰς πλείους δ' ἄσιτος διημέρευε, κἂν ποτε αὐτὸν ἐδέησεν ἅψασθαι βρώματος, τῶν δριμυτέρων ἢ ταρίχων τὸ πλέον ἐτύγχανεν. 6. Ἔστεγε δ' ἐφ' ἱκανὸν τὸ σῶμα τὰς τοιαύτας τῶν βρωμάτων προσφορὰς διὰ τὴν τοῦ περιέχοντος κατάστασιν· εἰκὸς δ' ἐκεῖνον διαμάχεσθαι μὲν πρὸς τοὺς ἐναντίους, ἀδημονεῖν δ' ἐφ' ἑαυτοῦ ὡς τὰ μέγιστα ζημιωθῆναι δεδιότα. 7. Ἠγρύπνει οὖν διὰ ταῦτα καὶ ἄλλως δέ οἱ τὸ σῶμα αὐχμηρὸν ἐτύγχανεν καὶ βραχύυπνον. 8. Εἰκός γε μὴν καὶ πρότερον φαύλων αὐτὸν βρωμάτων χρήσασθαι προσφοραῖς, ὡς ἐδίδου οἴεσθαι· ἐτύγχανε γὰρ ὁ ἄνθρωπος κίμβιξ τε καὶ τὴν οὐσίαν μὴ ἀναλῶσαι φειδόμενος. 9. Ταῦτα δὴ ταῦτα πάντα τὸν χολώδη χυμὸν ἐκεῖνον συνήθροισαν ἤδη δὲ καὶ δι' οὔρου οὗτος ἐξεκενοῦτο. 10. Ἐπεὶ δ' ἐκεῖνος τύχῃ τινὶ τὰ οὖρα ἑωράκει μὴ κατὰ φύσιν ἰόντα τῷ χρώματι, καί τινος βραχείας τῆς ἀνωμαλίας ᾔσθετο, ἐμοί τε τὸ πρᾶγμα ἐξήγγειλε, καὶ τὴν αἰτίαν μαθεῖν ἐπυνθάνετο. 11. Ἐγὼ δὲ τὸ μὲν τοιαῦτα οὖρα προΐεσθαι ἐξαίφνης αὐτὸν μὲν ὁρῶν ἔτι ὑγιῆ περιϊόντα, ἐκεῖνα δ' εἰδὼς ἐπὶ χειρίστοις νοσήμασι φαινόμενα, καὶ δὴ λέξας ἐπ' ἀμίδος τὴν ἐπιοῦσαν δείξειν τὸ οὖρον, ἐγὼ μὲν ἀπηλλαττόμην, αὐτὸς δὲ καὶ εἰσαῦθις περὶ τὰ οἰκεῖα διέτριβε διημερεύσας ἄσιτος. 12. Ἐπεὶ δὲ νυκτὸς μὲν ἧκε, βραχέος δὲ τοῦ σιτίου γευσάμενος ἔκειτο, κομίζει μὲν ἡμῖν ἕωθεν ἀμίδα κυανᾶ οὖρα ἔχουσαν καὶ οἷα τὰ τῶν ἰκτερώντων, αὐτὸς δὲ ᾤετο ἔτι ἀπύρεκτος τελεῖν. 13. Πρόρρησις, εἰ μὴ φυλάξαιτο ἰκτέρῳ περιπεσεῖν. ὁ δὲ τὴν πρώτην φυλαττόμενος ἀτάραχος ἔμενεν ἡσυχῇ τοῦ πάθους κεκινημένου. 14. Τὴν μετ' αὐτὴν δὲ σκοπῶν ἑαυτὸν μηδέν τι δεινὸν πάσχοντα (οὔτε γὰρ ἀξιόλογός τις δίψα οἱ οὖσα ἐτύγχανεν, οὔτ' αἰσθητὸς πυρετός, οὔτ' ἄλλο τι τῶν ἐπὶ νοσοῦσι σαφέστερον σύμβολον), ἡμᾶς μὲν εἴασεν ὡς μηδὲν δῆθεν εἰδότας φάμενος, αὐτὸς δὲ ἐγεύσατο μὲν τροφῆς παχυτέρας, οἶνον δ' ἀσθενῆ ἐπίπιε, καὶ οὔπω νὺξ ἦν καὶ ὁ χυμὸς ἐκεκίνητο καὶ διετεθέρμαστο καὶ ταραχή τις οὐκ ὀλίγη τὸν ἄνθρωπον κατέσχε καὶ ἡμᾶς τότε συνεὶς εὖ κρίνοντας μετεκαλεῖτό τε καὶ τὴν σωτηρίαν ἐπίστευεν. 15. Ἐγὼ δὲ ἐκεῖνον μὲν λόγοις ὡς ἐδόκουν παι-

δεύσας μὴ ἀπιστεῖν ἰατροῖς προστάσσουσι, συνεὶς δὲ μὴ ἐπὶ πολὺ ἐξῆφθαι τὸν χολώδη χυμὸν τοῦτον παραφυλάξασθαι μὲν ἔφην τὰ παχύτερα βρώματα καὶ τὸν οἶνον. **16.** Διαιτήσας δὲ λεπτοτέρᾳ διαίτῃ, ὑγιᾶ μὲν αὐτὸν ἀπέδειξα στοιχήσαντα τῇ διαίτῃ· ἡ χροιὰ δέ οἱ κατὰ τὰ λευκὰ τῶν ὀφθαλμῶν ἰκτερώδης διεφαίνετο. **17.** Καὶ τοῦ νοσήματος ἀπαλλαγέντος ὥσθ' οἷόν τε καὶ μὴ πάνυ λεπτῇ διαίτῃ κεχρημένου τἀνθρώπου τὸν τοιοῦτον ἀνωδύνως ἀποκριθῆναι χυμὸν χολώδη, καὶ μᾶλλον εἰ μήτε τι τῶν προσφερομένων ἢ τοῦ περιέχοντος εἰς ἔξαψιν ἐρεθίζει τὸν ἄνθρωπον. **18.** Παχεῖα γὰρ οὖσα ἡ τοιαύτη χολὴ σχολῇ μὲν ἐξάπτεται, ἀναφθεῖσα δὲ οὐχὶ ῥᾳδίως σβέννυται. καὶ τούτων μὲν ἅλις. ἑξῆς δὲ ἰτέον τῷ λόγῳ καὶ περὶ τῶν ἐλαιωδῶν ῥητέον χρωμάτων.

### Κεφ. η'. Περὶ τῆς ἐκ τῶν ἐλαιωδῶν οὔρων προγνώσεως.

**1.** Τῶν τοίνυν χλωρῶν χρωμάτων διαφόρων μὲν ὄντων, ἐν δυσὶ δ' οἷον γένεσι τεθεωρημένων τῶν τε ἐλαιωδῶν δηλονότι καὶ τῶν ὁμωνύμως τῷ γένει κεκλημένων χλωρῶν, καθὰ κἀν τοῖς περὶ διαφορᾶς οὔρων εἴρηται. **2.** Ὅσα μὲν εἰσιν ἐλαιώδη, διὰ σύντηξιν τῆς πιμελῆς γίνεται, ἑκτικὸν δ' ὑπαγορεύει τὸν πυρετὸν τελεῖν, καθὼς κἀν τοῖς περὶ διαγνώσεως οὔρων λέλεκται. **3.** Ὅσα δὲ διὰ τὴν τοῦ νοσήματος κακοήθειαν χλωρίζοντα μέν, οὐ μείω δὲ εἰς φαυλότητα τῶν ἐλαιωδῶν τυγχάνει, προσήκει τοίνυν ὧδε προσέχειν τῷ λόγῳ. **4.** Ἂν μὲν γὰρ αὖθις κατὰ βραχὺ παλινδρομοῦντα τὰ ῥηθέντα ἐλαιώδη χρώματα πρὸς τὰ κατὰ φύσιν ἴωσι, προλέγειν δήπουθεν χρεὼν τὴν τῶν περιστοιχούντων συμπτωμάτων ἀπόλυσιν. **5.** Ἂν δέ τι τοῦ πυρετοῦ ἔτι τὴν ὑγείαν λυμαινομένου, χείρω καὶ τὰ οὖρα φαίνοιτο προβαίνοντα, προλέγειν μὲν προσήκει τὸν ἐπηρτημένον κίνδυνον, μετ' εὐλαβείας δὲ προσίεσθαι τῷ κάμνοντι κινδυνεύοντι, ἵνα μὴ καὶ πρόφασιν κατηγορίας δοίης τοῖς ἐγκαλεῖν προχείροις ἀφυλάκτως τὴν νόσον ἐξερχόμενος. **6.** Ὁπόταν γάρ τοι τοῦ δεινοῦ προκόψαντος καὶ τὰ παρυφιστάμενα χείρω φαίνηται, καθὼς μετ' οὐ πολὺ ῥηθήσεται, ἐν οἷς ἂν φῶμεν περὶ προγνώσεως παρυφιστα-

μένων, ἔτι μᾶλλον ἀσφαλεστέραν ἐπιθήσεις τῷ λόγῳ πρόῤῥησιν διὰ πασῶν τῶν πέψεων τὴν διαμαρτίαν συνιεὶς τῆς φύσεως.

*Κεφ. θ΄. Περὶ τῆς ἐκ τῶν χλωρῶν οὔρων προγνώσεως.*

1. Ἅ γε μὴν ὁ λόγος οἶδε χλωρὰ χρώματα, οὐκ οἶδα εἰ ἐπὶ φαυλότητι τὰ ἐλαιώδη ὑπερίβαλλε καὶ ἀμφοτέρων ἀντιφιλοτιμουμένων, ὁποῖον ἂν ἑτοιμότερον ἀνέλῃ τὸν κάμνοντα. 2. Ὁπόσον μὲν οὖν ἡ χολὴ τοὺς ἄλλους ὑπερβάλλουσα χυμοὺς ἐπεκράτησε, δείκνυσι μὲν καὶ ἀπὸ τῶν χρωμάτων τῶν οὔρων· εἰδείης δ᾽ ἂν καὶ προείπῃς μαθὼν τὰ συμπτώματα. 3. Παρακοπαὶ μὲν γὰρ συνεχεῖς καὶ διαλείπουσαι καταλαμβάνουσι τοὺς κάμνοντας, ἔμετοί τε καὶ διαχωρήσεις ἐνίοτε χολῶν ἀκράτων, ἰωδῶν τε καὶ συγκεκαυμένων δίψαι τε ξυνεχεῖς καὶ καῦσοι, γλῶσσαί τε κεκαυμέναι καὶ ἐπηρμένα ἐνίοτε ὑποχόνδρια. 4. Ταῦτα καὶ τὰ τοιαῦτα τῶν χλωρῶν συμπτώματα πέφυκεν, ἀλλ᾽ ἂν μὲν ἐῤῥωμένη ἡ δύναμις ᾖ, ὑποχαλᾶται δὲ καὶ μεταβάλληται ἐπὶ τὸ προσηνὲς τὰ χύματα, ἐλπὶς μὲν σεσῶσθαι τὸν ἄνθρωπον καὶ θαῤῥεῖν δέον· μηδενὸς δὲ τῶν ῥηθέντων ὄντων, εἰ ἐπιμείνῃ τὰ τοιαῦτα οὖρα, δέος οὐκ ὀλίγον, μή πως τῷ ἀπὸ ξηρότητός τε καὶ καύσεως σπασμῷ περιπεπτωκότι τῷ κάμνοντι ὕπνος τις ἀνέγερτος αὐτὸν διαδέξηται. 5. Καὶ δεῖ γοῦν οὕτω πως ταῖς καθ᾽ ἑκάστην μεταβολαῖς πέψεσί τε καὶ ἀπεψίαις τὰς προῤῥήσεις ἐπάγειν ἀκριβῶς στοχαζόμενον.

*Κεφ. ι΄. Περὶ τῆς ἐκ τῶν φαιῶν καὶ πελιδνῶν καὶ μελάνων οὔρων προγνώσεως.*

1. Φαιὰ ἐπὶ τούτοις καὶ πελιδνὰ καὶ μέλανα χρώματα τῷ μελαγχολικῷ μὲν ἐπὶ τὸ πλεῖστον χυμῷ χρωννύμενα, οὐχ ἧττον δὲ καὶ δι᾽ ἑτέρας αἰτίας τοιαῦτα φαινόμενα καθὼς κἀν τοῖς περὶ διαγνώσεως οὔρων λέλεκται. 2. Νῦν δ᾽ ἐπιθῶμεν τῷ λόγῳ, ὅσον μὲν εἰς πρόγνωσιν ἀσφαλές, λέλειπται δ᾽ ἐν τοῖς περὶ διαγνώσεως οὔρων λόγοις. 3. Ὅσα τοίνυν ἐπιφαίνεται τοιαῦτα οὖρα, ἤτοι λευκῶν ἢ παραπλη-

σίων ἑτέρων προηγησαμένων χρωμάτων, καὶ μάλιστα ἤτοι μελαγχολίας προηγησαμένης ἢ τεταρταίου πυρετοῦ, καὶ πρὸς τούτοις σπληνὸς ἐξωδηκότος καὶ τοιούτου χυμοῦ ὑπόπλεω, λύσιν ἀποκενούμενα τοιαῦτα οὖρα τῶν ἤδη ῥηθέντων μαρτυροῦσι παθῶν, ὥστε δεῖ καὶ πεπεισμένως προλέγειν. 4. Εἰ γὰρ ταῦτα ἐπὶ μελαγχολικῷ χυμῷ παροξύνεσθαι εἴωθε, πάντως ἂν διαλυθείη τοῦ παροξύνοντος ἐκκενωθέντος χυμοῦ, ὥστε καὶ κατὰ βραχὺ προϊόντα πρὸς τὸ κατὰ φύσιν μετασταίη ἄν. 5. Ἐπί γε μὴν τῶν χλωρῶν καὶ πελιδνῶν προηγησαμένων, εἰ μέλανα φανείη, ἀπαγορεύειν μὲν ἤδη χρεὼν τὴν θεράπειαν, εἰς ἄκρον τῆς φαυλότητος ἐληλακότων τῶν παθῶν. 6. Εἰ τὸ μὲν ἐπιτεταμένης πέφυκε θερμότητος, ἐκεῖνο δὲ τῆς ἀντιρρόπου ψυχρότητος — αἱ γὰρ εἰς ἄκρον ἰοῦσαι ποιότητες λύειν εἰώθασι τὴν τοῦ σώματος συνέχειαν, μὴ στεγούσης τὴν ἀμετρίαν τῆς φυσικῆς δυνάμεως, ἔπειτα καὶ ἄλλως ἐν πυρετοῖς μετρίοις οὖσι καὶ τῆς δυνάμεως ἐρρωμένης — τάχ' ἂν ὀφθέντα ἐν μὴ κρισίμοις ἡμέραις ἀπειλήσουσι μὲν θάνατον, οὐκ ἰσχύσουσι δὲ δυοῖν ἀγαθῶν ἐνὶ μαχομένων φαύλῳ σημείῳ, ὀξέως δὲ τοῦ πυρετοῦ τυγχάνοντος, προσδοκητέος ὁ θάνατος καὶ μάλιστα εἰ κρίσιμος ἡ μαρτυρήσασα πέφυκεν. 7. Ἀλλὰ περὶ μὲν τῶν κρισίμων ἐν ἄλλοις εἴρηται τῷ σοφῷ Γαληνῷ. 8. Ἐξέστω δὲ καὶ ἡμῖν ὡδέ πως προϊόντος φάναι τοῦ λόγου, ὅσον ἂν ἀνήκειν δόξῃ τῇ περὶ οὔρων πραγματείᾳ. 9. Τοῖς γὰρ μαθεῖν σπουδάζουσιν, ἀσφαλέστερον ἡ Γαληνῷ γραφεῖσα πραγματεία συνοίσει, τῆς κατὰ τὴν σύστασιν προγνώσεως, ἡμῖν δ', ἐπεὶ περὶ τῶν ἐν χρώμασι τεθεωρημένων προγνώσεων εἴρηται, δίκαιον ἂν εἴη ἐνταῦθα μὲν τὸν περὶ τούτου καταπαύειν λόγον, ἑξῆς δὲ τοῦ περὶ τῶν συστάσεων ἅψασθαι, καθὼς κἀν τοῖς ἄλλοις ἔφαμεν λόγοις, εἶθ' οὕτως καὶ περὶ τῶν παρυφισταμένων καὶ τῶν ἐν τούτοις τεθεωρημένων.

*Κεφ. ια΄. Περὶ τῆς κατὰ τὴν σύστασιν προγνώσεως ὅτι καθ' ὅσον ἂν χρωσθείη τὰ οὖρα ἀφαιρεῖται τῆς ἐνούσης λεπτότητος τὸ πλέον τῇ φαντασίᾳ.*

1. *Τῶν τοίνυν ἐν τοῖς οὔροις τεθεωρημένων συστάσεων, πολλῶν μὲν οὐσῶν καὶ διαφόρων, τῶν πλειόνων δὲ ὡς παραμέσων ἀπορησασῶν οἰκείων ὀνομάτων, ἀκριβέστερον δὲ περὶ τούτων ἐν τοῖς περὶ διαφορᾶς οὔρων διορισαμένων τῷ λόγῳ, νῦν ἂν εἴη προσῆκον καὶ τὰς ἐπ' αὐτοῖς ἐπιθεῖναι προγνώσεις, οὐχ ἧττον τῶν ῥηθέντων λυσιτελούσας τῇ περὶ οὔρων θεωρίᾳ.* 2. *Ὅσαι μὲν οὖν τῶν συστάσεων παραπεπήγασι τῇ συμμέτρῳ, ῥᾳδίως τ' ἂν ἴσως λύοιντο πρὸς τὸ σύμμετρον χωροῦσαι καί πως ἔτι τὴν δύναμιν ἐρρῶσθαι σημαίνουσι τῷ λόγῳ τούτῳ.* 3. *Καθ' ὅσον δ' ἂν ἀποσταῖεν πρὸς ἀμετρίαν τὸ σύμμετρον ἐκκλίνουσαι, τὴν δύναμιν πολλῷ καταβεβλῆσθαι σημαίνουσι καὶ τὴν ἐν τῷ σώματι τῶν χυμῶν οὐσίαν διηλλάχθαι τοῦ κατὰ φύσιν, κατά τε ποσότητα καὶ ποιότητα· ἀλλ' ἐναρκτέον ὧδε τοῦ λόγου καὶ καθ' ἕκαστα περὶ τῶν φαινομένων διασαφητέον συστάσεων.* 4. *Αἱ τοίνυν λεπταὶ συστάσεις φαινόμεναι, δι' ἃς μὲν αἰτίας καὶ ὅ,τι βούλονται, ἐν τοῖς προρρηθεῖσιν εἴρηται λόγοις. νῦν δὲ προσαποδοθήσεται τῷ λόγῳ καὶ τὰ λείποντα.* 5. *Αἱ μὲν ἐπὶ τὸ αὐτὸ χρονίσασαι συστάσεις λεπταὶ τὰ τῶν κατεχόντων παθῶν συμπτώματα μένειν τε καὶ ἐπιτείνεσθαι ἴσως σημαίνουσιν, ὡς μήπω διανισταμένης τῆς φύσεως πρὸς τὴν τῶν λυπούντων ἄμυναν.* 6. *Εἰκότως γὰρ ἂν καὶ ἐπιτείνοιτο, τοῦ μὲν κατέχοντος προσισταμένου πάθους, τῆς δὲ φυσικῆς κατὰ βραχὺ δυνάμεως ἀπαγορευούσης.* 7. *Ταῖς μὲν γὰρ ἀρχαῖς καὶ μάλιστα εὐτόνως ἀντίσχουσα αὕτη φαίνεται.* 8. *Ἂν δέ γε τὰ ἀντίσχοντα μείζω τῆς κατ' αὐτὴν δυνάμεως ᾖ, βραχύ τι ὅσον εἰκὸς διαναστᾶσα τοῦ λοιποῦ ἀπαγορεύει τὴν ἧτταν ἀπειληφυῖα, ὥστε καὶ χείρω προσαποδοθείη ἂν διὰ τοῦτο τοῖς λεπτοῖς οὔροις χρώματα καὶ διαφανέστεραι γένοιντ' ἂν αἱ ἀπεψίαι.* 9. *Ἐντεῦθεν οὖν στοχαζόμενος φαίης ἂν ἤτοι πλείονος ἐπιδεήσασθαι χρόνου τὴν φύσιν εἰς ὑγίειαν, εἴπερ ἔτι τὰ τῆς δυνάμεως ἐρρῶται, ἢ ταύτης ἀπειπούσης, τῷ μὴ τοσούτῳ χρόνῳ τὴν*

*μάχην ἐξικνεῖσθαι φέρειν, ζημίαν ὑπενεγκεῖν τὸν κάμνοντα τῆς ζωῆς.* 10. *Ἂν μέντοι αἱ ἄμετροι λεπτότητες ὑποχαλῶσιν ὑπενδιδοῦσαι, τά τε φαῦλα τῶν συμπτωμάτων ὑπομειοῖντ' ἂν καὶ ἡ δύναμις ὥσπερ ἀναρρωννυμένη τὰς πέψεις ἐπιθήσει προβαίνουσα, ὥστε καὶ τὴν σωτηρίαν ἐντεῦθεν συνιέντα προσῆκον ἐξαγγέλλειν τοῖς κάμνουσιν.* 11. *Οὐ δεῖ δὲ λανθάνειν ὡς ὑφαιρεῖταί τι τῇ φαντασίᾳ τῆς λεπτότητος, τὰ ταῖς λεπταῖς συστάσεσιν ἐπιμιγνύμενα χρώματα, ὥσπερ δῆτα τὸ πολὺ τοῦ χρώματος ἀφαιρεῖται τὸ πάχος.* 12. *Δίκαιον δ' ἂν εἴη ἐνταῦθα περὶ τούτων φάναι, καί τι καὶ ταύτης λυσιτελούσης τῆς θεωρίας, ὥστε ἐντεῦθεν ὡς εἰκὸς τὸν περὶ τούτου λόγον σκεπτέον.* 13. *Ἀφαιροῦνται τοίνυν τῶν λεπτῶν συστάσεων τὰ χύματα τῇ φαντασίᾳ, καθ' ὅσον ἂν τὰ χρώματα τοῦ λευκοῦ διαπίπτῃ τρόπῳ τοιῷδε.* 14. *Ἐπειδὴ τοῦτο λέλεκται λεπτὸν ἐν οὔροις, ὅπερ ἂν ᾖ διαφανέστατον, τὰ δὲ λευκὰ τῶν χρωμάτων μᾶλλον ἐν αὐτοῖς τῶν ἄλλων τὸ διαφανὲς ἐκληρώσαντο τῷ μεταλαχεῖν τῆς ἀερώδους μᾶλλον οὐσίας, εἰκότως ἂν ἀμφοτέρων συνιόντων ἐν διαφανεστάτῳ σώματι τῇ ἀμίδι, ῥᾳδίως ἡ ὄψις πάντα διαπερῴη, μηδενὸς ἧττον διαφανοῦς ἀντίσχοντος σώματος.* 15. *Ἐπεὶ γὰρ ἡ ὄψις τότε δὴ ἐντελεχείᾳ ὄψις ἐστίν, ὁπόταν ἀπερεισθείη ἐπὶ συνεστηκότος σώματος — ἐν γὰρ τοῖς λεπτοῖς καὶ ἀερώδεσιν οὐκ ἂν ἀπερεισθείη διαδήλως οὖσι λεπτοῖς τε καὶ διαφανέσιν, εἰκότως ἂν κἀνταῦθα τῷ τῆς ἀναλογίας λόγῳ μᾶλλον τὰ μετὰ λευκοῦ διαπεράσῃ χρώματα λεπτά, ἢ τὰ μεθ' ἑτέρου χρώματος ὥσπερ ἐνδιατριβούσης μᾶλλον τῆς ὄψεως τῷ ἧττον διαφανεῖ καὶ μὴ ῥᾳδίως διαπεραιουμένης, ὥσπερ ἐπὶ τῶν λευκῶν, ὥστ' ἐντεῦθεν συνάγεσθαι, ἧττον ἐκείνων ταῦτα λεπτὰ τυγχάνειν τῇ ἐπὶ πλείονι χρόνῳ περὶ τὰ χρώματα διατριβῇ τῆς ὄψεως.* 16. *Τοσούτῳ μέντοι ἀλλήλων τὰ χρώματα διενήνοχεν εἰς τὴν τοῦ ὄντος λεπτοῦ κατὰ φαντασίαν ἀφαίρεσιν, ὅσον ἡ τοῦ λευκοῦ διαπέπτωκε χρώματος, καὶ δῆλον ἂν εἴη ἀπὸ τῶν λεπτῶν μὲν τῇ συστάσει, μελάνων δὲ τῷ χρώματι, μὴ ῥᾳδίως οὕτως διαφαινομένων ἐν ταῖς ἀμίσιν.* 17. *Ἐπεὶ γὰρ ταῦτα μικροῦ δεῖν πάσης νομιζομένης ἠμοίρησε διαφανείας τῇ*

πρὸς τὰ λευκὰ ἐπιτεταμένως ὄντα διαφανεῖ ἀντιθέσει· τῷ γεωδεστέρας μᾶλλον κεκοινωνηκέναι φύσεως, εἰκότως καὶ τῆς ἐπ' ἐκεῖνα διαπέπτωκε διαφανείας κατὰ τὸ μέτρον ἀναλόγως τῆς ἀποστάσεως. 18. Ἐπί γε μὴν τῶν ἀφαιρούντων τῷ πάχει τὰ χρώματα τοιοῦτος ἂν ὁ λόγος ἀποδοθείη.

Κεφ. ιβ'. Ὅτι καθόσον ὂν παχυνθείη τὰ οὖρα ἀφαιρεῖται τοῦ ἐνόντος πρὶν ἢ παχυνθῆναι χρώματος.

1. Ἐπειδὴ τὰ τῆς αὐτῆς οὐσίας τυγχάνοντα σώματα διαφανῆ καθόσον ἂν ἥκῃ λεπτότητος, διαφανέστερα γίνεται (τὰ γὰρ μᾶλλον διαφανῆ καθαρώτερον καὶ τὰ οἰκεῖα δείκνυσι χρώματα, ῥαδίως μὲν τῆς ὄψεως περαιουμένης τὰ λεπτύτερα, ῥαδίως δὲ καὶ ἀντιλαμβανομένης τῶν ἐν αὐτῇ χρωμάτων), εἰκότως ἂν ἀφαιραῖτο ὧδε τὰ χρώματα τῷ τε ἐπιγεγενημένῳ πάχει, καὶ τῷ τὴν ὄψιν ταῖς ἐπιφανείαις ἀναπαυομένην μὴ περαιοῦσθαι. 2. Ἔπειτα καὶ τῆς λειότητος πολλῷ διενεγκούσης τῆς τραχύτητος, εἰς τὴν τῆς ὄψεως ἀντίληψιν, τὰ δὲ παχία τοῖς τραχυνομένοις ἐῴκει μᾶλλον σώμασιν. 3. Εἰκότως ἂν ἀφέληται τούτων τὸ πάχος τὸ πολὺ τοῦ χρώματος, ὥσπερ δῆτα καὶ φρίσσουσα θάλαττα, τῷ τῆς τραχύτητος λόγῳ τοῦ καθεστηκότος ἀφῄρηται χρώματος, κἀπὶ τῶν διαφάνειαν δέ τινα κεκτημένων λίθων ἔστιν ὁσημέραι μαθεῖν τοῦτο. 4. Τῶν γὰρ λείων δηλονότι γεγονότων τῇ τέχνῃ, τὰ χρώματα ἐπιδηλότερα φαίνεται τῶν ἔτι τραχέων μενόντων. 5. Ἀλλ' ὁ μὲν περὶ τούτων λόγος τὰ νῦν ἀφείσθω ἀρκούντως, οἶμαι, ῥηθείς. ἑξῆς δὲ περὶ τῶν ἐπὶ ταῖς παχείαις νομιζομένων συστάσεσι ῥητέον. περὶ γὰρ τῶν λεπτῶν ἱκανῶς εἴρηται. 6. Τὰ τοίνυν παχία τῶν οὔρων, εἰ μὲν ἐπὶ πυρετῶν λεπτῶν τε καὶ διαφανῶν ἡγησαμένων οὔρων ὀφθείη προϊόντος τοῦ νοσήματος, ἀποδέχεσθαι χρὴ καὶ προλέγειν ὅσον οὔπω τὴν ἄνεσιν ἐσομένην. 7. Ὑποφαίνεται γὰρ ἐνταῦθα τὴν φύσιν ἤδη τῆς ὕλης κατακρατεῖν, καὶ ταύτην πειρᾶσθαι πέττειν, ὥστε καὶ διαχωρήσεις γαστρὸς ὧδε γένοιντ' ἂν ὑποβιαζομένης ἤδη καὶ πεττομένης τῆς ὕλης. 8. Τοσούτῳ δ' ἂν ἀμείνω τε καὶ ἀσφαλέστερα εἴη, ὅσον

καὶ προϊαίτερον ἤτοι τὸ πλέον ὑφίστησι τοῦ πάχους καὶ τὸ πᾶν μείζονος δηλαδὴ τῆς διακρίσεως γινομένης, ἐντεῦθεν δ' ἂν εἰκότως κατὰ βραχὺ τοῦ πάχους ἀφαιρουμένου, ἅτε πεττομένης τε καὶ μειουμένης τῆς λυπούσης ὕλης. 9. Τά τε προσόντα συμπτώματα διαλύοιντ' ἂν τῶν φυσικῶν ἐκκρίσεων ἐπὶ ταῖς πέψεσιν ηὐξημένων, καὶ τὰ οὖρα πρὸς τὸ οἰκεῖον ἂν χωροίη χρῶμα. 10. Εἰ δ' ἅμα τῇ προσβολῇ τοῦ πυρετοῦ παχέα φαίνεται, καὶ μήτε προϊόντος καθίσταιτο μήτε καθιστάμενα λεπτύνοιτο, ἀεὶ δ' ἤτοι τῷ πάχει ἐπιδιδοῦσι ταῦτα ἢ καὶ μὴ ἐπιδιδοῦντα οὔτε λεπτύνεται οὔτε ἐπὶ τὰ κρείττω τῶν χρωμάτων μεταβάλλεται, μανθάνειν μὲν ἔξεστιν ὧδε τὴν τῆς δυνάμεως ἀτονίαν, τὸ πλῆθος δ' οὐκ ὀλίγον καταστοχάζεσθαι τῶν χυμῶν, ὥστε καὶ δέος οὐχὶ βραχύ, μὴ ἀπειποῦσαν ἤδη τὴν φύσιν τῶν αὐτῆς πάμπαν ἐνεργειῶν λαθέσθαι, οὗ τι ἂν εἴη χεῖρον σώματι τῇ ταύτης ἐνεργείᾳ συνισταμένῳ, οἷόν τι κἀπί τινος οὐ πάνυ πρῴην ἑώρακα μειρακίου. 11. Εὖ μὲν γὰρ οὗτος εἶχεν ῥώμης τε καὶ μεγέθους σώματος, πλείοσι δὲ καὶ διαφόροις χρώμενος βρώμασιν ἀδιαιτήτως. 12. Τῶν ἀδδηφάγων καὶ γὰρ ἦν ὁ μεῖραξ, συνεχῶς ἡλίσκετο πυρετοῖς καὶ γαστρορροίαις ἐπὶ τούτοις περιπίπτων, ἀπηλλάττετο τοῦ δεινοῦ. 13. Ἀλλά ποτε περιπεσὼν πυρετῷ ὑπ' ἐξαισίας ἀναφθέντι σήψεως ἐμέ τε μετεκαλεῖτο καὶ τὴν θεραπείαν ἐπίστευε. 14. Τρίτη μὲν οὖν ἦν ἐκείνῳ, καθ' ἣν ἐγὼ μετακληθεὶς εἰσῄκειν καὶ ὁ κάμνων οὐ μετρίως εἶχε. 15. Σφυγμοῦ οὖν ἡψάμην καὶ οὐκ ὀλίγον πυρετὸν διέγνων ἐπὶ τῇ σήψει τῶν χυμῶν γεγενημένον. 16. Ἐπὶ τούτοις ἀμίδα ἑωρακὼς πολὺ μὲν τὸ πάχος ἔχουσαν καὶ ὅσον μὴ οἷόν τε πλέον ὑπολαβεῖν, καὶ τὸ χρῶμα ποικιλόν τε καὶ ἀλλόκοτον. 17. Οὔτε γὰρ ἀκριβῶς ἐδόκει λευκόν, οὔτε κιρρόν, οὔτε μέλαν, οὔτε πυρρόν, τῶν πάντων τούτων καί τοι γε τῶν χρωμάτων ὧδε διαφαινομένων, οὔτε ἀκριβῶς διακεκριμένων τε καὶ ὡρισμένων ἰδίοις τόποις, οὔτ' αὖ ἀνακεκραμένων πάνυ, ἀλλὰ μέσως πως κειμένων. 18. Τὸ οὖν ἀλλόκοτον τοῦ εἴδους, τοῦ τοιούτου οὔρου πάνυ τε ἰδών, ἐθαύμασα καὶ πολλὴν τὴν τῶν χυμῶν διαφθορὰν ὑπονοεῖν ἐπῄει μοι, ἢ τό γε

ἀληθέστερον ἀναστοιχείωσίν τινα τῶν χυμῶν εἴπέ τις ἰδὼν τὰ οὖρα γεγενῆσθαι. 19. Τά γε μὴν ἐπὶ τούτοις γαστρὸς ὑποχωρήσεις ἄμετροί τε καὶ βαρέως ὄζουσαι ἦσαν, τὴν ἐπὶ τὰ κάτω ῥοπὴν τῶν διεφθαρότων εἰληφότων χυμῶν. 20. Καί τις δ' ἔκλυσις τούτῳ τοῦ παντὸς καθίκετο σώματος τῇ τε τοῦ πυρετοῦ σφοδρότητι καὶ τῇ τῶν κενουμένων πλησμιότητι καταβεβλημένης τῆς δυνάμεως. 21. Ἄκρατοι γὰρ καὶ οἷον ὑδατώδεις τούτῳ χολαὶ προΐεσαν, πλήθει τε καὶ συνεχέσιν ἐξαναστάσεσιν ὑπερβάλλουσαι τὸ σύμμετρον, καὶ ταύτην μὲν οὕτω πονήρως εἶχεν. 22. Ἡ δὲ ἐπιοῦσα καὶ τὴν τῶν οὔρων ἔσχεν ἀπόκρισιν τῷ τε τὴν πᾶσαν ὁρμὴν τῆς ὕλης ἐπὶ τὴν γαστέρα χωρῆσαι καὶ τῷ τῇ τοῦ πυρετοῦ δριμύτητι διεξηράνθαι τὸν περὶ τὸν τράχηλον τῆς κύστεως τὰ οὖρα ἀωρὶ συνέχοντα φέρεσθαι νῦν. 23. Ἐπὶ τοσούτῳ δὲ ἡ καθεκτικὴ τούτῳ παρεῖτο δύναμις τῇ ἀξιολόγῳ τῆς ὕλης ἐπὶ τὰ κάτω ῥοπῇ, ὡς νενεκρῶσθαι ἤδη ταύτην, αἵματος δὲ τεμμάχια ἤδη νενεκρωθέντος διά τε τοῦ μυκτῆρος πέμπεσθαι καὶ διὰ τοῦ φάρυγγος ἐξωθεῖσθαι, ἀλλὰ τοῦτο μὲν ἰδών τις τῶν ἐκεῖσε θαμιζόντων ἰατρῶν φλέβα ἔτεμεν μηδὲν ὂν προσῆκον, οἰηθεὶς τῷ πλήθει διωχλεῖσθαι τοῦ αἵματος. 24. Ἐπεὶ δὲ ἤδη τετάρτη μὲν ἦν, ἀφ' ἧς τὰ οὖρα ἐπέσχετο, ἡ δὲ κύστις ἐξῴδηκε, πλείονος ἀθροισθέντος οὔρου καὶ μὴ χώραν εἰς ἔξοδον ἔχοντος, ἕκτη τε ἤδη ἦν καὶ σπασμὸς ἐξαίσιος ἐντεῦθεν εἶχε τὸν κάμνοντα, καὶ οὕτω ῥαδίως καταβληθείσης τῆς λειπομένης δυνάμεως, συναπῄει τῷ συμπτώματι ὁ ἄνθρωπος. 25. Καὶ τοῦτο μὲν εἴρηται μὴ πάνυ δέον ὂν τοῦ παχέος οὔρου τὸν λόγον ἐφελκυσαμένου. 26. Ἐπεὶ δέ τινας εἰκὸς ποθεῖν εἰδέναι καὶ τοιαύτην ἱστορίαν ἑτέραν, καὶ ταῦτα προσεπιθήσω τῷ λόγῳ διὰ παραπλήσια ῥηθησόμενα οὖρα. 27. Τοῦ γάρ τοι σκοποῦ μὴ ἐκβεβλημένῳ καὶ ταῦτ' εἰ λέγοιτο, μετρίως ἂν ἴσως λυποίη τὸν περὶ τὰ τοιαῦτα σπουδαῖον. 28. Ἧκέ τις ἀγρόθεν εἰς ἡμᾶς ἀμίδα φέρων οὖρα πάνυ παχέα ἔχουσαν καὶ ποικίλα καὶ μικροῦ οἷα τὰ τοῦ ῥηθέντος πρὸ βραχέος. 29. Ἐλέλειπτο μέντοι τοῦ συναναφαινομένου κείνοις πυρροῦ χρώματος καὶ εἰ δεῖ παραδειγματίσαι τὸν λόγον νέφεσιν ἐῴ-

κεσαν, ἃ μήτε πάμπαν ἀπεστραμμένου τοῦ ἡλίου μήτε καταφωτιζομένου, πυκνὰ δὲ καθ' αὑτὰ πεφυκότα καὶ τῇ χροιᾷ ἀνώμαλα φαίνεται. 30. Οὗτος δ' αὖ ὁ τὴν ἀμίδα ἔχων ὑδαλέος ἦν καὶ ἐξωδηκώς, ἔφασκε δὲ προνενοσηκέναι νόσον οὐ μετρίαν, ἀφ' ἥσπερ ἀνακληθεὶς εἰς τοῦτο τοῦ πάθους γέγονεν. 31. Ἔδοξε οὖν ἡμῖν ἐπὶ ἀρρώστῳ ἔτι τῇ πεπτικῇ δυνάμει ἐκδεδιῃτῆσθαι τὸν ἄνθρωπον, ὥστ' ἐντεῦθεν εἰς ἐκεῖνο τοῦ πάθους περιπεσεῖν πολλῆς ὠμοχυμίας συναθροισθείσης τῷ σώματι. 32. Καὶ δὴ τότε μὲν ᾗ κεχρῆσθαι ἐχρῆν διαίτῃ πυθόμενος ᾤχετο. οὐκ οἶδα δὲ τοῦ λοιποῦ ὅτι καὶ γέγονεν, εἰ μὴ καὶ αὖθις ἐπανιόντι. 33. Σύ γε μὴν ὁ περὶ τὰ τοιαῦτα σπουδαῖος οὕτω πάνυ φαῦλα συνιὼν τὰ σφόδρα παχέα οὖρα καὶ τὰς ἐπὶ τούτοις ὡς εἰκὸς ἐπιτίθει προρρήσεις εἴς τε τὴν φυσικὴν ἀφορῶν δύναμιν καὶ εἰς τὴν τῶν συστάσεών τε καὶ χρωμάτων μεταβολήν. 34. Κα τὰ μὲν ἤτοι λεπτυνόμενα καὶ χρώματα ἀμείνω δεχόμενα ἀποδέχεσθαί τε καὶ τὴν τῶν λυπούντων ἄνεσιν ὡς ὑφιζομένην ἀποδέχεσθαι, τὰ δ' αὖ ἐπὶ τἀναντία χωροῦντα μέμφεσθαί τε καὶ ἀποστρέφεσθαι, πολλὴν μὲν τῆς δυνάμεως ἀτονίαν κατηγοροῦντα, πολλὴν δ' αὖ τὴν τῆς κακοχυμίας πληθώραν. 35. Ἀλλ' ὁ μὲν περὶ συστάσεως λόγος ὧδέ πῃ κείσθω ἱκανῶς, ὡς οἶμαι, ῥηθείς, εἴ γε τοῖς συνετοῖς καὶ τὰ μέτρια λόγῳ μόνον ἀληθείας ἐχόμενα πολλὰς ὀρέγει τὰς ἀφορμὰς εἰς τὴν τῶν νοσημάτων πρόγνωσιν. 36. Ἐνταῦθα δὲ προσῆκον ἂν εἴη καὶ περὶ παρυφισταμένων φάναι οὕτω τῆς συνθήκης ἀπαιτούσης τοῦ λόγου.

### Κεφ. ιγ'. Περὶ τῆς ἐκ τῆς διαφορᾶς τῶν τόπων τῶν παρυφισταμένων προγνώσεως.

1. Ὅτι μὲν οὖν τὰ παρυφιστάμενα λευκά τε ὄντα καὶ λεῖα καὶ ὁμαλὰ παρ' ἅπαντα τὸν χρόνον ἀσφάλειάν τε καὶ ὑγίαν σημαίνει, ὁ Ἱπποκράτης προλαβὼν ἔφη καὶ ἡ πεῖρα πρὸς τῷ λόγῳ διδάσκει. 2. Καθ' ὅτι δ' ἂν λείποιτο ταῦτα τούτων καὶ ἡ ἀκριβὴς ὑγίεια λείπεται κατὰ τὸ μέτρον δηλονότι τῆς ἐκ τοῦ κατὰ φύσιν διαπτώσεως τοῦ παρυφισταμένου. 3. Καὶ δὴ τἄλλα μὲν ἔχοντος τοῦ παρυφισταμένου

κατὰ φύσιν τε καὶ κόσμον, ἐκλελοιπότος δὲ τὸν οἰκεῖον τόπον, καθόσον ἂν ἀποσταίη τοῦτο τοῦ τῆς ἀμίδος πυθμένος ἐπὶ τὰ μετέωρα, πλείω μὲν τὴν τοῦ κουφίζοντος πνεύματος κατηγορεῖ οὐσίαν, ἐκείνους δὲ τῶν τόπων τοῦ σώματος μὴ καλῶς διακεῖσθαι, καθ᾽ οὓς ἂν τύχῃ ἐμφερόμενα τὰ παρυφιστάμενα. 4. Καὶ χρονίζοντα μὲν ἐπὶ τοῦ αὐτοῦ, μείζους καὶ τὰς βλάβας σημαίνει μετ᾽ ἀρρωστίας τῆς δυνάμεως, κατὰ βραχὺ δὲ καθιστάμενα μετριώτερα τούτων πέφυκε. 5. Τοιοῦτον δέ τι καὶ αὐτός ποτε μέμνημαι ἰδὼν ἐπί τινος γυναικός, ἣ παρά τινος Σύρου πιοῦσα φάρμακον καθαῖρον, ἐπεὶ δριμύτερόν πως ἐκεῖνο ὂν ἐτύγχανε, πρὸς βραχὺ μὲν ἐκάθηρε τὰ προσήκοντα, τῇ δὲ δριμύτητι προϊὸν καὶ τῶν ἐντέρων καθήψατο. 6. Αἱματώδη οὖν ἐπὶ τούτοις ἐφέρετο καὶ ὀδύναι ἐν τῇ ἄνω γαστρὶ καὶ τοῖς ἐντέροις παρείποντο. 7. Τοῦτο ἑωρακὼς ὅ τε ἰατρὸς καὶ οἱ περὶ τὴν κάμνουσαν ἄνθρωποι ἱστᾶν τε ἐπεχείρησαν τὰ αἱματώδη ἐκεῖνα καὶ τοῖς ἐπέχουσι πάνυ πολὺ κατεχρήσαντο. 8. Ἀλλ᾽ αὕτη μὲν οὕτω καταστᾶσα τότε μὲν ἔδοξε ὑγιὴς τυγχάνειν. οὐ πολλαὶ δ᾽ ἡμέραι καὶ περὶ τὰ ὑποχόνδρια βάρους τε καὶ ἀλγηδόνος ᾔσθετο, ἀποσιτίαι ἐπὶ τούτοις μέτριαι καὶ δίψαι ἦσαν. 9. Οὖρα ταύτῃ οὐ μὲν θερμὰ καὶ παχέα καὶ τῷ ἐκτὸς πυρὶ διαλεπτυνόμενα, τὰ παρυφιστάμενα δὲ τὸν μέσον εἶχεν ἀπολαβόντα τόπον τοῦ χύματος, ἐνίοτε δ᾽ αὖ καὶ μὴ παχυνομένων καὶ αὖθις ἐπὶ τοῦ αὐτοῦ τὰ παρυφιστάμενα ᾐώρηται τόπου. 10. Ἐγὼ μὲν οὖν ταῦθ᾽ ὁρῶν ἐστοχαζόμην ἀπό γε τοῦ δοθέντος ἔναγχος φαρμάκου ταύτῃ οὐ μετρίαν ὕλην ἀποσπασθεῖσαν τῶν βαρυτέρων τοῦ σώματος ἐκεῖ που ἐναπολελεῖφθαι τῶν στυφόντων καταχρήσει φαρμάκων, προσεμφράξαι δὲ καὶ τὰς τροφὰς ᾠόμην μετὰ στυφόντων οὕτω προσαγομένων εἰδῶν καὶ μὴ κλύσματά τε καὶ βαλάνους ἐνιέναι δεῖν φάσκων ἐμαυτόν τε ἑώρων ἀκριβῶς ἐστοχασμένον καὶ τὴν κάμνουσαν ἀνίεσθαί τε τῶν ἀλγεινῶν ἐποίουν. 11. Οὐ μέντοι ταῦτα οἷά τε ἦσαν καὶ τοῦ παντελοῦς ἀπαλλάξαι πάθους τὴν ἄνθρωπον, καὶ μείζονος οὖν ἢ κατὰ κλύσμα δεῖσθαι ταύτην καθάρσεως οὔτ᾽ ἔπειθον δέος οὐκ ὀλίγον ἔχουσαν διὰ τὰ πρῶτά οἱ συμβάντα, οὔτε ἀπαγορεύουσαν

ἰώρων πάνυ παιδευομένην ταῖς μετριωτέραις κενώσεσι, καὶ ἐμοὶ μὲν οὐχ ὑπεῖξε τότε ὑποθεμένῳ τῷ ῥηθέντι δίει, συνεχομένη. 12. Ἐπεὶ δὲ μετ' οὐ πολύν τινα τὸν χρόνον ἐπὶ τὰ χείρω φερομένη τῶν ἀξιολογωτέρων τινὰ τῇ τέχνῃ μετεκαλεῖτο ἄνθρωπον, κἀκεῖνος εἴξαις ταῖς ἀξιώσεσιν καὶ ἀφικόμενος ᾠήθη εἰς ὑποχονδρισμοῦ περιπεσεῖν τὴν κάμνουσαν πάθος. 13. Τὸ δ' οὐκέτι μὲν τοιοῦτον ἦν, ὥς γε ἐμοὶ ἐδόκει. εἰκὸς δὲ ἦν ἔσεσθαι μετὰ οὐ πολὺ τοιοῦτον, τὴν τοῦ καθαρτηρίου ἔπειθε προσφορὰν φαρμάκου, καὶ μὴ ἂν ἄλλως ἔφασκεν ἀπηλλάχθαι τὸν κατεχόντων ἀλγεινῶν, εἰ μὴ ταῖς ὑποθήκαις ἐνδοίη τῶν εὖ κρίνειν εἰδότων νοσήματα. 14. Ἐπεὶ δὲ καὶ μικρά τις ῥοπὴ ἐνίοτε τὰ μεγάλα δύναται — ἐτύχομεν γὰρ καὶ ἡμεῖς τὸν λόγον τἀνδρὸς ἐπαινέσαντες — ἐπείσθη τε ἡ κάμνουσα καὶ μετρίως καθαῖρον ἐπιπιοῦσα φάρμακον τῶν λυπούντων αὐτὴν δεινῶν ἀπηλλάττετο. 15. Οὕτως ἡ ἐφ' ἕτερα τοῦ πυθμένος διατριβὴ χρονία τοῦ παρυφισταμένου τοὺς κατ' ἀναλογίαν πεπονθότας τόπους τοῦ σώματος δείκνυσι. 16. Τῶν γάρ τοι περιττῶν ὑγιαίνοντος τοῦ σώματος φύσει κάτω διωθουμένων πρὸς ἔκκρισιν, ἂν ἐπὶ τἀναντία ταῦτα φέρηται ἀντωθούμενα ἐκεῖσέ πη ἐπισωρεύεσθαι εἴωθε καὶ τῷ χρόνῳ λυπεῖν τὸν κάμνοντα καὶ τὰ μὲν αἰωρούμενα ἐπὶ τὸ μέσον χύματος μᾶλλον ὑποχονδρίων τε καὶ σπλάγχνων ἅπτεσθαι δοκεῖ. 17. Καὶ ἔτι θώρακος, τὰ δ' ὡς νεφέλαι ἐπινηχόμενα τῶν περὶ τὴν κεφαλὴν καθέστηκεν ἀλγεινῶν σύμβολα καὶ προσθήσω κἀπὶ τούτων ἱστορίαν ἑτέραν σαφηνείας τινὰ τῶν λεγομένων ἕνεκεν. 18. Ἔκειτό τις τῶν ἡμῖν γνωρίμων οὐ μετρίως πυρέσσων καὶ δι' ὅλου μὲν αὐτοῦ τὰ παρυφιστάμενα τῶν οὔρων μετεωριζόμενα προυχώρει καὶ προϊόντα ἐπινέφελα ἦν. 19. Ὁ κάμνων ἐπὶ τούτοις παρελήρει καὶ ἀνεπαισθήτως ἐπὶ κλίνης τὰς φυσικὰς ἀνάγκας ἐπλήρου. 20. Ἑνδεκάτῃ ἐπὶ τῇ ἐπιφανείᾳ τὸ παρυφιστάμενον ἐνήχετο λευκὸν μέν, ὑπόγλισχρον δὲ καὶ οἷον εἴρηται ἐν τοῖς περὶ διαφορᾶς οὔρων τὸ ἀντίθετον τῷ τραχεῖ τυγχάνειν. 21. Ἐῴκει γὰρ τοῦ κατὰ φύσιν εἶναι παχύτερον καὶ οἷον ἂν φαίης εἶναι τὸ γονοειδές, τὴν μετ' αὐτὴν δὲ καὶ ἑτέραν οἶμαι οὐδέν πη ὤφθη τοῖς οὔροις

στάμενον. 22. Ἀνείθη μετ' οὐ πολὺ τὴν παρα- υνην ὁ ἄνθρωπος, ἐρραΐσε πάντη, ἐτέθραπτο. 23. Οὔπω ιβῶς εἰς τὴν προτέραν ἧκεν ὑγίειαν, καὶ παρωτίδες κατέρωθέν οἱ ἐξεπεφύκεσαν. καὶ αὗται δὲ πεπανθεῖσαί τε καὶ ἀναστομωθεῖσαι ὑγίανται. 24. Ἐδόκει οὖν τὸ δι' ὅλου ἐπινέφελον παρυφιστάμενον τὴν ἐπ' ἐκεῖνα ῥοπὴν τῆς ὕλης ἐπισημαίνειν. 25. Ταῦτ' ἄρα καὶ ὑμῖν προσῆκον, ὅσοι δῆτα περὶ τὰ τοιαῦτα σπουδάζετε ἐκμανθάνειν τε καὶ προλέγειν τὰ δέοντα. 26. Καὶ ταῦτα μὲν τὰ παρυφιστάμενα λευκά τε ὄντα καὶ ἀμιγῆ, σωμάτων ἑτεροειδῶν τῷ τόπῳ μόνῳ διαλλάξαντα τοσαῦτα λυπεῖν εἴωθεν. 27. Ἂν μέντοι καί τινα αὐτοῖς ἐπιφέρηται ἑτεροειδῆ, ἀπὸ μὲν τοῦ χρώματος τὸν χυμὸν καταγγέλει. 28. Εἰ δὲ καὶ διαξαίνοιντο δι' ὅλου τὰ τοιαῦτα παρυφιστάμενα καὶ τὸ κατὰ πλάτος τοῦ χύματος καταλαμβάνοιεν διάστημα κατ' ἀναλογίαν καὶ τὰς ἀλγεινὰς αἰσθήσεις τοῖς κάμνουσιν ἐπεγείρει, ἐπὶ τὰ μέρη ταῦτα τῆς ὕλης διωθουμένης τῷ προσισταμένῳ νόθῳ πνεύματι. 29. Καὶ λέλεκται περὶ τούτων κἀν τοῖς περὶ διαγνώσεως οὔρων λόγοις.

*Κεφ. ιδ'. Περὶ τῆς ἐκ τῶν ἀνομοιομερῶν παρυφισταμένων προγνώσεως.*

1. Τά γε μὴν φαῦλα τῶν παρυφισταμένων τῷ χρώματι τοσούτῳ χείρω καταγγελεῖ τῷ σώματι ὅσῳ καὶ πρὸς τὸν πυθμένα τοῖς κατὰ φύσιν ὡσαύτως παρυφισταμένοις χωρεῖ. 2. Μέλανα γὰρ ἐναιωρήματα κάτω ἰόντα μὲν εἰς ὑπερβολὴν πονηρίας ἥκειν δηλοῖ τὴν νόσον· καθόσον δ' ἂν ἐπινεφελοῦται, καὶ τὸν κάμνοντα περιέσεσθαί ποτε δηλοῖ, τῆς φυσικῆς δυνάμεως ἰσχυούσης. 3. Ἐκεῖνα μὲν γὰρ τὴν φύσιν οἷον καταδέξασθαι νικηθεῖσαν ὑπαγορεύει, ταῦτα δέ πως ἔτι ἀντίσχουσαν ἀπωθεῖσθαι, ἀντεστραμμένως τούτου συμβαίνοντος τοῖς κατὰ φύσιν παρυφισταμένοις. 4. Αἱ δὲ χολώδεις τε καὶ δίαιμοι καὶ ἐρυθραὶ τὸν μέσον τῶν τε πάνυ πονηρῶν καὶ ὑγειῶν ἀνειληφυῖαι λόγον καὶ τὴν ἐπὶ τῇ κρίσει μεσότητα ἀνειλήφασι, δέοιντο δ' ἂν καὶ αὗται πλείονος εἰς πέψιν χρόνου, ὥστε δεῖ καὶ τῆς δυνάμεως αὐτῆς καταστοχαζόμενον ἀναλόγως καὶ τὰς προγνώσεις ἐπισυνάγειν. 5. Περὶ δὲ τῶν ἀθρόων καὶ τὸ

*πλέον τῆς ἀμίδος παρυφισταμένων ἐχόντων καὶ διενεγκόντων πάχει τὰ σύμμετρα ὧδέ πῃ μαθεῖν ἐστιν ἀκριβέστερον.* 6. *Ἐν μὲν ταῖς ἀρχαῖς τε καὶ ἐπιδόσεσι τῶν νοσημάτων φαινόμενα καὶ μάλιστα εἰ ἀξιόλογος εἴη ὁ πυρετός, περιουσίαν μὲν ἐξαγγέλλειν τῶν χυμῶν, ῥώμης δὲ καὶ χρόνου εἰς πέψιν δεῖσθαι καὶ τύχης ἀγαθῆς οἶμαι, ὥστε καὶ στενοχωρίαν τινὰ ἐντεῦθεν περὶ τὸν θώρακα στοχάσαιο, τῷ πλήθει οἷον στενοχωρουμένου τοῦ διαφράγματος.* 7. *Ἀκμαζόντων δ' ἤδη καὶ παρακμαζόντων τῶν πυρετῶν, σωτήριά τε καὶ ἀγαθὰ ἐπ' ἐκεῖνα τὴν ὁρμὴν ἀπειληφότων τῶν περιττῶν.* 8. *Ὁ δὲ περὶ ὀροβοειδῶν τε καὶ πιτυροειδῶν, πεταλωδῶν τε καὶ κριμνωδῶν ὑποστάσεων λόγος πάλαι μὲν ὡς ἔδει ἐν τοῖς περὶ διαγνώσεως οὔρων εἴρηται.* 9. *Νυνὶ δὲ τοσοῦτόν ἐστιν ἐπιθεῖναι, ὡς, ἂν μὲν ἐπὶ τὰ χείρω καὶ πλείω ταῦτα προΐῃ, μέμφεσθαι καὶ ἀπαγορεύειν, ὡς τὴν ἕξιν φθείροντα θέμις.* 10. *Τοὐναντίον δ' αὖ μειούμενά τε καὶ ἐπὶ τὰ ἧττον πονηρὰ χωροῦντα, προσίεσθαί τε καὶ μὴ ἀπελπίζειν τὴν σωτηρίαν τοῦ κάμνοντος.* 11. *Ἔχεις καὶ τὸν περὶ τῶν παρυφισταμένων λόγον ἱκανῶς ἐκτεθειμένον, οἶμαι, τοῖς τὸ βραχυλογεῖν ἀσπαζομένοις καὶ τοῖς διὰ μετριωτέρων τὰ πλείω μανθάνειν ἐθέλουσιν. ἑξῆς οὖν ἴωμεν τῷ λόγῳ.*

*Κεφ. ιε'. Περὶ τῆς ἐκ τῶν πομφολύγων προγνώσεως.*

1. *Ἐπεὶ τοίνυν ὁ περὶ πομφολύγων λόγος οὐδέ τι λυσιτελεῖν εἰς διάγνωσιν, καθὰ καὶ περὶ τούτου ἐκεῖ που ἔφαμεν, καὶ νῦν ἐπιθῶμεν τῷ λόγῳ ὅσον ἀποχρήσειν δόξῃ εἰς πρόγνωσιν.* 2. *Ἐπὶ μὲν οὖν τῶν ὑγιαινόντων ἐπινηχόμεναι τοῖς οὔροις ψυχρῶν πνευμάτων περιουσίας σύμβολα νομίζοιντ' ἄν, καὶ μάλιστα εἰ μείζους τε καὶ διακεχυμέναι φαίνοιντο ἀνωμάλως.* 3. *Ἐπὶ δὲ πυρεσσόντων μήπω μὲν πρότερον ὀφθεῖσαι κρίσιν ὅσον οὔπω τοῦ πυρετοῦ σημαίνουσιν.* 4. *Ἤρκεσαν γάρ ποτε φανεῖσαι πεῖσαι παρηκμακότα τὸν πυρετὸν οἴεσθαι, ὥσπερ ἀμυδρὰ τυγχάνουσαι πέψεως σύμβολα καὶ ἄγγελοι παρυφισταμένων τότε πεπεμμένων νομίζονται, καὶ ἀντ' ἐκείνων ἐνίοτε μὴ φαινομένων ἀποχρῶσιν αἱ λάμπαι, συναναφαινόμεναι*

δ' καὶ συμπροϊοῦσαι πυρετοῖς, ἄλγη μὲν ἐπάγουσιν οὐ μέτρια κεφαλῆς. 5. Οὐ μέντοι καὶ κινδυνώδη, καὶ μάλιστα εἰ μετὰ λεπτῆς συστάσεως ὡς στεφάνη ἐπινήχονται, μετὰ δὲ παχείας ὡς μετριωτέρας οὔσης καὶ αὗται μετριώτερα φαινόμεναι σημαίνουσιν. 6. Ὃ δ' ἐκεῖ μὲν εἴρηται καταρροίας σύμβολον, εἰς πνεύμονα δὲ εἶναι ἐπιπροηγησαμένης κεφαλαλγίας ὤφθη, τοιοῦτόν τι πέφυκεν. 7. Ἐπειδὰν θέρους ὥρα ᾖ — τότε γὰρ μάλιστα συμβαίνειν εἴωθεν — ἢ καὶ ἄλλως πως ἐπὶ τὸ θερμότερον διατεθεὶς ὁ ἄνθρωπος, δίψα δ' αὐτὸν ἔχει, προσενέγκηται δὲ τοῦ δέοντος πλείω πόματα, τότε δὴ τότε ἡ κεφαλὴ αὐχμῶσα ἐπεσπάσατο τὸ πολὺ τῆς ὑγρότητος καὶ πλήρης γέγονε. 8. Μετ' οὐ πολὺ δὲ ὀδύνη ἔσχεν αὐτὴν καὶ βάρος μέτριον, ἐπισπασαμένην μὲν τοῦ προσήκοντος πλέον ὡς εἴρηται διὰ τὴν ἐπιγεγονυῖαν αὐτῇ θερμὴν κατάστασιν, ἐξαποροῦσα δὲ τὴν τοσαύτην πέψαι ὑγρότητα, ἀφ' ἧς καὶ αἱ ὀδύναι γίνονται μὴ κρατουμένης. 9. Ἀλλ' ἐπειδὰν ἡ κεφαλὴ βαρυνομένη τὸ μὲν προσλάβηται, τὸ δὲ ἕτερον ἀπολύσῃ, τοῦτο κατενεχθὲν καὶ τῇ λεπτότητι παραρρυὲν εἰς τὸν πνεύμονα, βῆχα μὲν ἠρέθισε, κοιλίαν δ' ἤδη ὑποκατιὸν βραχύ τι ὅσον ἐτάραξεν. 10. Καὶ ὑγιαίνουσι μὲν καὶ νοσοῦσι τοιαῦτα φανέντα οὖρα τὰ παραπλήσια ἂν σημάνειεν. 11. Οὐ μέντοι ἐπὶ νοσούντων ἢ πολλοῦ πόματος προσφορὰν ἢ αὐχμὸν ἐκ κόπου καὶ ἄλλα ὅσα αἴτια διενηνοχότα ᾖ, τῷ τῆς τοιαύτης θήσεις μέρει προγνώσεως. 12. Αἵ γε μὴν τὴν τῆς κεφαλῆς ὀδύνην ἐσήμαινον, κατὰ βραχὺ μὲν διαλυόμεναι καὶ τὰς ἀλγηδόνας μειοῦσθαι σημαίνουσι, πάμπαν δὲ πολλαὶ καὶ μείζους καὶ ἀνώμαλοι διὰ κακοχυμίαν ἐπὶ τῆς ἀμίδος ἐπιλελύσθαι ἤδη τὰς ἡγησαμένας ὀδύνας. 13. Ὅτι δὲ καὶ τῶν σημαινουσῶν ὀδύνην πομφολύγων αἱ μὲν διὰ πάσης τῆς στεφάνης καὶ τῆς ὅλης κεφαλῆς σημαίνουσι τὴν ὀδύνην, αἱ δ' ἡμιτόμοι τῆς ἡμισείας καὶ αἱ λοιπαὶ ἀναλόγως, καὶ τοῦτο μαθεῖν ἐστιν ἐντεῦθεν.

*Κεφ. ιϛ΄. Περὶ προγνώσεως τῆς ἐκ τῶν κατὰ τὴν στεφάνην ἑτεροειδῶν χρωμάτων.*

1. *Περὶ δὲ τῶν κατὰ τὴν στεφάνην ἑτεροειδῶν χρωμάτων οὕτω δεῖ οἴεσθαι, ὡς τὰ μὲν χείρω χρώματα τῶν κατὰ τὸ λοιπὸν χύμα μέμφεσθαι δεῖ καὶ τοσούτῳ μᾶλλον ὅσῳ καὶ χείρω διαφαίνεται.* 2. *Τὰ δὲ ἀμείνω δὲ προσίεσθαι ἀρχῆς τυγχάνοντα ἐπικρατείας τῆς φύσεως.* 3. *Ἐκεῖθεν γὰρ ὥσπερ ἀπ᾽ ἀρχῆς τινος ἠργμένης τῆς φύσεως ἢ κρατεῖν ἢ κρατεῖσθαι κατὰ τὴν ἀπὸ τῶν περὶ τὴν στεφάνην χρωμάτων διάγνωσιν ἔστιν ὡς εἰκὸς εἰδέναι σωτηρίαν καὶ θάνατον.* 4. *Ἀλλ᾽ αὗται δὴ αἱ στεφάναι τὸ μὲν πλέον ὁμόχροοι τυγχάνουσαι τῷ λοιπῷ τοῦ χύματος χρώματι οὔτε διαφέρονται, καὶ ἀπὸ τοῦ παντός ἐστιν ὧδε χρώματος συλλογίζεσθαι.* 5. *Ὁπόταν δὲ τύχοιεν διαφέρουσαι τῷ χρώματι, ἐπίδηλοι μὲν ἤδη τοῖς νοῦν ἔχουσιν. ἐκεῖθεν δὲ δεῖ τεκμαίρεσθαι τὰς οἱασδήτινας κινήσεις τοῦ σώματος.* 6. *Καὶ περὶ μὲν τῶν κατὰ τὴν στεφάνην εἴρηται καὶ πρότερον κἀν τοῖς περὶ διαγνώσεως, ὥστε καὶ τὸ νῦν ῥηθὲν πρὸς ἐκείνῳ ἀρκοῦν δόξει τοῖς ἐκ βραχέων συλλογιζομένοις καὶ πλείονα.* 7. *Νῦν δὲ προσεπιμνησθέντες καὶ τῶν, εἴ τι λέλειπται, τὸν περὶ προγνώσεως ὧδέ πῃ καταπαύσωμεν τὸν πρῶτον λόγον.* 8. *Τὰ τοίνυν ὄζοντα τῶν οὔρων μετὰ φαύλων μὲν χυμάτων καὶ παρυφισταμένων φαινόμενα τὴν ὅλην ἕξιν νενεκρῶσθαι διαφαίνει τοῦ σώματος, ὥστε ἐγγὺς ἤδη τελεῖν τὸν θάνατον οἴεσθαι καὶ προσήκειν καὶ προλέγειν, ἑτέρως δὲ ἔχοντα καὶ μάλιστα εἰ πῦον ὑφίζον, κἀκεῖνό γε τὸ ὄζον, καί που τὴν ἐντὸς σημαίνει πληγήν.* 9. *Κἂν μὲν ἐπὶ προήκοντι τῷ χρόνῳ μείω τῆς ὀδμῆς καὶ τοῦ ὄγκου φαίνηται, τάχ᾽ ἂν ἐπικρατεῖν τὴν φύσιν λογίσαιο, ἐκεῖνο δ᾽ αὖ εἰ τἀναντία.* 10. *Ἀλλὰ δὴ καὶ τὰ συνεχῶς ἐπινηχόμενα συντήγματα καὶ οἷον ἀράχνια φαῦλά τε καὶ προλέγειν χρή, ἢ νεφροὺς πεπονθέναι ἢ τὸ σῶμα ἀτροφεῖν συντήξεως γινομένης. καὶ ταῦτα μὲν ὧδε κείσθω.*

11. *Ἐπεὶ δὲ μέτρον ἀρκοῦν ἤδη τῷ λόγῳ τούτῳ τεθήκαμεν, ἐνταῦθα μὲν τοῦτον καταπαύωμεν διεξιόντες ὅσα ἔν τε χρώμασι καὶ συστάσεσι παρυφισταμένοις τε καὶ [ὅσα ἐν αὐτοῖς τεθεώρηται, στεφάναις τε καὶ] πομφόλυξιν,*

ὀδμαῖς τε καὶ τοῖς ἐπινηχομένοις συντήγμασιν ἐς πρόγνωσιν εἴωθε λυσιτελεῖν, ὅσα δὲ λέλειπται, ὁ μετὰ τοῦτον ἕξει λόγος. 12. Τάχα γὰρ ἂν ἐν ἐκείνῳ καὶ τὸ πᾶν τῆς πραγματείας περάνωμεν. 13. Εἴη δὲ κἀκεῖ τὰ δέοντά τε καὶ λείποντα φάναι, κἂν τι δὲ καὶ διαμαρτεῖν γένηται ἀνθρώπους ὄντας, καί τοί γε πολλὰς ἐν ἄλλοις ἀφορμὰς εἰρηκότων συγγνοίη μὲν ἂν ὁ συνετὸς πρὸς τὸ οὐκ εὐεπήβολον τῆς πραγματείας ἑωρακώς, προσθείη δ' ἂν ὁ προσεξευρὼν τὸ ἐπὶ πᾶσι κάμνουσί τε καὶ ὑγιαίνουσι τῆς πραγματείας σκοπήσας χρήσιμον.

---

# *ΠΕΡΙ ΠΡΟΓΝΩΣΕΩΣ ΟΥΡΩΝ*

## *ΛΟΓΟΣ Β.*

---

### *Προοίμιον.*

1. *Τὸ τὴν πρόγνωσιν ἀσκεῖν τε καὶ ἐπιτηδεύειν πάλαι μὲν Ἱπποκράτῃ τῷ σοφῷ διὰ σπουδῆς γέγονεν, ὥστε καὶ προγνωστικὸν κατέλιπε σύγγραμμα καὶ μετ' αὐτὸν δὲ τῷ δεινῷ τὴν τέχνην Περγαμηνῷ Γαληνῷ.* 2. *Ἀλλὰ δὴ καὶ εἴ τις ἕτερος κατ' αὐτοὺς ἢ καί τι ἐλλείπων πολλὴν τὴν περὶ τούτου πρόνοιαν ἐποιεῖτο, τὸ μὲν ἀλογίστως θεραπεύοντά τινα ἐπιτυγχάνειν, τύχης μᾶλλον ἄν τις ἢ τέχνης θείη.* 3. *Τὸ δὲ λόγῳ μὲν ἐπιχειρεῖν τοῖς νοσήμασι, προλέγειν τά τε ὄντα καὶ συμβησόμενα καὶ τὰ προγεγονότα πρὸς τούτοις, τοῦτο μὲν ἀξιέραστον τῆς τέχνης μέρος καθέστηκεν, οὐκ ὀλίγην δέ τινα πειθὼ καὶ δόξαν ἐπιτίθησι τοῖς ἀσκήσασιν.* 4. *Οἵ τε γὰρ κάμνοντες πυθόμενοι ἃ πάσχουσι, πρὶν ἢ φάναι, ἑτοίμως ἑαυτῶν τὴν σωτηρίαν τούτοις πιστεύουσι, καὶ οἱ δ' αὖ μετ' ἀσφαλείας καὶ βεβηκότος φρονήματος λέγουσί τε καὶ πράττουσι τὰ δέοντα, φήμη δ' ἀγαθὴ περιρρεῖ τοὺς πολλοὺς τῆς ἐπὶ τοὺς κάμνον-*

τας προγνώσεως τὸ ἀξιόπιστον παρεσχηκυίας τοῖς ἀσκήσασι. 5. Πολλῶν οὖν ὄντων, ἐξ ὧν ἄν τις ἀσκήσας ἐπιτηδεύοι πρόγνωσιν, οὐχ ἧττον τῶν ἄλλων καὶ ἡ ἀπὸ τῶν οὔρων πέφυκε πρόγνωσις. 6. Ὁ γὰρ δὴ ταύτην ἀσκήσας βραχύ τι ἂν οἶμαι τῆς ἐπὶ πᾶσι γινομένοις τοῖς ἀνθρωπίνοις πάθεσι διαπέσει προγνώσεως. 7. Ἐπεὶ τοίνυν ἔφθημεν εἰρηκότες ἐν τῷ πρὸ τούτου λόγῳ, ὅσα προσήκειν ἔδοξε ἐπί τε χρώμασι καὶ συστάσεσιν καὶ παρυφισταμένοις καὶ εἴ τι ἕτερον, νῦν ἂν προφρόνως ἐπιθείημεν καὶ τὰ λείποντα τῷ λόγῳ. 8. Ἐπεὶ οὖν καὶ τὰ ἀνυπόστατα τῶν οὔρων λυσιτελεῖν εἰς πρόγνωσιν εἰώθασι, περὶ τούτων πρῶτον εἰρηκότες, εἶθ' οὕτω καὶ περὶ τῶν λειπομένων ἐροῦμεν, ὅσα δηλονότι ἐπί τε διαφοραῖς πυρετῶν λέγεται καὶ πεπονθόσι τόποις καὶ πρὸς τούτοις ὅσα ἔν τε τοῖς κρισίμοις καὶ μὴ τῶν ἡμερῶν ταῦτα δύνανται.

### Κεφ. α΄. Περὶ τῆς ἐκ τῶν ἀνυποστάτων οὔρων προγνώσεως.

1. Τὰ μὲν οὖν ἀνυπόστατα τῶν οὔρων δεινὰ μὲν ὅσα εἰκός, οὐκ ὀλίγην δὲ τὴν ἐν αὐτοῖς διαφορὰν ἐκληρώσατο. 2. Ἐν μὲν γὰρ τοῖς ὀξέσι πυρετοῖς κατά τε τὰς ἀρχὰς καὶ ἐπιδόσεις μὴ φαινόμενα παρυφιστάμενα οὐ μετρίαν τινὰ τὴν ἀρρωστίαν τῆς δυνάμεως ἐξαγγέλλει. 3. Ἐπεὶ γὰρ ἐπὶ τοσοῦτον ἥκεν ἀτονίας αὕτη, ὡς καὶ τῶν ἀναγκαίων αὐτῶν ἐπιλαθέσθαι διὰ σφοδρῶς λυποῦντα αἴτια, τί ἄν τις φαίη ἢ μὴ ἐξικέσθαι καὶ μέχρις αὐτῆς ἀκμῆς τὸ νόσημα, προαπειρηκυίας ὥσπερ τῆς φύσεως, καὶ πολλαὶ μὲν τούτοις ἀϋπνίαι γένοιντ' ἄν, οὐ μέτριοι δὲ θόρυβοι, καὶ παραφροσύναι, ἀλυσμοί τε καὶ ὅτι χεῖρον τούτων θάνατον ἀπειλούσης τῆς νόσου. 4. Ἂν μέντοι μέτριος ὁ πυρετὸς τούτοις εἴη καὶ τοιαῦτα φαίνηται ἐν ἀρχαῖς τε καὶ ἐπιδόσεσι τὰ οὖρα, συμβαίεν μὲν ἂν καὶ οὕτω παραπλήσια συμπτώματα, πάνυ γε μὴν μετριώτερα, καθόσον ἂν δῆλον ὅτι ἥ τε δύναμις ἔρρωται καὶ ὁ πυρετὸς πραΰτερος φαίνηται. 5. Εἰκὸς γὰρ ἑαυτήν ποτε ἀνακαλέσασθαι τὴν δύναμιν, μὴ πάνυ ὑπὸ νοσερῶν πολεμουμένην αἰτιῶν, καὶ πέψεσιν ἐπιχειρῆσαι καὶ παρυφιστάμενα δεῖξαι, πέψεώς τινος τυγχάνοντα σύμβολα. 6. Συμβαίνει γε μὴν ἐνίοτε

[illegible]ς ἀνυποστάτοις τῶν οὔρων λεπτοῖς τυγχάνουσι μετὰ [illegible]ντέρων τῶν πυρετῶν εἴ γε καὶ ἕτερά τινα συνεργὰ [illegible]ια εἴη, ἀπόστασιν γενέσθαι πη τοῦ σώματος, ἐκεῖσε δηλονότι συναθροιζομένου τοῦ περιττοῦ. 7. Εἴη δ' ἂν αἰτία σύνεργος χειμερινὴ μὲν τοῦ περιέχοντος κατάστασις, ἀκρίσια δὲ καὶ πεπλανημένη κίνησις τοῦ νοσήματος καὶ αὐτοῦ δὴ τοῦ νοσοῦντος μετρίως ἄρρωστος δύναμις. 8. Καὶ ταῖς μὲν ἀρχαῖς τε καὶ ἐπιδόσεσι τῶν νοσημάτων φαινομένων ἀνυποστάτων οὔρων τοιαῦτ' ἂν ἴσως προγνοίης, παρακμάσαντος δὲ τοιαῦτα ἐπιφανέντα οὐ πάνυ μέμφεσθαι δεῖ. 9. Ἐπεὶ γάρ, ὃ σπουδαζόμενον ἦν, περιγεγενῆσθαι δηλονότι τἀρρωστήματος τὴν φύσιν γέγονεν, ἀκμάσαντός τε καὶ παρακμάσαντος τοῦ νοσήματος, οὐδὲν ἂν εἴη τοῦτο ξένον, εἰ ὥσπερ κεκμηκυῖα ἡ φύσις ἑαυτὴν μὲν ἀνακαλεῖται πρότερον, εἶθ' οὕτως δὲ καὶ τὰ ἑαυτῆς θρέψεις μὲν ποιοῦσα τῷ σώματι, παρυφιστάμενα δὲ τοῖς οὔροις δεικνύουσα. 10. Τῷ μὲν γὰρ τῆς συναγωγῆς τε καὶ ἀναρρώσεως χρόνῳ βραχέα τινὰ ἐπισπωμένη, ὡς μὴ ἐκλίπῃ τούτοις, ἀρκεῖται. 11. Ἐπισυναχθεῖσα δ' αὖθις πλείω μὲν ἐπισπᾶται θρέψουσαν ὕλην, ἐπίδηλα δ' ἤδη καὶ τὰ παρυφιστάμενα γίνεται, ὡς οἶμαι καὶ ἐπὶ θηριομαχήσασι συμβαίη ἂν ἀνδράσιν, οἳ πολλὴν μὲν ἀγῶνα ὡς περιγένωνται, ποιοῦνται, περιγενόμενοι δὲ πρῶτον μὲν ἑαυτῶν ἀνακαλοῦνται κεκμηκυῖαν τὴν δύναμιν, εἶθ' οὕτως δὲ τὰ σφῶν αὐτῶν ἐπιτελοῦσιν ἐπιτηδεύματα. 12. Ἐνίοτέ γε μήν, ὥς που καὶ πρώην εἴρηται, πομφόλυγες ἐπιφανεῖσαι ἤρκεσαν ἀντὶ παρυφισταμένου μὴ πρώην φανεῖσαι. 13. Καὶ δι' ἀπεψίας μὲν καὶ ἐμφράξεις συμβαῖεν ἂν ἀνυπόστατα οὖρα καὶ τοῖς ὑγιαίνουσιν, ἀλλὰ πρὸς βραχὺ μὲν ὀφθέντων τάχ' ἂν ἀντίσχῃ ὑγιαίνων ὁ ἄνθρωπος. 14. Χρονίζοντος δὲ τοῦ δεινοῦ, ῥᾳδίως μὲν ἂν ἁλῷ νοσήματι, προχείρως δὲ καὶ αὐτὸς προγνοίης, εἰδὼς ὁποῖα ἐπὶ ποίαις διαθέσεσι μάλιστα νοσήματα εἴωθε γίνεσθαι, οὐ μεῖον τῆς τε ἡλικίας καὶ διαίτης καὶ τῆς τοῦ περιέχοντος καταστάσεως, τῶν τε ἐν αὐτοῖς λοιπῶν τοῖς οὔροις τεθεωρημένων, καθάπερ πρότερον ἔφημεν, εἰς τὴν τῶν τοιούτων πρόγνωσιν συντεινόντων. 15. Ἀλλ' ὁ μὲν περὶ τῶν ἀνυ-

*ποστάτων ὡς ἐν βραχεῖ φάναι λόγος τοιοῦτος ἂν ἀποδοθείη. ἑξῆς δ' ἂν εἴη χρεὼν καὶ τῶν ἐπὶ διαφόροις πυρετω εἴδεσιν ἀπὸ τῶν οὔρων προγινωσκομένων φάναι.*

*Κεφ. β'. Περὶ τῆς ἐκ τῶν ἐπὶ διαλείπουσι πυρετοῖς οὔρων προγνώσεως.*

1. *Τῶν τοίνυν διαλειπόντων πυρετῶν τριταίου φημὶ καὶ τεταρταίου καὶ προσέτι ἀφημερινοῦ δι' ἐμφράξεις τε καὶ ἀπεψίας καὶ προσέτι ἐπιδόσεις τῶν αὐτοὺς παροξυνόντων χυμῶν γεγενημένων, ἐν ἀρχαῖς δ' ὡς ἐπὶ τὸ πλεῖστον ἀνυπόστατα τὰ οὖρα προϊεμένων, καθά που καὶ πρότερον διωρίσαμεν, ἐντεῦθεν ἂν στοχαζόμενος προγνοίης τὸν τῆς παρατάσεως χρόνον.* 2. *Ἐπεὶ γὰρ μήπω κρατησάσης τῆς ἐμφύτου θερμότητος τῆς οἱασδήτινος ὕλης καὶ πεψάσης, οἵ τε παροξυσμοὶ καὶ οἱ ἐπὶ τούτοις γίνονται πυρετοί, ὥσπερ διαμαχομένης ἔτι τῆς φύσεως εἰς τὴν τῶν λυπούντων πέψιν τε καὶ ἀπόκρισιν, εἰκότως ἄρα καθόσον μὲν ἂν χρόνον ἀμοιροῦντα φαίνεται τὰ οὖρα πέψεως, καὶ οἱ κατέχοντες παροξυσμοὶ ἐπιμείνοιεν λυποῦντες τὸν κάμνοντα.* 3. *Ἐπειδὰν δὲ βραχύ τι πέψεως διαγνωσθείη σύμβολον, ἐλπὶς μὲν περιγεγενῆσθαι τὸν ἄνθρωπον τοῦ νοσήματος, ἐπικρατῆσαι δ' ἤδη πάμπαν τῶν νοσερῶν τὴν δύναμιν.* 4. *Ἐπεὶ γὰρ τοῖς καθ' ἕκαστον παροξυσμοῖς βραχύ τι ἀλλοιοῖ καὶ πέττει οὐκ ἐπίδηλον ὂν αἰσθήσει μὴ κατακρατεῖν τοῦ πάθους νομίζεται τοῦ πλείονος ἀπέπτου καὶ προσισχομένου τυγχάνοντος.* 5. *Ἐπειδὰν δ' ἐπὶ τοσοῦτον ἐπικρατείας ἥκῃ τοῦ λυποῦντος χυμοῦ, πέψεως μὲν ἐπίδηλα τοῖς οὔροις παρυφιστάμενα φαίνεται, ὅσον δ' οὔπω, καὶ πᾶν τὸ περιττὸν ἀπώσασθαι τὴν φύσιν πέψασαν μαρτυρεῖ, πεπλεονέκτηκε δὲ ἐπὶ τῶν διαλειπόντων πυρετῶν ὁ τριταῖος, ὅτε καὶ νεφέλη μόνη ἐπὶ τούτοις τοῖς οὔροις ὀφθεῖσα ἤρκεσε τὴν λύσιν ἐπισημήνασθαι.* 6. *Τοῦ γάρ τοι λεπτοῦ τε καὶ εὐδιαφορήτου χυμοῦ ῥᾳδίαι μὲν αἱ πέψεις τε καὶ ἀποφράξεις, ῥᾳδίως δ' ἐπιχειρούσης τῆς φύσεως τὰ ἐπὶ τούτῳ συμπτώματα λύεται, ὥστε δεῖ σε τὸν συνετὸν διὰ ταῦτα τοῖς μὲν χρόνοις τῶν ἀπεψιῶν, τὴν βραδυτῆτα καταστοχάζεσθαι τῆς ἀνέσεως, τῇ δ' ἀρχῇ τῆς πέψεως, καὶ τὴν παχύτητα καταστοχάζεσθαι τῆς κρίσεως.* 7. *Καὶ περὶ*

*μὲν τοιούτων χρόνων εἴρηται τῷ σοφῷ Γαληνῷ, ἐν οἷς περὶ κρίσεως διατίθεται, τάχα δ' ἂν καὶ ἡμῖν ῥηθείη ὧδε μετρίως, ὅσον ἂν δηλονότι δόξῃ τῇ περὶ οὔρων ἀνήκειν πραγματείᾳ.* 8. *Ἑξῆς τοίνυν καὶ περὶ τῶν ἐπὶ συνεχέσι πυρετοῖς φαινομένων οὔρων διορισάμενοι ὅσα δῆτα εἰς πρόγνωσιν ἀρκεῖν νομίζουσιν οἱ καθ' ἡμᾶς λόγοι, εἶθ' οὕτως καὶ περὶ τῶν λειπομένων ἐροῦμεν.*

### *Κεφ. γ'.— Περὶ τῆς ἐκ τῶν ἐπὶ συνεχῶν πυρετῶν οὔρων προγνώσεως.*

1. *Οἱ τοίνυν συνεχεῖς πυρετοὶ ἐπὶ σήψει γεγενημένοι χυμῶν, ὁποῖοι μὲν ἄν τινες ὦσιν, εἴθ' ἁπλοῖ εἴτε δὴ καὶ συμπεπλεγμένοι, ἀπὸ τῶν ἐμφερομένων δηλώσουσι χρωμάτων.* 2. *Τὸ δὲ δὴ ποσὸν τῆς πέψεως καὶ τὴν ποιότητα τῶν χυμῶν αἵ τε συστάσεις καὶ τὰ παρυφιστάμενα καὶ λέλεκται περὶ τούτων πρότερον ἀσφαλέστερον.* 3. *Νῦν δὲ τοσαῦτά ἐστιν ἐπιθεῖναι τῷ λόγῳ, ὅσ' ἂν εἰς πρόγνωσιν ἀρκέσειν δόξῃ, ὥστε ῥητέον γὰρ ἐντεῦθεν ῥᾳδίως μὲν πεττομένων τῶν οὔρων, διὰ βραχέος δὲ τοῦ χρόνου πρὸς τὸ κατὰ φύσιν ἐπειγομένων, ὀξεῖαν μὲν τὴν τοῦ νοσήματος κίνησιν εἶναι νομίζομεν, ἐρρωμένην δ' αὖ γε τὴν δύναμιν.* 4. *Βραδέως δ' αὖ τὰ οὖρα πεττόμενα καὶ διὰ χρονοῦ μᾶλλον εἰ πονηρότερον εἴη ταῦτα καὶ πόῤῥω τῶν συμμέτρων πεφυκότα ὀξεῖαν μὲν τὴν κίνησιν τῶν νοσημάτων δηλοῖ.* 5. *Ἄῤῥωστον δ' ἱκανῶς τὴν δύναμιν, ὥστ' οὐκ ὀλίγον ὑποπτεύεται δέος ἐντεῦθεν μὴ οὐχὶ φθάσῃ ἐξικέσθαι ταῦτα πέψαι προαπορήσασα ἡ δύναμις.* 6. *Ἂν μέντοι μετρίως μὲν φαῦλα τὰ οὖρα ᾖ, διὰ χρόνου δὲ καθίσταται πρὸς τὸ σύμμετρον, οὔτε τὴν δύναμιν ἐῤῥῶσθαι δίδωσιν ἐννοεῖν καὶ τὴν τοῦ νοσήματος ἠρέμα πως ἐμφαίνει κινεῖσθαι κίνησιν.* 7. *Εἰ δὲ τὰ μὲν οὖρα τάχιστ' ἀλλοιοῦται μεταβαλλόμενα, οὐ πολλῷ δὲ λείπεται τῶν συμμέτρων, ῥώμην μέν τινα τῆς δυνάμεως καταγγέλλει, οὐ μέντοι τοῦ νοσήματος κακοήθειαν.* 8. *Ἀλλ' ὁ μὲν περὶ ποιότητος νοσήματος καὶ διαθέσεως λόγος ἐντεῦθεν συναγόμενος φαίνεται καὶ δεῖ τὰς τούτων ἀκριβῶς παρατηρεῖσθαι μεταβολὰς καὶ ἀπὸ ποίων ἐπὶ ποῖα μεταβάλλεται ἐννοεῖν, καὶ εἰ τοῖς οὔροις ἡ τοῦ νοσήματος εὐήθειά τε καὶ κακοήθεια διαφαί-*

*νεται. 9. Τὰ γὰρ ὑπεναντίως ἔχοντα ὕπουλά τε καὶ πονηρά. πρὸς τούτοις γε μὴν καὶ τοὺς ἐπὶ ταῖς μεταβολαῖς χρόνους θέμις σκοπεῖν, ἐκ τούτων δ' ἂν καὶ τὰς ἐσομένας κρίσεις, εἴτε δηλονότι βραδύτεραι εἴτε ὀξύτεραι στοχάσαιο, περὶ ὧν μετ' οὐ πολὺ λέξομεν. 10. Νῦν δ' ὥσπερ ἀφ' ἑτέρας ἀρχῆς ἀρξάμενοι λέγωμεν περὶ τῶν ἑκάστοις τῶν καιρίων συμβαινόντων μορίοις.*

*Κεφ. δ'. Περὶ προγνώσεως τῶν καθ' οἱανδήτινα διάθεσιν τῆς καρδίας οὔρων.*

*1. Ὁπόταν οὖν ἤ τις ἀξίολογος δυσκρασία καταλάβη τῶν καιριωτέρων ἔνια μορίων ἢ χυμὸς ἐπιρρυῇ τινι τούτων οὐ τὰ μέτρια λυπῶν κατὰ τοῦτο ἂν ἀλλοιωθείη τὰ οὖρα, καθόσον καὶ τὸ μόριον μειζόνων ἐπικεκοινώνηκε φλεβῶν τε καὶ ἀρτηριῶν· τῶν γάρ τοι τοιούτων φλεβωδῶν ἀγγείων ῥαδίως αἰσθομένων τῆς ἐπὶ τῇ καρδίᾳ ἀλλοιώσεως. 2. Οὐ γὰρ ἐφ' ὁποιουδήτινος τῶν καιριωτέρων κακῶς διατεθέντος αὕτη ἀμετάβλητος μένει, ἀλλὰ καθ' ὅσον ἂν ἐφ' ἕτερά τινα μόρια γένηται ἡ ἀλλοίωσις, καὶ αὕτη μεταβάλλεται ἤτοι θερμοτέρα γεγενημένη ἢ ψυχροτέρα, κἄπειθ' οὕτως καὶ τῶν λοιπῶν τῷ χρόνῳ συνδιατεθειμένων μερῶν ἐπιδηλότερον οἵ τε σφυγμοὶ καὶ τὰ οὖρα φαίνεται εἰκόνες τῆς ἐντὸς τυγχάνοντα διαθέσεως. 3. Ἀλλ' ὁ μὲν περὶ σφυγμῶν λόγος κάλλιστά τε καὶ ὑψηλότατα πάλαι τῷ σοφωτάτῳ ἀποδίδοται Γαληνῷ καὶ μαθεῖν ἔξεστιν ἐκεῖθεν τῷ βουλομένῳ· νῦν δ' ἡμεῖς ἐπιθῶμεν τῷ λόγῳ, ὅσα ἂν οἰόμεθα τῇ πραγματείᾳ λυσιτελήσειν. 4. Τῆς καρδίας τοίνυν ἑαυτῇ τὴν κατὰ θερμότητα ἐπιδεξαμένης δυσκρασίαν, τά τε οὖρα ἀλλοιωθείη ἂν δριμύτερά τε καὶ λεπτότερα γεγενημένα καὶ τοῦ πυρετοῦ ἐπινεμομένου ἤδη, μέτρια μὲν ἐξ ἀρχῆς ὀφθείη ἂν τὰ συντήγματα, προβαίνοντος δὲ τοῦ δεινοῦ, ἤδη μὲν ἐλαιοφανῆ καὶ ἐλαιόχροα καὶ ἐλαιώδη γίνεται. 5. Κἂν ἤδη δὲ τὴν πιμελὴν ἐπινεμηθὲν τὸ τοιαῦτον νόθον πῦρ τῆς σαρκός τε ἤδη καὶ τῶν στερεωτέρων ἅπτηται σωμάτων, ἐκεῖναι τῶν ὑποστάσεων φανοῦνται, ἃς ἐπὶ ἑκτικοῖς ἤδη καὶ μαρασμώδεσιν ἔφαμεν συνίστασθαι πυρετοῖς. 6. Ὀροβοειδεῖς δὲ ὁ λόγος οἶδε*

καὶ πιτυρώδεις καὶ πεταλώδεις τε καὶ κριμνώδεις. 7. Ψυχρὰν δὲ δυσκρασίαν δεξαμένης τῆς καρδίας μετρίως μὲν ἀλλοιωθείη ἂν τὰ οὖρα πρὸς τὸ λευκότερον χωροῦντα, ἔνωμα δὲ καὶ μέτρια τούτοις τὰ παρυφιστάμενα ἔσται. 8. Τὰ μὲν γὰρ χρώματα ἀλλοιοῖντ᾽ ἂν ἴσως μετρίως, μήπω πάνυ συμπαθήσαντος τοῦ ἥπατος, τὰ δὲ παρυφιστάμενα ὠμά τε ἔσται καὶ μέτρια, τῆς ἐμφύτου μᾶλλον θερμότητος, ᾗ δὴ καὶ πέττειν τε καὶ ἀλλοιοῦν πεπίστευται, μαραινομένης τῇ γενομένῃ ψυχρότητι. 9. Ἐπιταθείσης δ᾽ ἤδη τῆς ἐν αὐτῇ ψυχρότητος ἤδη μὲν μαραίνοιτ᾽ ἂν ἡ φυσική τε καὶ ἔμφυτος θερμότης, λευκὰ δὲ ἐπὶ τούτοις ἔσται καὶ λεπτὰ τὰ οὖρα καὶ ἀνυπόστατα, τοῦ δὲ δεινοῦ πάνυ κεκρατηκότος πελιδνά τε καὶ μέλανα τούτοις ἂν ἀποδοθείη τὰ παρυφιστάμενα, ἴσως δ᾽ ἂν καὶ δι᾽ ὅλου οὖρα μέλανα ὀφθείη, ἤτοι τοῦ μελαγχολικοῦ ἐκεῖσε διαδοθέντος χυμοῦ δι᾽ ἐσχάτην ἀτονίαν τῆς ἐμφύτου δυνάμεως, ἢ τῆς ψύξεως νέκρωσίν τινα παρεσχηκυίας. 10. Μέλανα δ᾽ ἐπιθήσεις τοῖς οὔροις τῆς νεκρώσεως χρώματα. ἐνδέχεται γὰρ καὶ θάτερον ἐπιγεγονέναι. 11. Τὸ μὲν γὰρ ἔσται τῇ τῆς ἀποκριτικῆς δυνάμεως ἐσχάτῃ ἀρρωστίᾳ, ἐπιρρεούσης ἐκεῖσε τῆς μελαίνας χολῆς, ὅτε δὴ καὶ φόβοι καὶ δυσθυμίαι γένοιντ᾽ ἂν τἀνθρώπῳ καὶ θροῦς οὐ μέτριος· ἐκεῖνο δ᾽ αὖ τῆς ἄγαν ψυχρότητος ἐπισυναγούσης τὰ ὑγρὰ καὶ μέλανα ποιούσης καὶ μάλισθ᾽ ὅταν ἀποστραφεῖσα ᾖ ἡ λαμπρύνουσα τὰ οὖρα χροιά. 12. Τοῦτο δὲ μαθεῖν ἔστι κἀπὶ τῶν ὁσημέραι φαινομένων νεφῶν. καὶ γὰρ ταῦτα κεκραμμένα μὲν ὄντα μετρίως τὰ οἰκεῖα δείκνυσι χρώματα φωτιζόμενα, ἄγαν δὲ πυκνωθέντα μελαίνεται σκιερὰ μὲν πρώτως γινόμενα, τῇ ἐπιταθείσῃ δὲ τραχύτητι ἤδη καὶ μέλανα τοῦ χρόνου προήκοντος. 13. Καὶ ταῦτα μὲν οὕτως τῆς καρδίας διατεθείσης γίνεται.

*Κεφ. ε΄. Περὶ τῆς ἐκ τῶν οὔρων προγνώσεως τῆς κατὰ τὸν πνεύμονα ἀλλοιώσεως.*

1. Ἐπεὶ δὲ ὁ πνεύμων μετὰ τὴν καρδίαν ἑτοιμότερον ἀλλοιοῦται καὶ τὰ οὖρα μεταβάλλει καθ᾽ οἱανδήτινα διατεθεὶς δυσκρασίαν, περὶ τούτου πρῶτον εἰπόντες καὶ

περὶ τῶν λοιπῶν εἶθ' οὕτως ἐροῦμεν. 2. Καὶ δὴ κατὰ θερμὴν διατεθέντος δυσκρασίαν, μεταβληθείη μὲν ἂν ἀπὸ τῶν κατὰ φύσιν πρὸς τὸ πυρρὸν χωροῦντα, ἐπιταθείσης δὲ τῆς θερμότητος, προσεπιδοθείη ἂν καὶ τὰ χρώματα, ἐρυθρά τε καὶ οἰνωπὰ γινόμενα, μαρτυρήσουσι δ' ἀπὸ τῶν ἐκτὸς αἵ τε δύσπνοιαι, καὶ αἱ δίψαι, καὶ αὐτῆς τῆς γλώττης ξηρότης τε καὶ μελανία. 3. Κατὰ ψυχρὰν δὲ διατεθέντος δυσκρασίαν, βραδύτεραι μὲν αἱ ἀναπνοαί, ὕστερον δὲ καὶ μικρότεραι καὶ ἄδιψοι οἱ κάμνοντες καὶ ψυχρὸν αἰσθόμενοι τὸν ἐπεισπνεόμενον ἀέρα καὶ βῆχα τούτοις μικρὰ ἐρεθίζουσι. 4. Τὰ δ' οὖρα τούτων πρὸς τὸ λευκὸν χωροῦντα, οὐ μέντοι ἐπιτεταμένως· θερμὸν γὰρ ὂν ἄλλως τὸ μόριον κἂν ἐπὶ βραχὺ τὰ οὖρα ἀλλοιώσῃ, πολλὴν τὴν ἐπιγεγονυῖαν ψύξιν δηλοῖ.

Κεφ. ϛ΄. Περὶ προγνώσεως οὔρων τῆς κατὰ τὸ ἧπαρ διαθέσεως.

1. Ἥπατος δ' ἐπὶ θερμῇ ἑαλωκότος δυσκρασίᾳ πυρρὰ μὲν καὶ ὑπέρυθρα ἤδη, ἐπιταθείσῃ δὲ λίαν οἰνωπά τε καὶ κυανά, καὶ βῆχες μᾶλλον ἐρεθίζουσι καὶ δίψαι τῶν κυρτῶν ἤδη φλεγμαίνοντος τοῦ ἥπατος, ὥσπερ ἔμετοι τῶν κοιλῶν κακῶς διατεθέντων τοῦ ἥπατος. 2. Ψυχρᾷ δ' αὖ μετρίως μὲν ὠχρά τε καὶ ὕπωχρα, ἐπιτεινομένῃ δὲ καὶ λευκὰ καὶ παχέα δὲ τούτοις ἐνίοτε μετὰ λευκότητος διαφαίνεται.

Κεφ. ζ. Περὶ προγνώσεως τῆς κατὰ τὸν ἐγκέφαλον διαθέσεως.

1. Ἐγκεφάλου δὲ μετρίως μὲν θερμῶς διατεθέντος, πυρρά τε καὶ ὑπόξανθα πρὸς πλείονος δὲ καὶ ὥστε φλεγμονὴν μελετᾶσθαι, οἰνωπά τε καὶ ὕφαιμα, τἀναντία δ' αὖ ἑαλωκότι ψυχρότητι.

Κεφ. η΄. Περὶ προγνώσεως οὔρων τῆς κατὰ τὴν γαστέρα διαθέσεως.

1. Γαστρὸς δὲ ἧττον αἱ μεταβολαὶ καὶ στομάχου τοῖς οὔροις περιπεπτωκότων δυσκρασίᾳ θερμῇ, ψυχρᾷ μὲν ἑαλωκότων δυσκρασίᾳ καὶ πάνυ λευκὰ γίνεται κατὰ τὸ μέτρον αὐτῆς, θερμότερα δ' αὖ πυρρά τε καὶ ξανθά, ἐφ' οἷς καρδιαλγίαι γένοιντ' ἂν καὶ δίψαι καὶ χολῆς ἐνίοτε λεπτῆς

τε καὶ ξανθῆς ἔμετοι, ἀποσιτίαι τε καὶ πικρότητες στόματος καὶ κεφαλῆς οὐ μέτριά τινα ἄλγη, ὥσπερ ἐπὶ τῇ ψυχρᾷ διαθέσει εὐόρεκτοι μὲν καὶ ἄδιψοι μετρίᾳ οὔσῃ, ἐπιταθείσῃ δὲ καὶ σκοτοδινιῶσι καὶ ἀκρατεῖς ἑαυτῶν γίνονται, ὥσπερ λειποψυχοῦντες καὶ παλμῶν αἰσθόμενοι τῆς καρδίας βρώματά τε καὶ πόματα ἀποστεφόμενοι. 2. Ταῦτα μὲν οὖν ἐπὶ ψιλαῖς μᾶλλον ταῖς δυσκρασίαις εἴρηνται· ἂν δὲ καί τις ἐπιρρυεῖσα ὕλη τούτοις πᾶσι τοῖς ῥηθεῖσι ταῦτα ποιῇ, παχύνεται ὧδε τὰ οὖρα προϊόντα, καὶ τὰ παρυφιστάμενα δὲ τούτοις ἀθροώτερα φαίνεται, καὶ χρονιώτεραι δὲ αἱ ἐπὶ τούτοις νόσοι γίνονται, πέψεσι τῶν χυμῶν ἀπολυομένης τῆς νόσου. 3. Ἀλλὰ ταῦτα μὲν αἵ τε πέψεις καὶ ἀπεψίαι καὶ οἱαιδήτινες μεταβολαὶ τῶν οὔρων διασαφηνίσουσιν· ἡμεῖς δ' ἑξῆς ἴωμεν τῷ λόγῳ.

### Κεφ. θ'. Περὶ προγνώσεως οὔρων τῆς κατὰ τὴν πλευρῖτιν ἀκριβῆ καὶ νόθον.

1. Πλευρίτιδος τοίνυν οὖρα ἐξ ἀρχῆς μὲν ὑπέρυθρα, προϊόντα δὲ καὶ ἐρυθρὰ καὶ οἰνωπὰ γίνονται καὶ παχύνονται καὶ ταῖς μεταβολαῖς δείκνυσι τὰ ἀποβησόμενα. 2. Ψυχρῶν δὲ χυμῶν τὸ διάφραγμα διακναιόντων καὶ μετρίαν μὲν πάνυ τὴν ὀδύνην ποιούντων, βραχυτάτην δὲ τὴν δύσπνοιαν τῷ τὸν θώρακα βαρύνεσθαι ὑπ' αὐτῶν λευκά τε καὶ λεπτὰ καὶ αὖθις ἀναθολούμενά τε καὶ παχυνόμενα.

### Κεφ. ι'. Περὶ προγνώσεως οὔρων τῆς κατὰ τὸν σπλῆνα διαθέσεως.

1. Σπλὴν δ' ὑφ' ὁποίας ἂν ἁλῷ δυσκρασίας καὶ τὰ ἐπ' ἐκείνῃ χρώματα τῶν οὔρων δείκνυσι καὶ ῥᾳδίως μὲν ὑπὸ ψυχρῶν ἁλίσκεταί τε καὶ διαφαίνει ταῦτα, χρονίως δὲ ὑπὸ θερμῶν καὶ οὔπω λίαν διαφαίνει ταῦτα.

### Κεφ. ια'. Περὶ προγνώσεως οὔρων τῆς κατὰ τοὺς νεφροὺς καὶ κύστιν διαθέσεως.

1. Νεφρῶν δὲ καὶ κύστεως τὰ παραπλήσια συμβαίη ἄν. 2. Εἴρηται γε μὴν καὶ περὶ τούτων ἐν τοῖς περὶ

διαγνώσεως οὔρων λόγοις ἀκριβέστερον, καὶ τἄλλα δ' ὅσα συμβαίνειν αὐτοῖς εἴωθεν, ἐκ τῶν ἤδη ῥηθέντων μανθάνειν δεῖ. 3. Ἐπεὶ δὲ ταῦτ' οὐρητικὰ ἀγγεῖα τετύχηκεν ὄντα, ῥαδίως κἄν τι αὐτοῖς συμβαίη δείξωσιν, ἐκ προχείρου τὸν τρόπον ἔχοντα τῆς ἀποδείξεως. 4. Τὰ μὲν γὰρ ἄλλα τῶν μορίων μόνον ἀλλοιώσαντα σφοδρότερον τῇ οἰκείᾳ διαθέσει τὰ οὖρα οὐδέν τι ἕτερον διάδηλον ἐπιδεικνύουσι σύμβολον, ὥστε κἄν τι ἀδρανὲς αὐτοῖς ἐπισυμβαίη πάθος, οὐκ ἂν προχείρως ἐν τοῖς οὔροις ὀφθείη. 5. Ταῦτα δ' ἐπείπερ ὕστατα τῶν ἄλλων ὄντα τὸν ἐπισυναγόμενον ὀρρὸν ὑποδέχονται καὶ τὰ αὐτῶν κἂν μέτρια ᾖ, ἐνίοτε ὑποδεικνύουσιν οἷόν τινα μισθὸν τοῦτο πλέον τῶν ἄλλων ἀπειληφότα μορίων ὑπὲρ τῆς τοιαύτης διακονίας τῆς φύσεως.

### Κεφ. ιβ'. Περὶ προγνώσεως οὔρων τῆς κατὰ τὸ κῶλον καὶ τὰ ἔντερα διαθέσεως.

1. Κώλου γε μὴν φλεγμαίνοντος καὶ ἐντέρων κατ' ἐκεῖνα ἂν ἐπιχρωσθείη, ὅσα τῷ φυσικῷ θερμῷ δηλαδὴ μᾶλλον ἐπικεκοινώνηκε, ψυχρῇ δ' ἑαλωκότων δυσκρασίᾳ καὶ τοιούτου αὐτοῖς ἐπιρρυέντος χυμοῦ, λευκὰ καὶ ὑδατώδη, καὶ εἴ τις εἴη ἔμφραξις ἐπὶ κώλῳ ἀνυπόστατα. 2. Ἐπὶ δ' ἐντέρων παχύνεται πολλάκις γάλακτι ἐοικότα καὶ τοῦ δεινοῦ προβαίνοντος καὶ διαχωρήματα πλείω πρόεισι καὶ ὠμότερα· νυνὶ δὲ λείπεται καὶ περὶ μήτρας φάναι.

### Κεφ. ιγ'. Περὶ προγνώσεως οὔρων τῆς κατὰ τὴν μήτραν καὶ τὸν ἀρχὸν διαθέσεως.

1. Τῆς τοίνυν μήτρας, καιρίου μὲν οὐ πάνυ ὄντος μορίου, τὰ μάλιστα δ' ἀλλοιοῦντος τὸ ἅπαν σῶμα τῷ ἑαλωκέναι τινὶ δυσκρασίᾳ παραπλήσια γοῦν καὶ ὧδε τὰ οὖρα τῷ χρόνῳ ἐπισυμβαίη ἂν ταῖς μὴ κατὰ τὰ λοιπὰ τῶν μὴ πάνυ καιρίων μορίων δυσκρασίαις. 2. Πύου δ' ἐν αὐτῇ γεγονότος ὑφ' οἱασδήτινος αἰτίας πάνυ μὲν μετρίου ὄντος οὐδ' ἐπίδηλον τοῦτο ἔσται τοῖς οὔροις, πλεονάσαντος δὲ συνδιαδίδοται μὲν τῇ κύστει τὸ πῦον. 3. Ἐπιφαίνεται δ' ὑφιζάνον τῇ ἀμίδι, ὃ δὴ δῆλον ἔσται ἀπό τε τοῦ εἴδους

καὶ τῆς ὀδμῆς καὶ πρὶν μὲν ἢ φάναι τὴν κάμνουσαν ἐρεῖς τὴν διάθεσιν. 4. Διαγνοίης δ' ἂν εἰ μὴ μᾶλλον κύστεως εἴη, ἔν τε τῷ ῥᾳδίως προΐεσθαι τὸ οὖρον καὶ μηδοτιοῦν τὴν κύστιν ἀλγεῖν. 5. Τῶν γε μὴν ἐπιμηνίων ἐπισχεθέντων ἀλόγως, ἑνὸς μὲν ἤδη μηνὸς παρωχηκότος συνεπιφαίνεται τοῖς παρυφισταμένοις καί τινα συνεπινηχόμενα ἐρυθρὰ ψήγματα, προϊούσης δὲ τῆς ἐπισχέσεως καὶ ταῦτα πλείω φαίνεται καὶ παχύτερα. 6. Ἀλλ' ἐπειδὰν ἤδη καὶ τρίτος ᾖ μήν, ταῦτά γε πλείω καὶ ἁδρότερα φαίνεται καὶ τὸ χρῶμα ἤδη τοῦ οὔρου πρός γε τὸ ὑπέρυθρον καὶ ἔτι τὸ ἐρυθρὸν πρόεισιν. 7. Ἀλλ' ἵνα τῷ μὲν λόγῳ χάρις τις ᾖ μεταβαλλομένῳ, πίστις δ' οὐκ ὀλίγη τῶν λεγομένων, καὶ ταύτην ἐπιθήσωμεν τὴν ἱστορίαν τῷ λόγῳ λυσιτελοῦσαν οἶμαι τοῖς περὶ τὰ τοιαῦτα σπουδαίοις. 8. Γυνή τις τῶν μαλακῶν καὶ πλουσίων, παῖδας τρεῖς ἢ τέτταρας τετοκυῖα καὶ τῶν τριῶν κομιδῇ νηπίων ἀποιχομένων, ἑνὸς παιδὸς ἤκουετο μήτηρ καὶ χρόνων μὲν παραρρυέντων συχνῶν, αὐτῆς δὲ κινδυνευούσης ὑφ' ἑνὶ μόνῳ παιδὶ τὰς ἐλπίδας ἐν ἀπρούπτῳ σαλεύειν. 9. Ἐδεδίει γὰρ μή πως καὶ αὐτῷ θανάτου κοινωνήσαντι ἀλλοτρίοις ἡ οὐσία διαδοθείη. 10. Ἦν γὰρ καὶ ἑτέρους, ὡς εἴρηται, προαποβεβληκυῖα, ἐζήτει τρόπον πῶς ἂν ἕτερον τέκῃ παῖδα καὶ τὰς ἐλπίδας σῶῃ κινδυνευούσας διαρρυῆναι. 11. Οἷα τοίνυν εἰκὸς γυναιξὶ τὸ πάθος ὁμολογοῦσα καὶ τὴν λύσιν ἐπιζητοῦσα ἔφασκόν τινες ταύτην. 12. Εἴ τις ἐπιγένηται τῶν ἐπιμηνίων ἐπίσχεσις — ἦν γὰρ αὐτῇ καὶ πλείω τοῦ δέοντος ἰόντα ταῦτα — εἴτε οὖν τέχνῃ εἴτε καὶ τύχῃ, τοῦτο γὰρ οὐκ ἐπυθόμην ἀκριβῶς, ἐπεσχέθη αὐτῆς τὰ ἐπιμήνια καὶ τοκετοῦ αὐτὴν ἐλπὶς ὑπέσαινε. 13 Δεύτερος μὲν οὖν μὴν καὶ ἡ γυνὴ μετρίως πως ἐταράττετο, ἀθροιζομένου μὲν περὶ τὴν μήτραν τοῦ αἵματος, μήπω δὲ χώραν εἰς τὴν ἔξοδον ἔχοντος, ἡ δ' ᾤετο τὰ συμβαίνοντα τοῦ τοκετοῦ τυγχάνειν, ὡς ἐῴκει, σύμβολα, ἐπεὶ κἂν ταῖς ἀρχαῖς τῶν τοκετῶν τὰ παραπλήσια συμβαίνειν εἴωθε. 14. Τρίτος ἤδη μὴν καὶ τὰ δεινὰ προυχώρει. 15. Ἐπεὶ δὲ καὶ τέταρτος ἧκε μήν, ὅτε ταῖς τετοκυίαις, κἂν τι προσῇ λυπηρόν, ἀνίεται, ταύτῃ μᾶλλον ἡ γαστὴρ ἐξῴδηκε καὶ χείρω

τὰ συμπτώματα γέγονε. 16. *Περί που τοίνυν τὸν πέμπτον μῆνα πυθόμενος τὸ τὴν γυναῖκα κατέχον πάθος — ἦν δὲ τῶν πάνυ γνωρίμων — ἐκεῖσε δὴ καὶ ᾠχόμην καὶ ὑπτίαν εἰσιὼν αὐτὴν ἑώρακα ἐπὶ κλίνης κειμένην.* 17. *Προσαγορεύσας δ' ἠρόμην τε ὅπως ἔχει καὶ τοῦ σφυγμοῦ ἡπτόμην. ἡ δ' ὑπισχνᾷ μὲν καὶ λεπτῇ πάνυ τῇ φωνῇ ἀπεκρίνατο.* 18. *Σφυγμοὶ δέ οἱ πάνυ λεπτοὶ καὶ ἀνώμαλοι ἦσαν, ἤδη νικωμένης τῆς ἐμφύτου δυνάμεως. χροιὰ δὲ σιδιοειδὴς καὶ πρὸς τὸ τῶν ἰκτεριώντων οἷον ἀπεστραμμένη χρῶμα, ἰσχνὰ δὲ πάνυ, ὅσα περὶ τὸ πρόσωπον καὶ τὰς χεῖρας καὶ αὐτοὺς τοὺς ὤμους ἐτύγχανε μέχρις αὐτοῦ τοῦ στήθους. ἡ δὲ γαστὴρ αὐτῆς καὶ μάλα ἐξῳδηκυῖα ἦν.* 19. *Ἐπεὶ δ' ἐδέησε καὶ οὖρα ὄψεσθαι, λεπτὰ μὲν ταῦτα καὶ μετρίως μοι διεφαίνετο ὕφαιμα, παρυφιστάμενα δ' ὑφίζανεν αὐτοῖς πρὸς τῷ πυθμένι τῆς ἀμίδος πάνυ ἐρυθρὰ καὶ οἷον κριμνώδη.* 20. *Καὶ τότε μὲν οὐχ οἷός τε ἦν ῥᾳδίως διαγνῶναι τὸ πάθος πάνυ προσομιλήσας βραχείαις βίβλοις ἰατρῶν καὶ ταῦτα μηδὲ τῶν ἐκεῖσε θαμιζόντων τινὸς συνιέντος τοῦ πάθους, ὕδρωπα δ' οἰομένων.* 21. *Ἐπεὶ δὲ περὶ γυναικείων παθῶν μετὰ οὐ πολὺ βίβλους ἀναγνοὺς ἐπαιδευόμην ὅσον κακὸν ἐπέχεσθαι τὰ ἐπιμήνια πέφυκε, προακηκοὼς δὲ τῇ γυναικὶ ταύτῃ ἐπισχεθέντα τὰ ἐπιμήνια, εἶθ' οὕτως καὶ τὰ οὖρα συνελογιζόμην, ἐκεῖνα κατὰ λόγον εἰκότα τοιαῦτα ἀποδοθῆναι, τῇ μὲν τοσαύτῃ τοῦ αἵματος δηλονότι ἐπὶ τὴν μήτραν συναγωγῇ, ὄγκου ἐπιγεγονότος τοσούτου, τῇ δ' ἐγγύτητι τῆς κύστεως συνδιαδιδομένου τοῖς οὔροις τοῦ αἵματος, ὥστ' ἐντεῦθεν τὰ οὖρα συμβαίνειν χρώννυσθαι, τῇ δ' ἐξοπτήσει τοῦ αἵματος, κριμνωδῶν τε καὶ ἐρυθρῶν τῶν παρυφισταμένων διαφαινομένων, οὕτως ἐκ τῆς ἀμέτρου τῶν καταμηνίων ἐπισχέσεως καὶ μᾶλλον εἰ φύσει πρῶτον πλείω πρόεισι, τὰ οὖρα ἀλλοιοῦται καὶ συμμεταβάλλεται τῷ χρόνῳ, πλὴν ἵνα τὴν πᾶσαν ἱστορίαν περάνωμεν, ἐπιθῶμεν καὶ τὰ λείποντα τῷ λόγῳ.* 22. *Ἕκτος μὴν ἦν ταύτῃ καὶ ἤδη περὶ λαγόνα ἐξῴδηκέ τι ἀποκορυφούμενον καὶ ἐμαλάσσετο τῷ χρόνῳ προήκοντι.* 23. *Ἐπεὶ δὲ καὶ ἕβδομος ἦν μήν, ἐμαλάχθη μὲν πάντῃ ἰατρῶν ἐπιθέμασιν, ἀνεστομοῦτο δ' εἶθ' οὕτως*

*καὶ ὕφαιμον τοῦ λοιποῦ ἐκεῖθεν ὑπερρύη πύον.* 24. *Ἡ δὲ γαστὴρ ἐντεῦθεν ὑπεκενοῦτο καὶ πολλή τις ἐλπὶς ὑγίας τῷ τε αὐτῆς ἀνδρὶ ἐτρέφετο καὶ τοῖς θαμίζουσιν ἰατροῖς.* 25. *Τῇ δ' οὐχ οὕτως εἶχεν. ἀλλ' ἄρδην μετὰ οὐ πολὺ συνέχει τὰς ἐλπίδας ἡ κένωσις. μετὰ γὰρ τέτταρας ἡμέρας, οἶμαι, τῆς ἐπιγεγονυίας ἀναστομώσεως ἥ τε γαστὴρ ἐξεκενώθη τοῦ λυποῦντος καὶ τεταπείνωται καὶ ἡ ἄνθρωπος ὥσπερ λιποψυχήσασα ἀμαχεὶ τὸ ζῆν ἀπεβάλλετο.* 26. *Τὰ μὲν οὖν τῆς ἱστορίας οὕτως πως εἶχε· σὺ δ' ἀκριβῶς ἐντεῦθεν πυθόμενος ἴσθι σαφῶς, ὡς λόγῳ τῆς ἐγγύτητος μετέδωκε τοῦ χρώματος τὸ περὶ τὴν μήτραν ἀθροισθὲν τόσον αἷμα τοῖς οὔροις.* 27. *Καὶ μετρίου μὲν τοῦ ἀθροισθέντος αἵματος ὄντος τὰ παρυφιστάμενα κατὰ βραχύ τι ἂν ἀλλοιωθείη, πλεονάζοντος δὲ καὶ ἡ ἀλλοίωσις πλείων, εἰ δ' ἐπὶ τοσούτῳ, πλείω καὶ τὴν γαστέρα ἐξοιδαίνεσθαι καὶ τὰ χρώματα μεταβάλλεσθαι, πρῶτον μὲν εἰς τὸ ὑπέρυθρον, εἶθ' οὕτως δὲ καὶ εἰς τὸ ἐρυθρὸν καὶ ὕφαιμον.* 28. *Καὶ τὰ παρυφιστάμενα δὲ τότε τραχύτερα φαίνεται· τὰ παραπλήσια δ' ἂν συμβαίη ἀρχοῦ φλεγμαίνοντος χρονίως καὶ αἱμορροΐδος ἀλόγως ἐπισχεθείσης καὶ μάλιστα, εἰ πρότερον χρονίσει τῇ ἐκκρίσει, ἄλλως τε καὶ εἰ πολύαιμος ὁ ἄνθρωπος ᾖ καὶ μὴ ἑτέρωθεν ἀποκενοίη τὸ αἷμα ἐπιγεννώμενον.* 29. *Τοσούτῳ μέντοι διαλλάξει τῶν κατὰ μήτραν ἐπισχέσεων, ὅσον καὶ τὰ κατὰ πάθος τῶν κατὰ φύσιν διαπέπτωκεν.* 30. *Ἐκείνη μὲν γὰρ τῷ μακρῷ παγειωθεῖσα χρόνῳ εἰς φύσιν ἤδη μεθίστασθαι πειρᾶται· τῆς δ' ἀπὸ μήτρας ἐκκρίσεως κατὰ φύσιν γεγονυίας μείζω ἂν καὶ αἱ ἐπισχέσεις ἀλλοίωσιν ἔν τε τῷ σώματι καὶ τοῖς οὔροις ποιήσαιεν ἄν, ὥσθ' οἷα ἂν μηνὸς ἐπίσχεσις ἢ δυοῖν καταμηνίων οὖρα ποιήσῃ, ταῦθ' αἱμορροῒς ἐπισχεσθεῖσα πολυπλασίου χρόνου.* 31. *Τῷ δ' αὐτῷ ἂν λόγῳ, κἂν τι ἕτερον ἢ παρὰ φύσιν ταῖς μήτραις διαδοθὲν τοῖς οὔροις σημασίαν τινὰ τοῦ πάθους παραστήσῃ τοῖς περὶ τὰ τοιαῦτα σπουδάζουσιν.* 32. *Ἀλλ' ὁ μὲν περὶ τούτου λόγος ὧδέ πη κείσθω· ῥητέον δ' ἐφεξῆς καὶ περὶ τῶν λειπομένων, εἴ τι λέλειπται.*

*Κεφ. ιδ΄. Περὶ προγνώσεως οὔρων τῆς κατὰ τὰ ἄλλα τῶν κώλων διαθέσεως.*

1. *Τῶν τοίνυν χειρῶν ἢ ποδῶν πεπονθότων ἤτοι ὑπὸ ψυχρᾶς πάνυ δυσκρασίας ἢ καὶ τοιούτου χυμοῦ ἢ ὑπὸ θερμῆς δυσκρασίας ἢ καὶ θερμῆς ἐπιρρυείσης ὕλης, ἂν καὶ τὸ λοιπὸν σῶμα συννοσοῦν ᾖ, ἐπίδηλοι κἀν τοῖς οὔροις αἱ ποιοῦσαι διαθέσεις φαίνονται, ὥστε καθ' ὅσον ἂν ἥ τε ποιότης καὶ ποσότης τῶν λυπούντων ἐπιταθείη χυμῶν καὶ τὰ οὖρα μεταβληθείη ἂν τῶν κατὰ φύσιν ἀφιστάμενα.* 2. *Ἂν δὲ τὸ μὲν λοιπὸν ὑγιῶς καθ' αὐτὸ ἔχῃ σῶμα, ἐπισκηψάσης δέ τινος λυπούσης αἰτίας τοῖς τοῦ σώματος κώλοις, ταῦτα κακῶς διατεθείη. μετρίως μὲν οὐκ ἂν ἀλλοιωθείη τὰ οὖρα, πλησμίως δ' αὖ καὶ ταῦτ' ἂν μετρίως ἀλλοιωθείη, συνδιαδοθέντος μόλις τὴν καρδίαν τοῦ πάθους.* 3. *Αἵ γε μὴν διαφοραὶ τῶν χρωμάτων τε καὶ τῶν παρυφισταμένων τάς τε ποιότητας καὶ ποσότητας παραδηλώσουσι τῶν χυμῶν, αἱ πέψεις δὲ καὶ ἀπεψίαι τότε ἦθος τοῦ νοσήματος καὶ τὴν τῆς δυνάμεως ῥώμην, ὥσπερ καὶ τὸ διάστημα τοῦ χρόνου αἱ ταχεῖαί τε καὶ βραδεῖαι μεταβολαὶ τῶν οὔρων. εἰδέναι μέντοι καὶ τοῦτο πρὸς τοῖς ἄλλοις χρεών.*

*Κεφ. ιε΄. Περὶ τοῦ προγνῶναι ἐκ τῶν οὔρων εἴτε τάχιον εἴτε βραδύτερον λυθήσεται τὸ νόσημα.*

1. *Ἐπειδὴ διαφορὰς πρὸς ἄλληλα τὰ τοῦ σώματος μόρια οὐ μετρίας ἐκληρώσαντο — ἄλλως γὰρ ἂν διαθερμανθεὶς ποὺς ἀλλοιώσειε καὶ ἄλλως κύστις, ἑτέρως δ' αὖ μήτρα, καὶ ἑτέρως νεφροί, καὶ ἄλλως μὲν σπλήν, ἑτέρως δὲ ὑπεζωκὼς ὑμήν, ὥσπερ δ' ἐκείνως μὲν κεφαλή, οὕτως δ' ἧπαρ ἢ πνεύμων — τὰ μὲν γὰρ πλέον ἐκεκοινωνήκει τοῦ θερμοῦ — ἢ τῇ φυσικῇ ἰδιότητι καὶ τοῖς ἐν αὐτοῖς ἀγγείοις ἢ τῇ τοῦ πρώτου θερμοῦ ἐγγύτητι ἢ τῇ τῆς αἰσθήσεως δαψιλείᾳ, δεῖ τῶν μορίων ἑκάστου τὰς δυνάμεις τε καὶ ἰδιότητας ἐκμανθάνοντα τὰ οἰκεῖα μέτρα ἑκάστῳ ἐπιθεῖναι, τῆς τε μετρίως δηλονότι ἐπιταθείσης θερμότητος, τῆς τε ἤδη φθειρούσης τῇ ὑπερβολῇ τὸ ὑποκείμενον, ὥσπερ δῆτα τοὐναντίον τῆς μετρίως τε καὶ ἀμέ-*

τρως ψυχούσης ποιότητος. 2. Τὰ μὲν γὰρ θερμότερα τῶν μορίων ῥαδίως ὑπὸ θερμῶν αἰτιῶν ἀλλοιοῦνταί τε καὶ ἐλέγχονται, χρονίως δ' αὖ ὑπὸ τῶν ψυχρῶν, ὥσπερ δῆτα καὶ τὰ ψυχρὰ τῶν μορίων χρονίως μὲν ὑπὸ θερμῶν ἀλλοιοῦνται, τάχιστα δ' ὑπὸ τῶν ψυχρῶν. 3. Τῇ γὰρ ἐγγυτέρᾳ ποιότητι, τῇ φυσικῇ τε κράσει καὶ ἰδιότητι ἕκαστον ἀλλοιοῦται ταχέως. 4. Ἵνα δὲ σαφέστερον τὸν λόγον εἰδῇς, ἔστιν μαθεῖν ἐντεῦθεν ὡς ἐπὶ παραδείγματος, μετρίως εἰς θερμότητα διατεθέντος τοῦ ἥπατος, πυῤῥὰ ἂν τὰ οὖρα καὶ ξανθὰ συμβαίη γίνεσθαι. 5. Τοιαῦτα δ' ἐπὶ κώλῳ ὀδυνωμένῳ φανέντα μείζους τε πολλῷ τὰς ἀλγηδόνας ἐποίησαν καὶ φλεγμαίνειν ἀντικρὺς οἰηθείη ἄν τις τὸ μόριον. 6. Εἰ δὲ καὶ ποῦς ἢ χεὶρ εἴη τὰ πεπονθότα, καὶ τοιαύτην ἀλλοίωσιν τοῖς οὔροις ἐπιθήσει, διαῤῥήγνυσθαι ὑπ' ἀλγηδόνος καὶ συγχέεσθαι φήσαις ἂν τὸν κάμνοντα. 7. Καθόσον γὰρ ἀφιστάμενα τοῦ πρώτου θερμοῦ τὰ μόρια τυγχάνῃ, κατὰ τοσοῦτον ἧττον ἀλλοιοῖντ' ἂν θερμῷ. 8. Τὸν αὐτὸν δὲ λόγον ἕξει καὶ ἐπὶ ψυχρότητος. τοῦ μὲν γὰρ ἥπατος ψυχρᾷ τινι ἑαλωκότος δυσκρασίᾳ, ἤδη ἂν ὑπόλευκα τὰ οὖρα ὀφθείη, ἑτέρου δέ τινος ποῤῥωτέρου μορίου, οὐκ ἂν οὕτως ῥαδίως μεταβληθείη. 9. Καὶ τὰ μὲν οὕτω καίρια τῶν μορίων ἐφ' οἱῳδήτινι κρατηθέντα πάθει ῥαδίως ἂν τὰ οὖρα ἀλλοιώσει τῇ καιριότητι, τὰ δέ γε ποῤῥωτέρω, κἂν τὰ χείριστα πάθῃ, μετρίως τε καὶ διὰ χρόνου, ὥστ' ἐντεῦθεν συλλογίζεσθαι δεῖν, χείρους τὰς διαθέσεις ἐπὶ τοῖς αὐτοῖς τελεῖν οὔροις ἐν τοῖς μάλιστα ποῤῥωτέρω τῇ τε θέσει καὶ οἰκειότητι τῆς ἀρχῆς κειμένοις μορίοις. 10. Καὶ δεῖ τὸν συνετὸν οὕτω προσεσχηκότα τοῖς οὔροις τάς τε οἰκειότητας τῶν μορίων ἀκριβῶς ἐξετάζειν καὶ τὰς ἐπὶ τούτοις ἐκ τῶν φαινομένων τοῖς οὔροις διαθέσεις συλλογίζεσθαί τε καὶ προλέγειν. 11. Δύναται δὲ τὰ μέγιστα συνεισενεγκεῖν εἰς τοῦτο καὶ ἀκριβής τις εἴδησις τῆς διαφορᾶς τῶν νευρωδῶν καὶ φλεβωδῶν μορίων, ἐπειδὴ τούτοις ὅσα οἰκεῖα ταῖς ὥραις καὶ ταῖς ἡλικίαις καὶ κράσεσι καὶ ταῖς τῶν νοσημάτων καταστάσεσι φαίνεται μετριώτερα δεῖ νομίζειν ἢ τυγχάνοντ' ἀλλότρια, ἔπειτα ὅσα μὲν ῥαδίως πέττεται καὶ μεταβάλλεται, τήν τε φύσιν

ἐρρῶσθαι δηλοῖ καὶ τοὺς χυμοὺς πεφθήσεσθαι καὶ ἀλλοιωθήσεσθαι τάχιστα. 12. Ὅσα δ' αὖ διὰ χρόνου μεταβάλλεται ἢ καὶ μεταβαλλόμενα ἐπὶ τὰ χείρω μάλιστα πρόεισιν, ἐκεῖνα μέμφεσθαι δεῖν καὶ βραχείας τινὸς εἰς διαφθορὰν τὸ ζῶον δεῖσθαι ῥοπῆς οἴεσθαι, ἀλλὰ κἀνταῦθα θεὶς τῷ λόγῳ ἱστορίαν προσήκουσαν ἐφ' ἕτερα τῷ λόγῳ τρέψομαι. 13. Γέρων τις ἡμέτερος γνώριμος ἐπύρεσσέ τε καὶ κακῶς εἶχεν. ἐπεὶ δὲ τοῦτο ἐπυθόμην — ἑνδεκάτην μὲν αὐτὸς εἶχεν — ἐγὼ δ' ἰδεῖν αὐτὸν ἀφικόμην, γείτονά τε ὄντα καὶ ἄλλως ἀγαθὸν τὸν ἄνθρωπον τυγχάνοντα. 14. Εὗρον οὖν αὐτὸν ὕπτιόν τε κείμενον καὶ ὑποβήσσοντα καὶ παχέα πτύελα ἀποχρεμπτόμενον, λῆμμαι δέ οἱ περὶ τοὺς ὀφθαλμοὺς οὐκ ὀλίγαι ἐπεφύκεσαν. 15. Τὰ μὲν οὖν πτύελα οὐ πάνυ ἦν δεινά, εἰ μὴ ὅτι προϊόντα καὶ εἰς γαστέρα κατιόντα, ταύτην ἐμάλασσε τοῦ προσήκοντος πλέον, σφυγμοὶ τούτῳ ἀκριβῶς πυρέσσοντον τἀνθρώπου, τἆλλα δ' ἀμυδροὶ ἐτύγχανον, οὖρα ὑπέρυθρα καὶ μετὰ ταῦτα ἐρυθρὰ διεφαίνοντο. 16. Ἑκκαιδεκάτη μικρόν τι διαλλάξαντα τὰ οὖρα ἐπὶ τὸ μετριώτερον αὖθις παχέα τε ἐγένετο καὶ ἐρυθρὰ καὶ ὕφαιμα κατὰ τὰ παρυφιστάμενα, γαστὴρ πλείω διαχωροῦσα οὐδὲν ὤνησεν. 17. Ἐπὶ τούτοις οὖν διὰ γαστρὸς ἅμα τοῖς διαχωρήμασι μέτριόν τι αἷμα ἐξεκενοῦτο. ἐδόκει οὖν ἐκ τούτων ὁ ἄνθρωπος ἀποθανεῖσθαι. 18. Κἀγὼ μὲν οὐκέτι ἀφικόμην, ἀνάγκης τινὸς ἐφ' ἕτερα βιασαμένης, πέπεισμαι δέ, μετὰ τρεῖς που ἡμέρας τὸν ἄνθρωπον τεθνηκέναι. 19. Ἐδόκει τοίνυν ἐκεῖνον πλείονα ἢ κατὰ γέροντα ἔχειν τὸν πυρετὸν καὶ ταῦτα τότε χειμῶνος τυγχάνοντος. 20. Ὁπότε δὲ δὴ τοιοῦτον συμβαίη, οὐ μετρίως κατασείειν εἴωθεν τὴν ἔμφυτον καταπεπτωκυῖαν δύναμιν ὑπὸ μικρῷ τῷ χρόνῳ. 21. Διεφαίνετο δὲ καὶ ἀπὸ τοῦ συνεχοῦς δίψους ἡ τοῦ πυρετοῦ σφοδρότης, οὐ μετρίως δὲ καὶ ὁ βὴξ ἠνία τὸν ἄνθρωπον. 22. Ἐπεὶ δὲ καὶ μὴ κρατεῖν ἐφαίνετο τὴν φύσιν ῥᾳδίως τῆς ὕλης αἱ ἐπὶ τοσαύταις ἡμέραις ἀπεψίαι τῶν οὔρων ἐσήμαινον. 23. Ἔδει γὰρ πολλαπλασίου χρόνου, εἴπερ προὐχώρει τὰ τῆς ὑγείας ἐντεῦθεν ἀρξάμενα πρὸς τὸ κατὰ φύσιν χωρῆσαι. 24. Τὸ δὲ τοσοῦτον ἐδέησεν, ὥστε καὶ προϊόντος τοῦ χρόνου χείρω

τά τε χρώματα καὶ τὰ παρυφιστάμενα διεφαίνετο. 25. Τί οὖν ἄν τις ἐνταῦθ' ἐνόμισεν, ἢ μὴ περιέσεσθαι τὸν ἄνθρωπον προαποκαμούσης τῆς δυνάμεως. οὕτω δεῖ τὸν νουνεχῆ καταμαντευόμενον προσορᾶσθαι τὸ μέλλον.

Κεφ. ιϛ'. Περὶ τοῦ προγνῶναι ἐκ τῶν οὔρων εἴτε θανάσιμον εἴτε σωτήριον.

1. Καὶ τὰς μὲν ἐπ' ἀγαθὰ μεταβολὰς τῶν οὔρων χαριέντως προλέγειν τε καὶ ἀσπάζεσθαι, ἀπαγορεύειν δ' αὖ τὰς ἐπὶ φαῦλα ῥοπὰς καὶ τὰς μὲν διὰ χρόνου πλείονος γεγενημένας πολὺν καὶ τὸν τοῦ νοσήματος ἀποβῆναι χρόνον, διὰ βραχυτέρου δ' αὖ τὰς προσιαίτερον γινομένας. 2. Κἂν μὲν οὖν ἐν τῇ πρώτῃ τῶν ἡμερῶν πεπεμμένα φαίνεται τὰ οὖρα, διὰ τρίτης ἢ τετάρτης λυθήσεσθαι τὸ νόσημα φήσαις ἄν, εἰ δὲ διὰ δευτέρας ἢ τρίτης ἀφίξεσθαι καὶ μέχρις αὐτῆς ἑβδόμης. 3. Ἂν δὲ ἡ τετάρτη ἔτι ἄπεπτα τὰ οὖρα δεικνύῃ, οὐδ' ἄν εἴ τι γένοιτο ἡ ἑβδόμη κρίσιν τοῖς νοσήμασιν ἐπιτιθήσῃ. 4. Τὰς γὰρ ἐκεῖσε μελετωμένας κρίσεις αὕτη μᾶλλον προδιασαφεῖ τε καὶ μαρτυρεῖ βραχέαι ἅττα πέψεως προϋποδείξασα σύμβολα. 5. Ὥσπερ αὖ εἰ πάλιν φαῦλα ἀντιστραφεῖσα δείξει τὰ σύμβολα, θάνατον τῇ ἑβδόμῃ ἐποίσει, ὥσπερ δῆτα καὶ τῆς ἑνδεκάτης ἡ ὀγδόη ἐπίδηλος, ἑνδεκάτη δ' αὖ τῆς τεσσαρεσκαιδεκάτης, καὶ ἄλλη ἄλλης, καθὼς κἀν τῇ περὶ κρίσεων ὁ σοφώτατος ἐξέθετο Γαληνός. 6. Καὶ τὰς μὲν τῶν χρόνων παρατάσεις οὕτως ἂν εὑρήσεις στοχαζόμενος ἐς τριπλασίους καὶ τετραπλασίους περιοδεύων τὸν πάντα τοῦ νοσήματος χρόνον, καθ' ὃν ἂν ἡ κατὰ πλάτος ἀρχὴ λεγομένη ἐπιμετρηθῇ. 7. Τῶν μὲν οὖν ὀξυτέρων κινουμένων νοσημάτων τάχ' ἄν τι καὶ προλάβῃ, ὑστερήσῃ δ' αὖ τῇ ἐπὶ τῶν κεκινημένων βραχύτερον, ἐπί τε τῶν σωθησομένων δηλονότι καὶ τῶν τεθνηξομένων ἀνθρώπων. 8. Εἰ γάρ τι ὡς ἐπὶ παραδείγματος ἐν τῇ τετάρτῃ γένοιτό τι πέψεως ἀκριβοῦς σημεῖον, ὀξέως μὲν πάνυ τοῦ νοσήματος κινουμένου, οὔπω καθαρῶς ἡργμένης ἑβδόμης, ἔποιτ' ἂν ἡ κρίσις, εἰ τύχει προσεκπηδώσης οἷον τῇ ταχύτητι τῆς ὕλης. 9. Ἂν δὲ νωθρότερον, μόλις ἂν καὶ ταύτης συμ-

*πληρουμένης ἡ κρίσις ἀποδοθείη, ὥστε καὶ μέσης ὀγδόης ἤδη ἔτι κρίνεσθαι, τοὐναντίον δ' αὖ, ἀξιολόγου φαύλου σημείου τὴν ἐπίδηλον ὀφθέντος ἡμέραν πάνυ μὲν ὀξέως κεκινημένου τοῦ νοσήματος, ἡ ἕκτη προανελοῦσα ἕξει τὸν ἄνθρωπον, ὥσπερ οὖν ἡ ὀγδόη, νωθρῶς τοῦ νοσήματος κεκινημένου.* 10. *Ἀλλ' ὁ μὲν περὶ κρίσεως λόγος καὶ τῆς τῶν ἡμερῶν παρατάσεως ἀριθμὸς ἐντεῦθεν ἂν διαγνωσθείη.* 11. *Ἔξεστι δὲ τῷ καθαρώτερον ἀσκεῖν σπουδάζοντι ἐκείνην ἀνελομένῳ τὴν βίβλον μανθάνειν, καθ' ἣν ῥῆτα περὶ κρίσεως τῷ Γαληνῷ ἐκτέθειται.* 12. *Ἐπὶ δὲ τούτοις κἀκεῖνο δεῖ μανθάνειν ὡς ἐν τοῖς παροξύνουσι καιροῖς ἐνουρήσαντος τοῦ κάμνοντος πολλῷ ἂν χείρω φανείη τὰ οὖρα τῶν ἐπὶ τοῖς ἀνεσίμοις τῶν χρόνων καὶ εἰκότως· ἐκεῖνα γὰρ τοιαῦτα φαίνεται, ἐπ' ἄλλα τῆς πεττούσης διατριβούσης θερμότητος.* 13. *Κἂν γάρ τι καὶ ἄπεπτον εἴη τούτοις, τῆς ἐφ' ἕτερα τοῦτο ῥοπῆς τῆς φυσικῆς θερμότητος σύμβολον.* 14. *Ὁπόταν γὰρ πρὸς μείζω τε καὶ λυποῦντα σφοδρότερον τὸν τόνον ἅπαντα ἐπισυνάγουσα ἔχῃ ἡ φυσικὴ δύναμις, τότ' οὔτ' ἂν θρέψει ῥαδίως οὔτε ἀλλοιώσει τε καὶ πέψει, ἐπισυνιεῖσα, οἷον τὰ εἰς ἀμφότερα διατετμῆσθαι φαῦλον καθέστηκε. μηδ' ἑτέραν γὰρ τῶν ἐνεργειῶν τελείαν οἴεται καταστήσεσθαι.* 15. *Εἰ γὰρ ἐφ' ἑνὶ προσταλαιπωρούμενος οὐχὶ ῥαδίως τὰ προσήκοντα ποιεῖ, πολλῷ ἂν διημαρτηκυῖα ἁλῷ πλείοσιν ἐπιχειρήσασα ἔργοις.* 16. *Ὁπηνίκα μέντοι τῶν χυμῶν ἧκε κεκρατηκυῖα πέψιν αὐτοῖς ἐπιθεῖσα, ἤδη μὲν ἀμείνω τά τε χρώματα καὶ τὰς συστάσεις δείκνυσι τῶν ἐπὶ τοῖς παροξυσμοῖς· ἤδη δὲ προβάλλεται καὶ παρυφιστάμενα κατὰ τὴν ἀναλογίαν τῆς πέψεως.* 17. *Ἂν μέντοι ἐπιχειροῦσα καὶ παροξυνομένη ἡ φύσις μήτ' αὖ τῶν καθηκόντων τι ἀνύει, καὶ παραπλήσια τὰ οὖρα ἔν τε τοῖς παροξυσμοῖς καὶ ταῖς ἀνέσεσι φαίνεται, ὧδε μὲν οὐκ ἐπικρατεῖν τῆς ὕλης τὴν φυσικὴν σημαίνει θερμότητα καὶ δεῖν οὕτω ἐπισυναγαγόντα καταστοχάζεσθαι.* 18. *Ἂν μὲν γὰρ ὀξέως τὰ τῆς νόσου κεκινημένα ᾖ, ἡ δὲ φύσις πέψει οὐκ ἀποδίδωσι, πρόεισι δὲ οὕτως ὁ χρόνος, δέος οὐκ ὀλίγον εἴη, μὴ ἀπαγορεύουσα ἡ δύναμις προΐηται τὴν αὐτῆς ἐνέργειαν, οὗ*

τί ἂν εἴη χεῖρον θανάτου τούτοις ἐπιφυέντος, ὥστε δεῖ προλέγειν ἀκριβῶς ὑφ' ἓν τῶν κατὰ τὸν κάμνοντα στοχαζόμενον. 19. Ἂν δέ τοι βραδύτερον μὲν τὰ τῆς νόσου κινῆται, μετριώτερον δέ πως φαίνωνται οἱ παροξυντικοὶ καιροί, θαρρεῖν κελεύειν, ὡς διὰ χρόνου λυθησομένου τοῦ πάθους, εἰ τὰ τῆς δυνάμεως ἔρρωται. 20. Τῆς γάρ τοι φύσεως ἐν μὲν ταῖς ἀρχαῖς ἀξιολόγῳ προσπαλαιούσης πλήθει καὶ μήπω κατακρατούσης, καὶ αἱ ἀπεψίαι ἀξιόλογοι φαίνοιντ' ἄν, ἠργμένης δ' ἤδη τῷ χρόνῳ πέττειν καὶ κατὰ βραχὺ τῆς ὕλης κατακρατεῖν, ῥᾳδίως τε τοὺς παροξυσμοὺς ὁ κάμνων φέρει καὶ τὰ τῆς πέψεως ἤδη σύμβολα φαίνεται. 21. Ἀλλ' ὁ μὲν περὶ προγνώσεως οἶμαι οὔρων λόγος πέρας ὧδε ἀπειληφὼς ἐνταῦθά πῃ καὶ τὸν πάντα περὶ οὔρων λόγον ἀποκλειέτω. 22. Οὐ γὰρ ἔτι χρεὼν μηκύνειν τὸν λόγον καὶ περὶ τὰ τοιαῦτα ὡσαύτως κυλινδεῖσθαι καὶ ἀναστρέφεσθαι. 23. Ἐπεὶ γὰρ τούς τε περὶ διαφορᾶς καὶ διαγνώσεως οὔρων ἐξεθέμεθα λόγους καὶ πρὸς τούτοις τοὺς περὶ αἰτίας οὔρων, ὥσπερ καὶ νῦν τοὺς περὶ προγνώσεως, ἔδοξε δὲ ἡμῖν μηδὲν δέον ὂν εἰρῆσθαι λελεῖφθαι, ἐν πᾶσι κατὰ μέθοδον ἀψαμένοις τοῦ λόγου, ὅσα δηλονότι ἐν τοῖς χρώμασί τε καὶ συστάσεσι ποσότησί τε τῶν χυμάτων καὶ παρυφισταμένοις καὶ ὅσα ἐπὶ τοῖς παρυφισταμένοις λέγεταί τε καὶ φαίνεται, διορισαμένους κατά τε χροιὰν καὶ σύστασιν καὶ ποσὸν μεταβεβλημένοις καὶ λειότητα καὶ τραχύτητα καὶ τὴν κατὰ τὸ διάστημα τοῦ χύματος διάθεσιν, καὶ ὅσα ἐπὶ ταῖς πομφόλυξι λέγεται ὀδμαῖς τε καὶ τοῖς ἐπινηχομένοις συντήγμασι, καὶ πρὸς τούτοις ἐπιθεῖσι τῷ λόγῳ τὰς ἐντεῦθεν συναγομένας συμπαθείας τε καὶ πρωτοπαθείας τῶν μορίων, δυσκρασίας τε καὶ πέψεις καὶ ἀπεψίας, γένη τε καὶ εἴδη πυρετῶν, μακρονοσίας τε καὶ βραχυνοσίας, καὶ ὅσα κατά τε θάνατον καὶ ζωὴν τὰ μὲν ἐπιδήλως ἐκτεθεικόσι, τὰ δ' αὖ ἐν τούτοις περιεχόμενα ἐφιεῖσιν ἐντεῦθεν προσεξευρίσκειν καὶ ὅσα ἐπὶ τούτοις τῷ τὴν βίβλον μετιόντι ἐκμανθάνειν ἔξεστι, δίκαιόν τε καὶ ὅσιον ἔδοξεν ὧδέ πῃ καὶ τὸν πάντα περὶ τούτου καταπαύειν λόγον βραχύ τι πρὸς τοὺς ὁμιλήσαντας τοῖς λόγοις ἀξιώσαντι. ἵν' αὐτοί τε μὴ πρόχει-

*ροι ὦσιν ἐγκαλεῖν καὶ ἡμῖν τὸ ἀνέγκλητον περιάψωσι.* 24. *Κἂν τι δὲ προσεπιμνησθῶμεν τῶν ἐν ἀρχῇ τῆς πραγματείας εἰρημένων, τῇ ῥοπῇ τοῦ λόγου προσαπτέον καὶ τοῦτο.*

*Κεφ. ιζ'. Ἐπανάληψις ὡς ἐν βραχεῖ τῶν κεφαλαίων τῆς ὅλης πραγματείας ὅπως εἰς τοῦτο τῆς πραγματείας προήχθημεν.*

1. *Πάλαι μὲν τοίνυν τῷ φυσικῷ τῆς φιλοσοφίας μέρει προσνενευκότι καὶ τούτου ὡς οἷόν τε ἦν μοι ἐξεχομένῳ, ἐπί με καί τις ἐρωτῆς ἰατρικῆς περιέσχεν ἡψάμην μὲν καὶ τῆς ἐπ' αὐτῆς θεωρίας καὶ ταύτης ὅλος, ὡς εἰκός, ἐγενόμην, εἴς τε τὸ φιλάνθρωπον αὐτῆς καὶ θεραπευτικὸν ἀπιδὼν καὶ εἰς τὸ πρὸς φιλοσοφίαν κοινωνικόν, ὤκνουν τε ἀεὶ ἐπὶ τοῖς νοσοῦσιν ἐπιχειρεῖν σώμασιν εἰ μὴ καὶ λογικῶς ἐξετάζων ἦν τὰ τῶν νοσούντων παθήματα, ὥστε καὶ ἀφεκτέον μὲν ἐδόκουν ἰσχυρᾶς τινος κινήσεως, ἐφ' ὧν μὴ ἔφθην πάντῃ λογικῶς ἐπισκεψάμενος, ἀπρὶξ δ' εἰχόμην τε καὶ ἐπεχείρουν, ὡς εἰκός, τῶν λογικαῖς ἐφόδοις ἐπισημειουμένων παθῶν.* 2. *Τὸ μὲν γὰρ οὕτως ἀπροόπτως θεραπεύειν οὐκ ἀσφαλὲς ᾠόμην, τὸ δὲ δὴ μετὰ λογικῆς ἐπιστασίας ἀσφαλές τε ἅμα καὶ ῥάδιον.* 3. *Ἐπεὶ δὲ τῷ χρόνῳ προβαίνων καί τι συνεισενεγκεῖν τῇ τέχνῃ ἐπειρώμην, ἵν' ὅπως πρόφασις μαθήσεως περὶ τὴν τέχνην ᾖ καὶ πᾶσαν μὲν ἀφορμὴν λόγων εἰς ἰατρικὴν λυσιτελοῦσαν καθορῶν πλήρη λόγων τε καὶ παιδεύσεως, καὶ μάλιστα οἷς ὁ περιλάλητος σοφία τε καὶ τέχνῃ Γαληνὸς ἐνέκοψε, τὴν δὲ περὶ οὔρων πραγματείαν ζητῶν μὲν ὅπως ἂν ἀσκήσαιμι καὶ αὐτός, ἀπορῶν δὲ βραχέα τινὰ οὐκ οἶδ' ὅπως σποράδην περὶ τούτου διορισαμένων τῶν τῆς τοιαύτης τέχνης ἐξεταστῶν, αὐτὸς μὲν τοῖς καθ' ἑκάστην ὁρωμένοις ἐπί τε τῶν ὑγιαινόντων καὶ νοσούντων, βραχέων δὲ πάνυ προσεπιλαβόμενος ἀρχῶν προσέχων τε καὶ τοῖς λόγοις ἀντεξετάζων καὶ τὰς νομιζομένας ἀποδιδοὺς αἰτίας, κατὰ βραχύ τε προυχώρουν καὶ οἷός τε ἦν ἤδη καθαρώτερον ἀπὸ τῆς τῶν οὔρων ἐπισημασίας κρῖναι.* 4. *Ἐπεὶ δὲ τῷ χρόνῳ τὰς εὑρήσεις ἀληθευούσας πάνυ ἑώρων ἔγνων τε τὰς αἰτίας ἀδιαπτώτους ἐξευρῆσθαι καὶ τοῦ λοιποῦ*

ὥσπερ ἀπ' ἀγαθῶν τινων προυχώρουν ἀρχῶν, ἐπί τε τὰς διαγνώσεις καὶ προγνώσεις, οὐκ ὀλίγα τῆς τε περὶ σφυγμῶν εἰς τοῦτο λυσιτελουσάσης πραγματείας καὶ τῶν λοιπῶν εἴς τε διάγνωσιν καὶ πρόγνωσιν τοῖς παλαιοῖς ἐγγεγραμμένων ἀνδράσιν, ὅθεν δὴ συνεισενεγκεῖν τι προθέμενος, ὡς εἴρηται τῇ τέχνῃ, ἐπεὶ κατὰ τοῦτο μᾶλλον ἐνδέουσαν τὴν ἰατρικὴν ἑώρων, ἐπικεχείρηκά τε καὶ θεοῦ διδόντος εἰς πέρας ἤγαγον.

Κεφ. ιη'. Ἐπίλογος ἐν ᾧ καί τις ἀξίωσις πρὸς τοὺς ἐντυγχάνοντας τῇ πραγματείᾳ ταύτῃ.

1. Κἂν μὲν οὖν λυσιτελεῖν δόξῃ ὁ λόγος κάμνουσί τε καὶ ὑγιαίνουσι ἀνθρώποις ὡς τῆς ἀληθείας ἐχόμενος, θεῷ ἡ χάρις τῷ τῶν ἀγαθῶν παροχεῖ καὶ ἡμῖν οὐκ ἂν εἰκότως ἔγκλημά τι ἀπαιδευσίας προσάψειεν. 2. Εἰ δ', ὃ παθεῖν ἐνδέχεται, καί τι τοῦ προσήκοντος διημάρτομεν, αὐτὸς ὁ τὴν τοῦ λόγου ἐξευρηκὼς ἁμαρτίαν παριὼν δειξάτω καὶ ἀποδειξάτω καὶ στέρξαιμεν ἂν ἡδέως περὶ τὰ μέγιστα ὀφθέντες διαπεπτωκότες τοῦ δέοντος. 3. Τάχα δ' ἂν καὶ χάριν δοίημεν, εἰ ἡμῖν τὰ βέλτιστα προμηθευομένοις ὑποσκάζων πη ὁ λόγος καὶ ἡμῖν προσάπτων οὐκ ὀλίγον ἔγκλημα εἰς γνῶσίν τε ἔλθῃ καὶ τὴν ἀνήκουσαν ἀπολάβῃ διόρθωσιν. 4. Καὶ τὸ μὲν οὖν τὰ πάντα γράφειν καθ' ἕκαστον ἡμῖν τε δυσχερὲς ἐνομίσθη καὶ ἄλλοις οὐκ ἂν ὀφθείη ῥάδιον. 5. Ἀλλ' οὐχ ὅτι ἡμεῖς τὸ πᾶν τῆς τέχνης συνελόντες ἔσχομεν. 6. Πολλοῦ γὰρ πάνυ τοῦτο ἦν ἡμῖν ἄξιον καὶ ταῦθ' ὧν εὐχόμεθα τυγχάνειν ἀκροαταὶ μικροῦ τὸ πᾶν περὶ τὴν τέχνην οὐκ ἐμπεριειληφότων, ἀλλ' ὅτι τὰ μὲν καθόλου βραχυτέροις λόγοις ἐμπεριεχόμενα ῥᾴδιά τε ἐξελθεῖν καὶ πρόχειρα ἐξαγγεῖλαι. 7. Κἂν τι καὶ ὑποδιαιροῦντας ἐξετάζειν δέῃ, μέχρι μὲν ἄν τινος ὁ λόγος ἀβιάστως προβαίῃ. 8. Ἐπειδὰν δ' εἰς τὰ εἰδικώτατα καὶ μερικὰ καταντήσῃ, τοῦ περαιτέρω βαίνειν ἀπέχεται, αὐτῶν μὲν τῷ τοῦ ἀπείρου λόγῳ συνδιανεμομένων, τοῦ νοῦ δ' ἐξαποροῦντος ἐντεῦθεν καὶ περαιτέρω βαίνειν, ὥς ἔοικεν. 9. Ὡς ἡμεῖς μέν, ὅσα δῆτα ἐνεδέχετο φάναι, περί τε χυμάτων καὶ παρυφισταμένων εἰρήκαμεν ἐν πᾶσι τὴν

ἀληθείαν ὡς οἶμαι σπουδάζοντες. 10. Κἂν τι δὲ δόξῃ τῶν ἀξίων λόγου εἰς προῦπτον λελεῖφθαι καὶ τοῦτο οἶμαι τῇ δυνάμει ἐμπεριέχεσθαι. 11. Ἐπεὶ δ' ὁ λόγος πρὸς συνετοὺς ἐκδέδοται, τάχ' ἂν καὶ οὗτοι τοὺς ἐφ' ἑκάστης λόγους ἐντεῦθεν ἐξησκηκότες, ῥᾳδίως μὲν ἂν γνοῖεν, ὅσα τε συμπλέκεσθαι δύναται καὶ ὅσα μή, ῥᾳδίως δὲ ἐκ τούτων ὥσπερ χειραγωγούμενοι καὶ τὰς ἐπὶ τοῖς συμπεπλεγμένοις ἀποδιδόναι πρόχειροι γένοιντ' ἂν διαγνώσεις τε καὶ προγνώσεις. 12. Ἐμοὶ γὰρ ἔργον ἔδοξεν αὖθις τὸν λόγον ἀναλαμβάνοντι τὰ δέοντα συμπλέκειν καὶ τοὺς ἐπὶ τούτοις λόγους ἀποδιδόναι. 13. Καὶ ὁ μὲν παρὼν λόγος ὡς ἀπαρχή τις ἔστω τῇ τέχνῃ, τοῖς δ' αὐτὸν ἀσκήσουσιν εἴη τινὸς ἐντεῦθεν ὠφελείας ἀπόνασθαι. 14. Τῷ δὲ πρὸς τὸ φιλάνθρωπον ἀφεωρακότι τῆς τέχνης καὶ τὰ λυσιτελήσειν δόξαντα συνεισενεγκόντι (τῶν μὲν ἐκ τῆς τέχνης καλῶν ἀπολαῦσαι, συνεισενεγκόντι), καὶ εἴ τι ἕτερον δοκοίη λείπεσθαι, καὶ ὃ τὰ μάλιστα λυσιτελεῖν πέφυκε διά τε πρόγνωσιν καὶ θεραπείαν τῶν ἐπ' ἀνθρωπίνοις συμβαινόντων σώμασι κάμνουσι, τῶν δὲ πάντα μὲν ἑαυτοῖς περιποιουμένων εἰδέναι, ζηλοτυπούντων δέ, εἴ τι δόξῃ τις συνεισενεγκεῖν τῷ βίῳ χρήσιμον τὰς ἐκτόπους διαφυγεῖν γλωσσαλγίας. 15. Εἴη δὲ καὶ φάρμακον ἐξευρεῖν ἀντιπαθοῦν τοιούτοις πάθεσιν, ἵνα μὴ καὶ γλώσσαις ἄλλων ἐκλαβώμεθα κινδυνεύειν. 16. Τάχα δ' αὖ καιριώτατόν τε καὶ φαρμακωδέστατον ὀφθείη πρὸς ταῦτα φάρμακον πρὸς θεὸν μὲν οὐκ ἀγεννὴς πεποίθησις, πρὸς δὲ τοὺς ἐντυγχάνοντας τῶν ἀνθρώπων μετριότης φρονήματος, αὐτῶν δὲ τῶν λόγων ἀκριβής τις ἐπίσκεψις.

II.

## * ΤΟΥ ΛΟΓΙΩΤΑΤΟΥ ΨΕΛΛΟΥ
### ΠΕΡΙ ΛΟΥΤΡΟΥ.

---

*Πολλῶν τὸ λουτρὸν αἴτιον δωρημάτων.*
*Χυμὸν κατασπᾷ, φλέγματος λύει πάχος·*
*Χολῆς περιττὸν ἐκκενοῖ τῶν ἐγκάτων·*
*Χυμοὺς καθαίρει, [τὸν] κνησμὸν ἀποτρέπει.*
*Τὴν βλεπτικὴν αἴσθησιν ὀξύνει πλέον·*
*Τὴν γλῶτταν εὐκίνητον εἰς λόγους ἔχει·*
*Ὠτῶν καθαίρει τοὺς πεφραγμένους πόρους·*
*Μνήμην φυλάττει, τὴν δὲ λήθην ἐκφέρει·*
*Θυμηδίαν τε καὶ παράκλησιν φέρει·*
*Τὰς θελξιπίκρους κνισμονὰς καταστέλλει·*
*Τρανεῖ δὲ τὸν νοῦν πρὸς νοήσεις εὐθέτους.*
*Ὅλον τὸ σῶμα πρὸς κάθαρσιν λαμπρύνει,*
*Ψυχῆς τὸ κάλλος, προξενεῖν πλέον λάμπειν*
*Τοῖς εὐσεβῶς μάλιστα τούτῳ χρωμένοις*
*Δι' ἀσθένειαν σαρκίου πολυνόσου.*
*Λούεσθαι τοίνυν εὐσεβῶς καθὼς θέμις*
*Μὴ σπαταλικῶν καὶ γὰρ ἐγγὺς ἡ κρίσις,*
*Ἀλλ' ὡς μοναχῶν φαρμάκῳ κεχρημένη.*
*Οὕτω γὰρ εὗρε Σολομὼν εὐμηχάνως*
*Τὴν ἰδίαν τε καὶ παράκλησιν φέρων*
*Σκάφαις βροτοῖς πρὶν ἀφρόνως λελουμένους.*

---

## III.

## * ΠΕΡΙ ΔΙΑΙΤΗΣ
## ΑΝΩΝΥΜΟΥ.

---

1. Τροφὴν καὶ πόσιν οὐ χρὴ προσφέρεσθαι πολλάκις τῆς ἡμέρας, ἀλλὰ κατὰ τὸν καιρὸν τοῦ ἀρίστου, ἐν δὲ τοῖς ἑσπερινοῖς δείπνοις οἴνου ποτήρια δύο ἢ τρία σὺν ἄρτῳ βραχεῖ ὡς ἂν ὑπαναθυμιῶσιν ἐπὶ τὴν κεφαλὴν τὰς ὑπνώδεις ἀναθυμιάσεις μετρίως καὶ ὑποσύρηται πρὸς τοῦτον ἠρέμα ὁ χρώμενος καὶ μὴ κάμνῃ ἀϋπνῶν ὑπὸ τῆς παντελοῦς ἀδειπνίας. 2. Τό γε μὴν πολλάκις τῆς ἡμέρας ἐσθίειν καὶ πίνειν κάματον παρέχει τῇ φύσει ἐν τῷ πολλάκις ἀναγκάζεσθαι ταύτην πέπτειν καὶ ἐπὶ ἡπιπέπτοις ὠμὰ δέχεσθαι καὶ ἢ μοχθηρῶς πέπτει ἢ τελείως ἀπεπτεῖ καὶ ἀμφοτέρωθεν ἀδικεῖ. 3. Τὸ δὲ ἐπιδειπνεῖν ὀλιγοδεῶς ὡς εἴπομεν ἀγαθὸν ὑπὲρ τὸ τελεῶς ἀδειπνεῖν, ἀλλὰ καὶ δι' ἐκεῖνο, ἵνα μὴ προσεσθίσας ἑαυτὸν ὁ ἄνθρωπος τῇ κατὰ τὴν ἑσπέραν παντελεῖ ἀπαστείᾳ ἀνάγκης ποτὲ ἢ ἐκ νόσου ἢ ἐκ πείνης τυχὸν κατὰ τὴν αὐτὴν ὥραν τραφῆναι δυσχεράνει μεγάλως τῷ καιρῷ τῆς πέψεως τοῦ στομάχου ἀγνοήσαντος ἤδη ἐκ μακροῦ χρόνου τὴν τοιαύτην τροφὴν καὶ πέψιν. 4. Ἔσται δὲ καὶ τὰ λεχθέντα ἐπιδείπνεια ποτήρια θερμὰ καὶ μέτρια, ἵνα καὶ μὴ τῷ ψυχρῷ ἀδικία τις ἐγγένηται τῷ στομάχῳ κατὰ τὴν νυκτερίνην πέψιν ἢ τῷ πολλῷ πλημμύρα ὁμοίως ἀδικοῦσα καὶ αὐτή. 5. Ἔσται καὶ ἡ τροφὴ τοῦ ἀρίστου εὔχυμος. εἰ δὲ καὶ περί τινα τῶν μοχθηροτέρων ὀρεκτιᾷ ὅπερ ἡμῶν διαιτώμενος κατὰ τὴν αὐτὴν ὥραν καὶ τράπεζαν συγκεχωρήσθω προσφέρεσθαι ταῦτα καὶ μὴ ἐν διαφέροις τῆς ἡμέρας χρόνοις. 6. Κατὰ

ταὐτὸν γὰρ τοῖς εὐχύμοις τὰ μὴ τοιαῦτα ὡς ἐν μιᾷ χύτρᾳ τῇ γαστρὶ συμβληθέντα καὶ τοῖς εὐπέπτοις τὰ ἐναντία, εἰ συνεψηθήσεται ὡς τῆς φύσεως ὅλης εἰς αὐτὰ ἀπασχοληθείσης ἅπαξ ἀκμαίας, οὐκ ἂν ἀδικήσωσιν ἢ μικρόν. 7. Τοῦτο δὲ ἐξακουσθήσεται καὶ εἰς τὴν πόσιν τήν τε ἀγαθὴν καὶ μὴ τοιαύτην τυχόν. 8. Ψυχρὸν δὲ ποτήριον ἓν ἢ δύο ἐν τῷ μεταξὺ τῆς ὅλης τροφῆς τοῦ ἀρίστου ἐκπίῃς, εἰ τῇ ψυχροποοίᾳ χαίρει σου τὸ σῶμα, χειμῶνος μὲν ὑποχλιαινόμενα, θέρους δε κρυερά. 9. Ἀκράτου δὲ ὕδατος οὐ γεύσῃ, πλὴν εἰ μὴ ἐν τῷ θέρει μόνῳ, καὶ ψυχροτέρου τηνικαῦτα διὰ τὴν ἀλέαν τῆς ὥρας καὶ τὸ γεννώμενον τότε θερμὸν αἷμα καὶ τὴν χλωρὰν χολήν. 10. Δύσπεπτον γὰρ τὸ ὕδωρ καὶ δύσπορον εἰς οὖρα καὶ νεφροὺς καὶ στόμαχον ζυμοῖ καὶ ἄτροφόν ἐστι, ὧν τὰ ἐναντία ὁ οἶνος αὐχεῖ, καὶ μᾶλλον ὁ χρηστός. 11. Καματοῖς χρῶ πρὸ τῶν σιτίων, τοσοῦτον ὡς ἱδροῦν συμμέτρως, ἵνα ἐκ τοῦ διαφορεῖσθαι καὶ διαπνέεσθαι τὸ σῶμα ἀσμένως τὴν τροφὴν καὶ τὴν πλήρωσιν διὰ τὴν κένωσιν οὐχ ὡς ἄχθος. καὶ μὴ μόνης τῆς διὰ τῶν ἀδήλων πόρων κενώσεως φρόντιζε, ἀλλὰ καὶ τῆς διὰ τῶν ἐνδήλων μάλιστα. 12. Μετὰ δὲ τὴν τροφὴν χρῶ μετρίοις περιπάτοις ὡς ἂν ὑποχαλῶνται τὰ σιτία, μὴ ἅλμασι καὶ ἀτάκτοις κινήμασιν ἢ κραυγαῖς, ἵνα μὴ ἀναβράσσωνται. 13. Μετὰ δὲ τοὺς τοιούτους περιπάτους ὕπνῳ συμμέτρῳ χρῶ μεσημερινῷ καὶ μᾶλλον ἐν ταῖς μείζονσι καὶ θερμοτέραις τῶν ἡμερῶν. 14. Ἐν μὲν τοῖς ὑποστρώμασι καὶ τοῖς ὕπνοις πᾶσι δεξιοκοιτῶν κάθευδε καὶ ἐπὶ τὸ ἧπαρ ἀνακλίνου· οὕτω γὰρ ἡ πέψις χρηστοτέρα γίνεται καὶ ταχυτέρα, ὡς τοῦ ἥπατος κάτωθεν μὲν θαλπομένου τοῖς ὑποστρώμασιν, ἄνωθεν δὲ τοῖς ἐπιπίπτουσιν αὐτῷ σπλάγχνοις. 15. Ἡ ἀριστερὰ δὲ κατάκλισις τότε καὶ μόνη χρησιμωτάτη, ὅτι ἐκ πολυφαγίας ἢ καὶ πολυποσίας βαρύνονται τὰ σπλάγχνα καὶ ὁ στόμαχος καὶ εἰς ἔμετον ἀνακινοῦνται. 16. Ἀρκεῖ γὰρ τότε τῷ ἥπατι τὸ βάρος τῆς τροφῆς καὶ οὐχὶ καὶ τοῖς σπλάγχνοις ἐπιβαρυνθήσεται. παρενεχθήσονται δὲ ταῦτα ἐπὶ τὰ ἀριστερὰ καί τι τοῦ πλήθους τῆς τροφῆς καὶ τὸ ἧπαρ κουφισθὲν στέξει. 17. Ἡ δὲ πέψις δεῖται ἡσυχίας καὶ χρό-

νου, ἡσυχίας δηλονότι τῆς ἀπὸ κινήσεων καὶ ἁλμάτων καὶ δρόμων καὶ βοῆς ἴσως, τὸ δὲ χρόνου προσετέθη διὰ τὸν ὕπνον, ὡς μὴ βραχὺν εἶναι αὐτόν, ἀλλὰ ἄρκιον. γίνεται γὰρ καὶ ἐν ἐγρηγόρσει πέψις, ἀλλὰ μοχθηρά. 18. Ὑπαγωγῆς γαστρὸς φρόντιζε ὡς ἅπαξ τῆς ἡμέρας καὶ τῆς νυκτὸς ὡσαύτως εἰ μὴ πλέον ἀποσκυλαβίζεται ταύτην καὶ εἰ μὲν ὁ στόμαχος μὴ ἀντιπράττει διὰ τροφῶν ὑγροτέρων καὶ πόσεων ὑπακτικῶν συνεργεῖ τῇ ἐκκρίσει τῆς γαστρός. 19. Εἰ δ' οὖν διὰ τῆς ὑποκάτωθεν συνεργείας, φλεβοτομίας χρῶ. εἰ μὲν πολύαιμος ἔσται, συχνότερον· εἰ δ' οὖν χρονιώτερον, καὶ τὴν κρανιακὴν μάλιστα τέμνε κατὰ τοὺς ἀλεεινοὺς καιροὺς καὶ θερμοὺς διὰ τὸ ἐν τούτοις μᾶλλον τὴν κεφαλὴν πάσχειν. 20. Ἐν δὲ τοῖς κρυεροῖς καὶ χειμερινοῖς χρόνοις τὴν μέσην καὶ καθόλου διὰ τὸ ἐν τούτοις μᾶλλον τῷ ἄλλῳ σώματι συμβαίνειν τὰ πάθη καὶ τὰς πλευρίτιδας ὑποπτεύεσθαι. 21. Γινέσθω σοι δὲ ἡ φλεβοτομία καὶ μετὰ ἔκκρισιν γαστρὸς καὶ τοῦ στόματος ἐπικράντου ὄντος καὶ ἀδάκνου. 22. Τοῖς δὲ λουτροῖς πυκνότερον μὲν χρῶ, ἐὰν ὑποξήρου τετύχηκας σώματος· εἰ δὲ πλαδαροῦ καὶ πληθωρικοῦ σπανιώτερον καὶ τῆς γαστρὸς καὶ τοῦ σώματος, ἐχόντων, ὡς ἐπὶ τῆς φλεβοτομίας εἴπομεν. 23. Μὴ πάνυ δὲ ζέοντα ἔστωσάν σοι τὰ λουτρικὰ ὕδατος, ἀλλὰ συμμέτρως· ὃ γὰρ δύναται τὸ ψυχρὸν ὕδωρ ἐν τῷ σώματι, τοῦτο καὶ τὸ σφόδρα θερμόν. καὶ ὅρα τὰ σκύτη πῶς καταπυκνῶσαι ταῦτα θέλοντες οἱ τῶν τοιούτων τεχνῖται ὑπερζέουσιν ὕδασιν ἐμβαπτίζουσι. 24. Πυκνωθέντων δὲ τῶν πόρων τοῦ σώματος τοῖς λίαν θερμολούτροις, οὐδὲν ἔσωθεν περιττὸν ἢ μοχθηρὸν διαπνέεται ὃ κατόρθωμα τῆς θερμολουσίας καὶ δι' ὅπερ αὕτη σπουδάζεται. 25. Ἀλλὰ καὶ κατακλίσει μετὰ τὸ λουτρὸν καὶ περιθάλψει τῶν ἐκκλινιδίων ἱματίων καὶ ὕπνῳ χρῶ, ὥστε καὶ ἱδροῦν τὸ σῶμα δαψιλέστερον. ὁ γὰρ τοιοῦτος ὕπνος καὶ ἱδρὼς φησιν τὰ περιττὰ μὲν ἐπικρίνει, τὰ ὠμὰ δὲ πέπτει. 26. Καὶ μετὰ δίαιταν δὲ πεφυλαγμένην καὶ χρηστὴν τὴν μετὰ τὸν τοιοῦτον ὕπνον εἰ πάλιν ἐφυπνώσεις καὶ πάλιν ἐφιδρώσεις ὑπερκαθάρσιον σχεδὸν ὅτι οὐν ἄλλο ἐγένετό σοι ἡ ὠφέλεια. 27. Καί οὐδὲ τῶν ποτῶν

*βοηθημάτων δεηθήσῃ οὕτω λουόμενος καὶ οὕτω φλεβοτομούμενος καὶ ὑγιαινῶς διαιτώμενος· ὅπερ δὲ ἐπὶ τῆς θερμολουσίας εἴπομεν, τοῦτο καὶ ἐπὶ τῆς θερμοποσίας λέγομεν, ὅτι οὐ δεῖ καὶ ταύτην πάνυ ζέουσαν εἶναι.* **28.** *Τὰ αὐτὰ γὰρ ἐντὸς ἐν τοῖς σπλάγχνοις καὶ αὕτη κακουργήσει ἅπερ ἐκείνη ἐκτὸς ἐν τῷ σώματι καὶ τὸν στόμαχον συνάγξει καὶ οὐκ ἐάσει τὸ οἰκεῖον ἐνεργεῖν ἐλευθέρως.* **29.** *Περιφρύξει δὲ καὶ τὰ ἐν τῇ γαστρὶ περιττώματα καὶ βλάψει τῇ αὐτῶν ἐποχῇ· διὸ ἔστω μέση καὶ ἡ θερμοποσία καὶ εὐκεκραμένη καὶ τὰ μεγάλα ὀνήσει.* **30.** *Συμβαίνει δὲ εἰς ὑγείαν καὶ ἡ ὀλιγοποσία, ὅτι καὶ τῇ πέψει συνεργεῖ τῇ τε ἑαυτῆς· ἐπεὶ καὶ τὰ ὑγρὰ πέπτονται καὶ εὐπέπτονται μὲν καὶ ταχυπεπτοῦνται ὡς τὸ εἰκὸς τὰ ὀλίγα· ἐναντίως δὲ συμβαίνει ἐπὶ τοῖς πολλοῖς καὶ τῇ τῆς τροφῆς.* **31.** *Εἰ γὰρ ἡ ταύτης πέψις ἕψησίς ἐστιν ὡς ἐν χύτρᾳ τῇ γαστρί, ἡ δὲ ἕψησις τῇ πολλῇ πλημμύρᾳ παρεμποδίζεται καὶ μᾶλλον τῇ ψυχρᾷ.* **32.** *Βραδύνει γὰρ αὕτη τε ζέσαι καὶ τῷ ἑψομένῳ βρώματι τὸ ὅμοιον ἐμποιεῖ ὡς βλέπομεν γενόμενον καὶ ἐν τοῖς ἑψομένοις ἐν ταῖς ἑστίαις.* **33.** *Πάντως ἡ πολυποσία βλαβερὸν· τοὐναντίον δὲ ἡ ὀλιγοποσία ὡς ἔφημεν.* **34.** *Ἡ δὲ κρᾶσις τοῦ οἴνου, λέγω δὴ τοῦ εἰλικρινοῦς καὶ θερμοῦ γινέσθω σοι οὕτω. κατὰ τὸ χειμέριον κίρνα τοῦτον ἴσον ἴσῳ· ἑσπέρας δὲ τότε καὶ πλεονεκτείτω τι ὁ οἶνος διά τε τὸ ψυχεινότερον τῆς νυκτὸς καὶ διὰ τὴν πέψιν· κατὰ δὲ θέρος μοναπλοῦν τὸν οἶνον πρὸς διπλοῦν κίρνα διὰ τήν τε ξανθὴν χολὴν καὶ τὸ θερμὸν αἷμα καὶ ἁπλῶς τὴν ἀλεσινὴν κατάστασιν.* **35.** *Θέρους μᾶλλον καὶ καύματος φεῦγε τὰς δυσώδεις οἰκήσεις καὶ ἀέρι περικεχυμένας μεμολυσμένῳ· ἐκ τῆς ἐντεῦθεν γὰρ εἰσπνοῆς ἡ κεφαλὴ δέχεται πολὺ τὸ βλάπτον καὶ αἱ λοιμώσεις ἐγγίνονται.* **36.** *Χειμῶνος δὴ τὰς ψυχρὰς καὶ πρὸς βορρᾶν καὶ νότον ἀνοιγούσας θύρας καὶ παραθύρους, ἀλλὰ καὶ παντότε τῷ οἰκήματί σοι θύρας ἀναπεπτᾶσθαι κρεῖττον τὰς πρὸς ἀπηλιώτην καὶ ζέφυρον, τὸν ἑωθινὸν δηλαδὴ καὶ δυτικὸν ἄνεμον διὰ τὸ ἡμέρους τούτους καὶ κεκραμένους πνεῖν.*

*Περὶ τῆς κατὰ τὰς τεσσάρους ὥρας διαίτης.*

1. *Τῷ χειμῶνι πλείοσι δεῖ κόποις χρῆσθαι καὶ πλειόνα ἐσθίειν ἔαρος ἢ δι᾽ ἐμέτων ἢ διὰ γαστρὸς κενοῦσθαι ἢ διὰ φλεβοτομίας· θέρους ἀνάπαυσις τῶν πόνων συμφέρει, ἐλάττωσις τῆς τροφῆς, ψυχροτέρα τροφὴ καὶ ὑδροποσία.* 2. *Τὸ φθινόπωρον ἀνώμαλον καὶ παντοδαπὰς φύει νόσους· χρὴ οὖν ἐν τοῖς τοιούτοις πεφυλαγμένως διαιτᾶσθαι, φεύγειν τὰ ψυχρά, ὀπωρῶν μὴ ἐμπίπλασθαι, συκᾶ δὲ καὶ σταφυλὰς πρὸ τῶν σιτίων ἐσθίειν, μή ψυχροτέρου τότε γενομένου τοῦ ἀέρος θερμαίνειν τὸ σῶμα, μετὰ δὲ τὴν ἰσημερίαν κενώσει χρῆσθαι μιᾷ τῶν εἰρημένων ἄνωθεν, ἵνα μὴ περιττόν τι κατασχεθὲν ἐν τῷ χειμῶνι γένηται λυπηρόν.*

## IV.

### * Στεφάνου Ἀλεξανδρέως οἰκουμενικοῦ φιλοσόφου καὶ διδασκάλου τῆς μεγάλης καὶ ἱερᾶς τέχνης. Περὶ χρυσοποιΐας Πρᾶξις σὺν θεῷ πρώτη.

---

Θεὸν τὸν πάντων ἀγαθῶν αἴτιον καὶ βασιλέα τῶν ὅλων, καὶ τὸν ἐξ αὐτοῦ πρὸ τῶν αἰώνων ἐκλάμψαντα μονογενῆ υἱὸν σὺν τῷ ἁγίῳ πνεύματι ὑμνήσαντες, καὶ τὸ τῆς αὐτοῦ γνώσεως λαμφθὲν ἡμῖν καθικετεύσαντες, τῆς ἐν χερσὶ πραγματίας, τοῦδε τοῦ συγγράμματος ἀπαρξώμεθα τὰ κάλλιστα δρέπεσθαι, καὶ τὰ ἀληθῆ ἀνιχνεύειν ἐπιστωσάμεθα. νυνὶ δὲ ἐκ τῆς ἀληθοῦς φυσικῆς θεωρίας κατασκευαστέον τὸ πρόβλημα· ὦ φύσις ὑπὲρ φύσιν νικῶσα τὰς φύσεις, ὦ φύσις ὑπὲρ αὐτὴν γινομένη οἰκονομηθεῖσα, ὑπεραίρουσα καὶ ὑπερβαίνουσα τὰς φύσεις, ὦ φύσις μία καὶ ἡ αὐτὴ ἐξ αὐτῆς τὸ πᾶν φέρουσα καὶ ἀποπληροῦσα, ὦ ἕνωσις πληθυνομένη καὶ διάκρισις ἡνωμένη, ὦ ἡ αὐτὴ καὶ οὐκ ἄλλη φύσις, ἐξ αὐτῆς τὸ πᾶν ἀποσώζουσα, ὦ ὕλη ἄυλος τὴν ὕλην διακρατοῦσα, ὦ φύσις φύσιν νικῶσα καὶ τέρπουσα, ὦ φύσις οὐρανίη πνευματικὴν ἀποστίλβουσα ὕπαρξιν, ὦ ἀσώματον σῶμα, τὰ σώματα ἀσωματοποιοῦν, ὦ σελήνης διαδρομὴ πᾶσαν τὴν διακόσμησιν περιλάμπουσα, ὦ γενικώτατον εἶδος καὶ εἰδικώτατον γένος, ὦ φύσις ἀληθῶς ὑπὲρ φύσιν νικῶσα τὰς φύσεις, ποία φύσις εἰπέ, ἡ ἐξ αὐτῆς ἑαυτὴν οἰκείως αὖθις ἀσπαζομένη, ἤτοι ἡ τὸ ἄπυρρον φέρουσα θεῖον καὶ πυρίμαχον ἔχουσα τὸν τόνον, ἡ πολυώνυμος ἰδέα καὶ πολύειδος

ἐπωνυμία, ἡ ἔμπειρος φύσις τε καὶ ἐξάπλωσις, ἡ πολλύχρωμος ἐξανθίζουσα ἶρις, ἡ τὸ πᾶν ἐξ ἑαυτῆς ἀνακαλύπτουσα, ὦ φύσις ἡ αὐτὴ καὶ οὐκ ἐξ ἄλλης τὴν φύσιν διαφαίνουσα, ὦ ὅμοιον ἐξ ὁμοίου ἀναφαῖνον, ὠκεανίζουσα θάλασσα ποικιλοχρώους ἀναθυμουμένη μαργαρίτας, ὦ σύλληψις τετρασωμίας ἐν ἐπιπέδῳ ὡραϊζομένη, ὦ τριττῆς τριάδος ἐπίγραμμα καὶ ὁλικῆς σφαγίδος ἐξάρτισμα, ὦ μαγνησίας σῶμα δι' ἧς τὸ πᾶν ἐπιφέρεται μυστήριον. ὦ χρυσόρροφον οὐρανίης νάμα, καὶ ἀργυρόλοφον ἐκ θαλάσσης ἀναπεμπόμενον πνεῦμα, ὦ ἀργυροθώρακον ἔχουσα χιτῶνα, καὶ χρυσοζώμιον κομίζουσα βόστρυχον, ὦ σοφωτάτων ἐννοιῶν καλὴ γυμνασία, ὦ θειοτάτων ἀνδρῶν σοφὴ παντουργία, ὦ ἀμυήτων ἀνθρώπων ἀνεξιχνίαστον πέλαγος, ὦ κενοδόξων ἀνδρῶν προκαταλαμβανομένη ἀπειρία, ὦ ὑπερηφάνων μερόπων ἀναθυμουμένη ἔξαψις, ὦ εὐσεβῶν ἀνθρώπων ἀπερικάλυπτος ἀφή, ὦ ἐναρέτων ἀνδρῶν θεωρουμένη ὄψις, ὦ πρακτικῶν φιλοσόφων ἡδύπνοον ἄνθος, ὦ τελεία μονοειδὴς ἀποσκευή, ὦ σοφίας ἔργον, νοοσύνθετον φέρουσα κάλλος, ὦ πᾶν ἐκ μιᾶς οὐσίας τὴν τοσαύτην αὐγὴν ἐξαστράπτουσα, ὦ σελήνη ἐκ τοῦ ἡλιακοῦ φωτὸς φῶς ἀπολαμβάνουσα, ὦ μία φύσις ἡ αὐτή, καὶ οὐκ ἄλλη φύσις, τέρπουσα καὶ τερπομένη, κρατοῦσα καὶ κρατουμένη, σωζομένη τε καὶ διασώζουσα, τί ὑμῖν καὶ τῇ πολλῇ ὕλῃ, ἑνὸς ὄντος τοῦ φυσικοῦ καὶ μιᾶς φύσεως νικώσης τὸ πᾶν, ποίας ταύτης εἰπέ· ποίας; ὑμῖν τοῖς εὖ φρονοῦσιν ἀνατίθημι τὸ μέγα τοῦτο δῶρον, τοῖς τὴν ἀρετὴν ἠμφιεσμένοις, τοῖς θεωρητικὴν πρᾶξιν κεκοσμημένοις, καὶ πρακτικὴν θεωρίαν ἐνιδρυμένοις· ποίας ταύτης, φράσσον, τοιοῦτον ἡμῖν προμηνύων ἔσεσθαι τὸ δῶρον. ποίας, λέγω καὶ οὐκ ἀποκρύψω. ὁμολογῶ τῆς ἄνωθεν φωτοδοσίας τὴν χάριν, ἣ παρὰ τοῦ πατρὸς τῶν φώτων ἡμῖν δεδώρηται. ἀκούσατε ὡς ἰσάγγελοι νόες. ἀπόθεσθε τὴν ὑλώδη θεωρίαν, ὅπως τοῖς νοεροῖς ὑμῶν ὀφθαλμοῖς ἰδεῖν ἀξιωθῆτε τὸ ἀποκεκρυμένον μυστήριον· ἑνὸς γὰρ τοῦ φυσικοῦ χρεία καὶ μιᾶς φύσεως νικώσης τὸ πᾶν. ποίας ταύτης, ἤδη ὑμῖν σαφῶς λελέχθαι, ὅτι ἡ φύσις τὴν φύσιν τέρπει καὶ ἡ φύσις τὴν φύσιν κρατεῖ, καὶ ἡ φύσις τὴν φύσιν νικᾷ. τέρ-

πεται μὲν ὑπὸ τῆς ἰδίας οὔσης φύσεως, κρατεῖται δὲ τὴν ἐξ αὐτῆς ἔχουσα συγγένειαν, νικᾷ δὲ ὑπὲρ φύσιν τὴν φύσιν ὅταν τὴν ἔνσωμον τῆς οἰκονομίας ἀποπληρώσῃ μυσταγωγίαν. ὅταν ἄφθαρτον ἀποθανατώσῃ τὸ σῶμα, ὅταν τὴν πνευματωθεῖσαν μεταποιήσῃ συμπλήρωσιν, τότε ὑπὲρ φύσιν ἔσται θαυμαζόμενον ὡς πνεῦμα, τότε κρατεῖ τὸ κινούμενον σῶμα, τότε τέρπει ὡς ἴδιον οἰκητήριον, τότε νικᾷ ἀσωμάτως κατεμβατεῦον ὅλον ἐξ ὅλου τοῦτο γινόμενον ὑπὲρ φύσιν θαυμαζόμενον. τί εἴπω πρὸς σὲ περιεκτικὴ μαγνησία· τίς μὴ θαυμάσει τὸν ἐκ σοῦ ἀποτελούμενον χρυσοκόραλλον; ἐκ σοῦ γὰρ τὸ πᾶν τελεσιουργεῖται μυστήριον, σὺ τεθάρρησαι μόνη τῆς τοιαύτης τὴν γνῶσιν, ἐν σοὶ ἐφήπλωται ἡ ἀνατολικὴ αὕτη περιλάμπουσα νεφέλη, ὁμοδίαιτον φέρεις ἐν σοὶ τὴν πολύμορφον τῆς Ἀφροδίτης εἰκόνα, οἰνοχόον δὲ πάλιν διακονοῦντα τὸν πυρίβολον ἀνθρακοβάτην (τοσαύτην οὖν ἐπιφέρουσα τὴν τηλαυγίαν νυμφικῶς ἑαυτὴν περικαλύπτεις, τὸ ἔναγνον τῆς φύσεως ἀναλαμβάνεις μυστήριον), δείξω λοιπὸν καὶ τοῦ σοῦ χαρακτῆρος τὴν λαμπηδόνα. ἄρξομαι τὰς πολυμόρφους ἐκείνας μηνύειν εἰκόνας. τότε γάρ σέ τις νοερῶς καθυφαίνων ἔνφλογον τὴν πυρώδη ἐξανάπτει. τὴν σὴν γὰρ θεωρῶν πολύχρωμον φαντασίαν, ἀρκεῖν οὐκ εὐτονοῦμαι περιθέων αὐτῆς τὰ κάλλη. ὁ σὸς γὰρ περιλάμπων μαργαρίτης ἀμαυροῖ μου πρὸς θέαν τὰς κόρας. ὁ σὸς ἐξανάπτων φεγγίτης πᾶσαν μου καταπλήττει τὴν ὅρασιν, ἡ σὴ ἀποστίλβουσα αἴγλη ὅλην εὐφραίνει μου καρδίαν, ὦ φύσις ἀληθῶς ὑπὲρ φύσιν νικῶσα τὰς φύσεις. σὺ τὸ πᾶν ἡ μία φύσις. ἡ αὐτὴ δι' ἧς καὶ τὸ πᾶν γίνεται ἔργον. περιττῷ γὰρ ἀριθμῷ ἡ σὴ τεχνολογεῖται παγκοσμία· τότε γὰρ γνωρίζῃ, ἐν οἷς προσδοκᾶσαι, τότε ἀνακαλύπτῃ, ἐν οἷς περιδρομεῖσαι, τότε ἀποπαύεις τῆς στάσεως τοὺς ἀγῶνας, τότε μηνύεις βασιλικὴν ἁλουργίδα, ἣν καὶ διὰ τῆς σῆς παιδίσκης ἐπικοπίζῃ· τότε οὐκ ἔναγχος κάματος, ἀλλὰ χρυσόρροφος θάλαμος, τότε οὐ πολύτροπος ἐπιτηδειότης, ἀλλὰ πάνσοφος ἀγχίνοια, τότε οὐ στέρησις τῶν ἐναρέτων ἀνδρῶν εὑρίσκεται, ἀλλὰ ἀπόλαυσις τῶν τελείων ἀνδρῶν ἀναδείκνυται· τοιοῦτος γὰρ αὐτῆς ὁ ἐν περιττῷ ἀριθμῷ εὑρισκόμενος ὅρος.

*οὕτως αὐτὴν ἐπιγνώσονται οἱ τῆς ἀρετῆς ἀνάπλεοι, ἀκούσατε οἱ τῆς σοφίας ἐρασταὶ καὶ εἴσεσθε τὰ μεταλία τοῦ παντοκράτορος θεοῦ· αὐτὸς γάρ ἐστιν ὁ πάσης σοφίας χορηγός, φῶς οἰκῶν ἀπρόσιτον, φῶς, ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον. οὐδὲν γάρ ἐσμεν, ἄτερ τῆς αὐτοῦ θεαρχίας, οὐδὲν ὅλως ἐστὶ τὸ ζητούμενον τοῦτο δῶρον πρὸς τὴν αὐτοῦ μακαριότητα. προσεγγίσατε ὦ φίλοι ἀρετῆς πρὸς τὴν ἄυλον ἐκείνην ἔφεσιν. μάθετε ὡς γλυκὺ θεοῦ φῶς, οὐκ ἄξια τὰ νῦν θαυμαζόμενα πρὸς τὴν μακαρίαν ἐκείνην λῆξιν, μόνον οἰκειωθῶμεν αὐτῷ δι' ἀγάπης, καὶ ληψόμεθα παρ' αὐτοῦ τὴν ἐξ ἀβύσσου ἄβυσσον πηγάζουσαν σοφίαν, ἵνα δυνηθῶμεν διὰ τῆς χάριτος τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ποταμοὺς ἀναβλῦσαι ὕδατος ζῶντος, ὅπως θαυμάσας τοῦ δημιουργοῦ τὴν τοσαύτην σοφίαν ὑμνήσῃς αὐτοῦ τὴν εἰς ἡμᾶς μεγάλην φιλανθρωπίαν, τί θαυμάζειν δεῖ χρυσοκόραλλον εἶδος. θαυμάζειν δὲ δεῖ πλέον τὸ ἀπερίγραπτον κάλλος· ὅμως καὶ τὸν πόθον ὑμῶν πληρώσω, ἵνα τοσοῦτον ἐρᾶν ἀξιωθῆτε μεθ' ὑμνῳδίας θεολογεῖν τὴν ὑπεράγαθον τοῦ θεοῦ ἀγαθότητα.*

---

## *Τοῦ αὐτοῦ Στεφάνου σὺν θεῷ Πρᾶξις δευτέρα.*

*Τὸ τῶν ἀριθμῶν συγκείμενον πλῆθος ἐκ μιᾶς τῆς ἀτόμου καὶ φυσικῆς μονάδος τὴν ὕπαρξιν ἔχει, ἄπειρον αὐτὴ συντείνουσα τὴν τῶν ἀλλήλων σχέσιν, ὡς ἐξ αὐτῆς προσεληλυθότα περιέχει καὶ περικρατεῖ. μονὰς γὰρ εἴρηται διὰ τὸ μένειν αὐτὴν ἄτρεπτον καὶ ἀμετακίνητον. τὴν γὰρ κυκλικὴν καὶ σφαιροειδῆ τῶν ἀριθμῶν θεωρίαν, ὁμοίαν ἑαυτῆς ἀναδείκνυσιν ἀποκατάληξιν τῶν πέντε ἀριθμῶν φημὶ καὶ τῶν ἕξ· ἐκ γὰρ αὐτῶν εἰς ἑαυτὰ πάλιν ἀνακυκλοῦνται. καὶ πᾶσα μὲν τετραγωνικὴ πλευρὰ ἐξ ἰδιομήκους γινομένη συγγένειαν ἔχει πρὸς τὸ ὅμοιον, ἵνα τελείαν ἀποκαταστήσῃ συμπλήρωσιν. παντὸς δὲ χύματος καὶ μορίων ἑξηκοστόν,*

ἐξ αὐτῆς τὴν γένεσιν ἔχοντα καὶ ἀνακυκλοῦντα πάλιν εἰς ἑαυτὴν συστελλόμενα τὴν φυσικὴν ἀποπληροῦσι μονάδα. πάσης δὲ κυκλικῆς σφαίρας τὸ σημεῖον κέντρον ἐστίν, ὁμοίως δὲ καὶ παντὸς τριγώνου καὶ ἐπιπέδου καὶ στερεοῦ σχήματος διὰ γραμμμῶν τιθέντος, τὸ αὐτὸ συννοείσθω. καὶ τῆς μουσικῆς δὲ ἱστορίας οἵ τε νέατοι καὶ παρύπατοι, εἰ δὲ ἐκ τεσσάρων, εἴδὲ ἐπὶ τρίτῳ λόγῳ, τότε πρὸ αὐτοῦ πρόλογον εἶναι καὶ τὸν ὑπ' αὐτοῦ ὑπόλογον, δι' ἧς τὰς τοιαύτας τῶν ἀναλογιῶν συνδέσεις, καὶ διὰ πασῶν αὐτῶν συμφωνίας ἐκ τῆς τοσαύτης αὐτῶν ἀνασώζομεν μουσικῆς ἱστορίας. Ὀρφέα γάρ φησι ληχάνοντες ῥυθμικοῖς ἐνηρμόυθαι φθόγγοις, ὥστε καὶ τῆς ὁμοταγοῦς οὐσιῶν κινήσεως ἡ συμφωνία ὑπηχεῖται, καὶ τὴν ᾄδουσαν ἐμμελῶς ἐκτελεῖ μελωδίαν. ἐξ ἑνὸς γὰρ τῆς τοῦ ὀργάνου ἡ τούτων συνίσταται κατασκευή, ὅθεν καὶ τὴν ἔναρθρον τοῦ σώματος κατασκευὴν οὕτως διακεῖσθαι ὀστέοις τε καὶ ἄρθροις καὶ μορίοις καὶ νεύροις, καὶ διὰ τοῦ πλήκτρου ἀναδιδομένου ἀέρος δίκην ὀργάνου κινοῦντος τὴν φωνὴν ἀποπέμπεσθαι εἰς ἕν τι τῆς οὐσίας συναρμοσθέντα καὶ ἑαυτῆς βίᾳ κρατούμενα καὶ συνιστάμενα· τὸν αὐτὸν δὴ τρόπον καὶ τὴν τοῦ ἀέρος σύγκρασιν. δύο γὰρ ἄκρων ποιοτήτων, εἷς μεσίτης καὶ διαλλάκτης εὑρίσκεται, σώζων αὐτῶν τὰ ἑκάτερα, διὰ τὴν πρὸς αὐτὰς γειτνίασιν καὶ πολλὴν συγγένειαν. ἀλλὰ καὶ τῆς σφαιροειδοῦς καὶ ἀπλανοῦς ταύτης τῆς τοῦ πόλου κινήσεως, ἐκ τῆς τοῦ ὑπὲρ γῆν ἡμισφαιρίου παρὰ τοῦ ὁρίζοντος τὸν ἐγκόσμιον τοῦτον καὶ διαφανῆ πόλον, καὶ τοῦ ἡλιακοῦ φωτὸς ἐκ τῆς πᾶσι τούτοις ἐπιχορηγοῦντος τὰ φῶτα καταυγάζει. ἐξ αὐτῆς γὰρ οὐ μόνον οἱ ἀστέρες τὴν τοῦ φωτὸς μετέχουσι τάξιν, ἀλλὰ καὶ ἡ τῆς σελήνης ἐπιφάνεια τὴν ἐκ τοῦ φωτὸς ἐπιλαμβάνουσα αὐγήν, φαίνει τε πᾶσαν τὴν νυκτερινὴν λαχοῦσαν δᾳδουχίαν. καὶ ἔξεις πάντα ἁπλῶς εἰπεῖν τὰ τοιαῦτα ἐκ τοῦ ἑνὸς αὐτῶν καὶ πρωτίστου τὴν οὐσίαν εἰληχότα, σώζουσι τὰ τῆς φύσεως καὶ ἀποπληροῦσι θεωρίας. καιρὸς ἂν εἴη λοιπόν, τὴν ἐν τῷ προάγοντι τοῦ προοιμίου σκέψασθαι διάλεξιν, καὶ τὸ τῆς σεληνιακῆς ἀπορροίας πίπιον, πῶς δὲ εὑρίσκεται, καὶ πῶς οἰκονομεῖται, καὶ πῶς ἄκαυστον ἔχει

*φύσιν. ὦ διδασκαλίας σοφία τῆς τοιαύτης κατασκευῆς διασημαίνουσα τὸ ἔργον, ὦ λευχημονοῦσα σελήνη ἀποστίλβουσα λευκότητα, μάθωμεν τίς αὕτη ἡ σεληνιακή, ἵνα τὸ ἀπορούμενον μὴ διαλάθωμεν. ἔστι δὲ αὕτη ἡ λευκοφόρος χιών, τὸ πολύφωτον ὄμμα τῆς λευκασίας, ἡ νυμφαγωγὸς στολὴ τῆς οἰκονομίας, ὁ ἄφθαρτος χιτών, τῆς εὐμορφίας τὸ νοοσύνθετον κάλλος, τῆς τελειώσεως τὸ λευκότατον σύνθεμα, τῆς ἀποπληρώσεως τὸ πηκτὸν γάλα, τῆς θαλάσσης τὸ ἀφροσέληνον ἑῴας, ἡ μαγνησία τῆς Λυδίας, τὸ ἰταλικὸν στῆμι, τῆς Ἀχαΐας ὁ πυρίτης, ὁ ἀπὸ Ἀλβανίας, τὸ πολυώνυμον τῆς ἀγαθοεργίας, ἡ τὸ πᾶν ἐπικοιμίζουσα, ἡ τὸ ἓν πᾶν φέρουσα, ἡ τὸ θαυμαστὸν ἔργον ἀποπληροῦσα· τί δέ ἐστιν ἡ ταύτης ἀπόρροια; οὐκ ἀποκρύψω, ἀλλ' ἐμφανὲς δείξω τὸ ζητούμενον κάλλος. ἔστιν οὖν αὐτῆς ἡ ἀπόρροια τὸ ἐν αὐτῇ κεκρυμμένον μυστήριον, ὁ πολύτιμος μαργαρίτης, ὁ φλογοφόρος φεγγίτης, ὁ χρυσοράντιστος χιτών, τὸ χρυσοζώμιον βρῶμα, ὁ χρυσόκοσμος σπινθήρ, ὁ νικηφόρος ἀνθαγαθεύς, τὸ βασιλικὸν περιβόλαιον, ἡ ἀληθινὴ πορφύρα, τὸ πολυτίμητον στέμμα, τὸ ἄπυρρον θεῖον, ὁ εἰσκριτὴρ τῶν σωμάτων, τὸ ξανθὸν ὅλον εἶδος, ὁ ἐγκεκρυμμένος θησαυρός, ὁ θάλαμον ἔχων τὴν σελήνην, ὁ ἐν αὐτῇ τῇ σελήνῃ γνωστικῶς θεωρούμενος, ⸌ ὁ ϙ ϙ ϙ п αγς ϱ ϙ ω. ὁ λευκὸς μὲν θεωρούμενος, ξανθὸς δὲ γνωριζόμενος, ὁ τῇ λαχούσῃ σελήνῃ νυμφίος, ἡ ἐξ αὐτῆς χρυσῆ σταγών, ἡ ἀπ' αὐτῆς ἔνδοξος ἀπόρροια, ἡ ἀναλλοίωτος συμπλοκή, ἡ ἀνεξάλειπτος περιδρομή, ἡ θεοδώρητος ἐργασία, ἡ θαυμαστὴ χρυσοποιΐα, καὶ ἵνα μὴ ταύτην παραδράμω, ἐπὶ τὸ προκείμενον αὖθις ἐπάνειμι τοῦ λόγου. μετὰ τὴν τοῦ χαλκοῦ ἐξίωσιν καὶ ἐξίσχνωσιν καὶ μέλανσιν ἐφ' ὕστερον λεύκωσιν, τότε ἔσται βεβαία ξάνθωσις. ὦ σοφίας ἔργον ὑπὲρ φύσιν θαυμαζόμενον, ὦ ἄφθονος χάρις δαψιλῶς ἐκπηγάζουσα, οὐ φθονεῖ ὁ σοφώτατος, ἀλλ' ὑποδείκνυσι σαφῶς τὴν ἐξήγησιν. [μετὰ τὴν τοῦ χαλκοῦ ἐξίωσιν καὶ ἐξίσχνωσιν καὶ μέλανσιν, εἰς ὕστερον λεύκωσιν, τότε ἔσται βεβαία ξάνθωσις.] τί λέγεις φιλόσοφε μετὰ τὴν τοῦ χαλκοῦ ἐξίωσιν; ποίαν ταύτην; εἰπέ, φράσσον ἡμῖν τῆς ἐργασίας τὰ ἀπόκρυφα. μετὰ τὴν τοῦ χαλκοῦ ἐξίωσιν,*

*καὶ πῶς ἐστιν ἐξιῶσαι χαλκὸν τὸν ἰὸν ὅλον φέροντα; πῶς; ἐγὼ ὑμῖν λέξω τοῦ λόγου τὴν ἀκρίβειαν, τὴν διὰ νεφέλης βαδίζουσαν Ἀφροδίτην. μετὰ γὰρ τὴν τοῦ χαλκοῦ ἐξίωσιν, τουτέστιν καλῶς οἰκονομηθεῖσαν λείωσιν καλῶς προβιβασθεῖσαν περίσκεψιν, μετὰ γὰρ τὴν τοῦ χαλκοῦ αὐτοῦ καὶ ἐξίσχνωσιν τουτέστιν λεπτοτέραν τῆς λειώσεως διάθεσιν, καὶ ἔτι τὴν ἐπακολουθοῦσαν τούτοις ἐπιφερομένην μελανίαν εἰς ὕστερον εἴρηται λεύκωσιν, τότε ἔσται βεβαία ξάνθωσις. ὅταν γὰρ τὴν τῆς ῥυτίδος ἀποπτύσῃ μελανίαν, εἰς λευκότητα λίαν μεταφέρεται. καὶ ὅταν εἰς λευκότητα λίαν μεταφέρηται, τότε τοῦ στιλπνοῦ φωτὸς ἡ σελήνη ἀπαυγάζει τὰς ἀκτῖνας, τότε πότε, εἰς ὕστερον λεύκωσιν, ὅτε λευκὸν ἴδῃς τὸ σύνθεμα· ὅτε γὰρ πλησίον σελήνης φανῇ, τότε τὸ πανσέληνον αὐτῆς μηνύει τὸ φῶς. τότε βεβαία ἡ ξάνθωσις. ποία αὕτη; εἰπέ. ἡ θεωρουμένη λευκή. καὶ πῶς τὸ λευκὸν ξανθὸν ἀποτελεῖς; ὦ σοφώτατοι, ὑπερβαίνει λογισμόν, τοῦτο κρύφιόν ἐστιν τὸ ἐρώτημα, μυστικὴ λέξις καὶ ἡ ἐπίσκεψις. ἐγὼ φράσω τὸ μυστήριον τὸ ἀπόκρυφον καθὼς ἀνωτέρω ὑμῖν προλέλεκται· μετὰ τὴν τοῦ χαλκοῦ ἐξίωσιν καὶ ἐξίσχνωσιν καὶ μέλανσιν εἰς ὕστερον λεύκωσιν, τότε ἔσται βεβαία ξάνθωσις. ὅτε ἴδῃς τὴν γινομένην λεύκωσιν ἔνδον αὐτῆς, ἐπιγίνωσκε τὴν περικεκαλυμμένην ξάνθωσιν, τότε ξανθὴν νόει τὴν λεύκωσιν οὖσαν, τότε καὶ λευκὴ οὖσα, ξανθοῖ διὰ τὴν ἐν αὐτῇ ἀποκεκρυμμένην ξάνθωσιν, διὰ τὸ ἐμβατεύειν αὐτῆς τὰ τῆς καρδίας βάθη διὰ τὸ ἔνσωμον ἔχειν τὴν τῆς ☽ λεύκωσιν, καὶ ἀρρήτως ἐν αὐτῇ τὴν ξάνθωσιν διήκουσαν. τότε βεβαία ἔσται ξάνθωσις· ποία; ἡ γινομένη λευκή· αὕτη ἐστὶν ἡ ξανθή. αὕτη μὲν τῷ χρώματι λευκὴ φαίνεται, ἡ δὲ φύσις ξανθὴ ὑπάρχει, οὐδὲν ὑπολέλειπται, οὐδὲν ὑστερεῖ, πλὴν τῆς νεφέλης καὶ τοῦ ὕδατος ἡ ἄρσις. βλέπεις τὸν ἀρχαιότατον. οὐχ ὁρᾷς τί ἀπεφήνατο ὁ σοφός; οὕτως αἰνίττεται ὡς τελείως. οὕτως ἀπεφήνατο ὡς καθηγητὴς τὸ πᾶν ἀποδείκνυσι λέγων, οὐδὲν ὑπολέλειπται, οὐδὲν ὑστερεῖ, πλὴν τῆς νεφέλης καὶ τοῦ ὕδατος ἡ ἄρσις· δείξας ἐν τούτῳ τὴν τοῦ ὅλου κατασκευήν, ἀποδοὺς δι' ὀλίγου τὸ πᾶν, ἵνα μὴ πολλῇ ὕλῃ καταχώσητε τὰ κινούμενα, ἵνα μὴ*

*Κιλικίας τὸν κρόκον, καὶ ἀναγαλλίδος βοτάνη καὶ τὸ Πόντιον αὐτοῖς ῥᾶ, καὶ τῶν ἄλλων ὀπῶν, χολῆς τετραπόδων καὶ κνωδάλων τινῶν, λίθον τε καὶ μετάλλων φθαρτικῶν νοήσωσι, τὰ τῆς τελεσιουργικῆς καὶ ἑνικῆς καὶ μιᾶς φύσεως τὰ ἀνόμοια, ἵνα μὴ πλανηθέντες ἄνθρωποι ἀποστῶσι τῆς ἀληθείας, ἵνα μὴ ἐπὶ τῆς φυσικῆς ὑπάρξεως ἀνύπαρκτον διάθεσιν μετέλθωσιν. τί λοιπόν; ὁ ἐξοχώτατος καὶ πάσης ἀρετῆς σύμβουλος, περιάγων αὐτοὺς καὶ ἕλκων πρὸς τὸν τῆς ἀληθείας σκοπόν, ἵνα μὴ ὡς ἔφην εἰς ὑλικὰς καμίνους καὶ διοργανισμοὺς ὑελῶν, ἀμβύκων, λωπάδων τινῶν καὶ κηροτακίδων καὶ αἰθάλων. καὶ οἱ εἰς τὰ τοιαῦτα ἐπασχολούμενοι εἰς κενὸν αὐτοῖς ὁ τοῦ καμάτου πόνος ἐξαγορευθῇ· ἀλλ' ὅρα πῶς ἐν τῇ φράσει τὸ πᾶν ἀπεπλήρωσεν. οὐδὲν ἀπολέλειπται, οὐδὲν ὑστερεῖ πλὴν τῆς νεφέλης καὶ τοῦ ὕδατος ἡ ἄρσις. ποία νεφέλη; εἰπέ. τίς ἡ νεφέλη καί τι τὸ ἐξ αὐτῆς ἐκτελούμενον ἔργον; δεῖξον ἡμῖν φανερώτατα, ὅπως ἐπιγνωσώμεθα τοῦ λόγου τὴν δύναμιν. καὶ πρὸς ταῦτα ὁ φιλόσοφος· νεφέλη ἐστίν, τοῦ ὅλου συνθέματος ἔργον, ἡ διὰ τοῦ θείου ὕδατος καλῶς ἀποστίλβουσα, ἡ ἐμφυῶς τὴν λείωσιν ποιησαμένη, ἡ οἰκονομικῶς φαινομένη, καὶ νοητῶς καταλαμβανομένη. νεφέλη ἐστὶν ἡ τῆς ἐργασίας ἐξάπλωσις, ἡ ἐπίπεδος ἐπιφάνεια, ἡ ἀργυρώνητος στήμων, ἡ ἀεροΰφαντος περιπλόη, ἡ Κελτικὴ νάρδος, τὸ Ἀτλαντικὸν πέλαγος, ἡ Βρεττανικὴ μέταλλος, ὁ στεφανόκοσμος ὠκεανός, ἡ ἀμέτρητος ἄβυσσος, ἡ σφαιρόμορφος κτίσις, τὸ οὐράνιον σῶμα, ἡ τὸ πᾶν περιέχουσα καὶ περιλαμβάνουσα, αὐτὸ τὸ εἶδος τὸ ἀτίμητον, ἡ ποθουμένη θεωρία, τὸ ζητούμενον θέαμα, τὸ ἓν ὅλον καὶ ὅλον ἕν, ἡ ἱερὰ λεύκωσις τοῦ παντὸς τιμίου ἔργου, ἡ ὅλη κατασκευή, τὸ ἐνεπίστημον ἔργον, τὸ συμπέρασμα τῆς συμπληρώσεως, τὸ λειωθὲν καὶ καλῶς οἰκονομηθέν, τὸ τελείως πληρωθέν. οὐδὲν γὰρ ὑπολέλειπται, πλὴν τῆς νεφέλης καὶ τοῦ ὕδατος ἡ ἄρσις. τὸν τῆς νεφέλης σαφῶς ἐφοδηγηθέντες τρόπον, ἐπὶ τὴν τοῦ ὕδατος ἄρσιν μετελεύσω μου τὸν λόγον. τί ἄρα ἐστὶ τοῦτο τὸ ἐπαγόμενον; τίς ἡ τοῦ ὕδατος αὕτη ἄρσις; εἰπὲ ὦ καθηγητά· πλήρωσον σοῦ τῆς χάριτος τὰς δωρεάς· καταύγασον ἡμῶν τὰς*

*ἀμβλυώπους κόρας, σαφήνισον τὴν τοῦ λόγου ἔναρθρον σύστασιν, τίς ἡ τοῦ ὕδατος αὕτη ἄρσις; καὶ περὶ τούτου οὐκ ἀπεσιώπησεν· εἶπεν, τὸ ἀμιγὲς κάλλος ὕλην οὐχ ὑποδέχεται, ἡ ἄϋλος οὐσία, ἁπλὴ μέν ἐστι καὶ σύνθετος, τὸ μυριώνυμον τοῦτο ἀγαθόν. μιᾶς γὰρ ὕπαρχον οὐσίας, εἰς ἑαυτὴν συστέλλεται, περὶ αὐτὴν ἐναπαύεται τὴν μίαν αὐγὴν τὰς ὑγροποιοὺς ὅλως οὐκ ἐντίθεται ἰκμάδας. ἀποβολὴν δὲ ἔληθεν τῶν ῥευμάτων τὴν βίαν· ἀποθεῖται τῶν ὑδάτων τὰς ῥύσεις· πῶς γάρ ἐστιν αὐτῆς ἰδεῖν τὴν κίνησιν, μὴ οὕτως ταῦτα ἀποσεισαμένης; οὐ δύναταί τις αὐτῆς ἐμπλησθῆναι, εἰ μὴ πρῶτον ἐξάρῃ ἀπ᾿ αὐτῆς τὰ περιπολεύοντα ὕδατα. δεῖ οὖν νηχομένην αὐτὴν τοῖς ὕδασι, μὴ ἐὰν αὐτὴν ἔνυγρον, ἵνα μὴ ἀποφρενωθῇ, ἵνα μὴ δύνῃ ἀφ᾿ ἡμῶν, ἵνα τι τῇ ὑγρᾷ οὐσίᾳ ἐνύγρως ἀπομείνῃ. ἀλλ᾿ ἄρωμεν ἀπ᾿ αὐτῆς τὴν τῶν ὑδάτων περιοχήν, ἵνα θεασώμεθα τοῦ κάλλους αὐτῆς τὴν πολλὴν εὐοπτίαν. πῶς οὖν τὴν τοῦ ὕδατος ἄρσιν ποιησόμεθα; πῶς ἀπώσομεν ἐκ τῆς τοῦ ὕδατος μετουσίας; πῶς αὐτὴν διασπάσομεν, ἵνα οὕτως εὐχερῶς τοῦ ὕδατος γένηται ἄρσις; πανοπλίας χρὴ καὶ ἀνδραγαθίας. τίς ἱκανὸς πρὸς τοῦτο; τίς δυνατὸς ἐξάραι τὴν πλημμυρίζουσαν τῶν ὑδάτων διαδρομήν; τίς οὕτως εὑρίσκεται πρὸς ἀντίστασιν; τίς πρὸς διακονίαν εὐτρεπίζεται; εὕρηται ἡ εὔλυσία τοῦ πράγματος, ἵνα φανερῶς ἴδωμεν τῆς νεφέλης τὴν ὡραιότητα. αὕτη ἐστὶν ἡ διὰ τοῦ θείου ἔμπειρος παρόπτησις. ὥσπερ γὰρ ἡ διὰ τοῦ ὕδατος ἐπὶ νῷ ἐστιν ἀπόπλυσις, οὕτω καὶ διὰ θείου ἀποκάθαρσις τοῦ παντὸς γίνεται. τοῖς γὰρ θείοις ὕδασιν ἀποπλύνοντες νῦν καὶ καλῶς οἰκονομήσαντες, πάλιν διὰ πυρὸς καὶ θείου ἀποκαθαρίσομεν, ἵνα ἀποκαλυφθῇ τὸ τῆς ☾ σῶμα, ἵνα ἴδωμεν ἡλιόδωρον νεφέλην. ὦ σοφίας θεοῦ ἀνέκφραστα μυστήρια, ὦ πλούσιαι δωρεαὶ τοῖς ἠγαπηκόσι τὸν κύριον, ὦ βάθος πλούτου καὶ σοφίας καὶ γνώσεως μυστηρίων. εἰ τὰ παρόντα τοιαῦτα θαυμαστὰ καὶ ἐξαίσια, ποταπὰ τὰ αἰώνια, ἃ οὐδεὶς νοῦς ἐξηγήσασθαι δύναται, εἰ τὸ ἔνυλον ἔργον ἀρρήτῳ τινὶ λόγῳ τοιοῦτον ἡμῖν φαίνεται, ποταπὰ τὰ ἀκήρατα ἀγαθὰ καὶ ἀνεξιχνίαστα κάλλη, ἃ οὐδεὶς ἰσχύει θεάσασθαι, ὑμνῶ καὶ προσκυνῶ καὶ δοξολογῶ σε, τριὰς ὑπε-*

*ρούσιε καὶ ὑπεράγαθε καὶ ὑπέρθεε, τίς ἐξειπεῖν δύναται πρὸς ὕμνον τῶν θαυμασίων σου, ὡς ἐμεγαλύνθη. τὰ ἔργα σου, κύριε, πάντα ἐν σοφίᾳ ἐποίησας.*

---

*Τοῦ αὐτοῦ Στεφάνου ἐπιστολὴ πρὸς Θεόδωρον.*

*Περὶ τοῦ ἀγροῦ γνῶθι ὡς πολλοὺς γεωργοὺς ἀχρήστους ἔχει, καὶ εἰ μὴ τούτους ἐκβάλῃς ἔξω, οὐ δύνασαι πρόσοδον ἀπὸ τοῦ ἀγροῦ λαβεῖν. εἰσὶν δὲ οἱ περὶ Κλαυδιανὸν καὶ τοὺς ἄλλους ὁμοῦ πάντες ἀδελφοὶ ἑξ· εἰ μὴ δύο χρήσιμοι μόνον οὐκ εἴσιν. καὶ ἡ λευκάργενος πᾶσα ἄχριστος. τί γὰρ ἡ δράκοντα ἔχει ὁ ἀγρός, καὶ διὰ τοῦ φυσήματος ἀναξηραίνει τὸν τόπον, ἔνθα καὶ ἄτονοι ὑπάρχουσιν. ἐγὼ δὲ αὐτὸν εἶδον καὶ τὰς ποικίλας τοῦ σώματος αὐτοῦ φολίδας. καὶ ἡ μὲν ἀρχὴ τῆς οὐρᾶς αὐτοῦ λευκὴ ὡς γάλα, ἡ δὲ κοιλία καὶ ὁ νῶτος κροκοειδής, καὶ ἡ κεφαλὴ μελάγχλωρος. δεῖ δέ σοι εἰς τρία διελεῖν τὸν ἀγρόν, τοὺς τέσσαρας ἀδελφοὺς ἓν μέρος καὶ τὸν μέγα λίθον εἰς ἓν μέρος, οὕτως γὰρ πειρῶνται οἱ παλαιοὶ τοῦ ἀγροῦ ποιεῖν ὡς εὗρον. οὕτως ποιεῖ ὁ μαγιστριανὸς Θεόδωρος καὶ Ἰάκωβος ὁ καβιδάριος διδασκαλεῖ. ἀληθής ἐστιν αἰθάλη τις ὑγρὰ καὶ αἰθάλη ξηρά. καὶ ἡ μὲν ὑγρὰ αἰθάλη ἀνασπᾶται διὰ τῶν φανῶν, τῶν ἐχόντων τοὺς μασθούς. ἡ δὲ ξηρὰ αἰθάλη διὰ χύτρας καὶ πώματος χαλκοῦ, ὡς ἀπὸ κινναβάρεως αἰθάλη λευκή. ἐὰν οὖν τὴν ξηρὰν αἰθάλην ποτίσῃς διὰ τῆς ὑγρᾶς αἰθάλης, θεῖον ἔργον ἀποτελεῖς. γίνωσκε δὲ ὅτι πᾶσαι αἱ οὐσίαι καὶ τὰ μέταλλα καὶ αἰθάλαι εἰσίν, μᾶλλον δὲ γίνονται. αὗται γὰρ ποτισθεῖσαι γίνονται αἰθάλαι ὑγραί. ἡ Σκυθικὴ κώμαρις, ἥτις συπκραθεῖσα τῇ νέᾳ αἰθάλῃ πάντα ἀποτελεῖ. καὶ ἄλλο ἐστὶν ἡ μυθικὴ χημια, καὶ ἄλλο ἡ μυστικὴ καὶ κρυπτή. καὶ ἡ μὲν μυθικὴ πολυπληθίᾳ λόγων συχέεται, ἡ δὲ μυστικὴ λόγῳ δημιουργίας κόσμον μεθοδεύεται, ἵνα ὁ θεόφρων καὶ ὁ θεογενὴς ἄνθρωπος διὰ τῆς εὐθείας ἐργασίας καὶ θεολογιῶν καὶ μυστικῶν λόγων μάθῃ.*

---

## Τοῦ αὐτοῦ Στεφάνου περὶ τοῦ ἐνόλου κόσμου. Πρᾶξις σὺν θεῷ γ'.

Πῶς διοργανοῦται καὶ πῶς ἐν αὐτῷ τὰ θεῖα μόρια ἐκκαθαιρόμενα ἀνίπτανται ἐπίπεδα ἐπιπεδέστερα ἀγόμενα· ἡ γὰρ μέθοδος τῆς μυστικῆς χημίας εἰκόνες εἰσὶν (Ω) καί τι δεῖ, μεθοδεύεται. οὕτως καὶ τὰ σώματα μεταλλευόμενα καὶ μεταλλοιούμενα ὑπὸ τῆς ἐναντίας φύσεως, μεθόδῳ τινὶ γίνεται ἐπίπεδος καὶ αἰθερώδης. ὢ σπέρμα σπειρόμενον εἰς γῆν τῆς ☾ καὶ ἀποτελεῖ ⊙ καὶ διὰ τῆς θείας ἐργασίας ἡ τέφρα καὶ ἡ καδμεία καὶ ἡ σποδὸς τῶν λευκίνων ξύλων. καὶ τὰ θειώδη οὕτω τεφρωθέντα θεῖον πάλιν ἔργον καὶ ὕδωρ θεῖον ἄθικτον διὰ τῆς αὐτῶν τέφρας ποιοῦσιν εἰς παλιγγενεσίαν. ἔστιν οὖν ἀντὶ πολλῶν κατανοήσαντα ὡρεῖν, ὅτι ἡ τέφρα ἡ πολλὰ ποιοῦσα ἔργα μάλιστα τὰ βαφικὰ ἐὰν μὴ ὀλίγον ἡ τίτανος καὶ ἡ ἄσβεστος καὶ ἡ γύψος καὶ ἡ φέκλη καλουμένη, καὶ τὸ ἀφροσέληνον καὶ ὅσα τοιαῦτα εἴδη καιόμενα καὶ ἀποτεφρούμενα ποιοῦσι σποδὸν λευκήν, ἔργα μεγάλα ἐπαγγέλλονται καὶ εἰς ἰατρείας καὶ εἰς χρωίσεις πάσας τὰς βαφικὰς μέχρι καὶ ὑέλων καὶ μαρμάρων· καὶ ἵνα μὴ δειλανθῇς ἀπὸ ἀπειρίας, καὶ γὰρ τοῦ Ἑρμοῦ λέγοντος, ἐὰν ἴδῃς τὰ πάντα σποδὸν γινόμενα, νόει ὅτι καλῶς ἐσκεύασται· ἡ γὰρ σποδὸς δυνάμεώς ἐστιν πλήρης καὶ ἐνεργείας. ὥσπερ γὰρ τὰ ξύλα τὰ ποιοῦντα στακτὴν ἄκαυστα γίνεται, τουτέστιν ἀποκεκαυμένα, καὶ ἀποτεφρούμενα, καὶ συμμιγέντα τῷ χρυσοζωμίῳ μηκέτι καιόμενα, ἀλλὰ ἐνεργοῦντα εἰς πάσας τὰς βαφάς, μέχρι καὶ ἔργων καὶ μαρμάρων καὶ ὑέλων καὶ λίθων καὶ ξύλων καὶ δερμάτων καὶ πάντων ὁμοῦ τῶν χυτῶν σωμάτων, καὶ ἀποτεφρωθέντα πολλὰ ἔργα καὶ θεῖα ποιοῦσιν. καὶ χρώματα διάφορα ὅσα ἀπὸ ♁ κρόκου καὶ ὅσα ἀπὸ λιθαργύρου καὶ πάμμου τεφρούμενα καὶ ἐξαγαγόντα ἔξω τὴν φύσιν πάλιν εἰς τὸ φανερόν, τὰ μὲν ἐνεργά, τὰ δὲ δύναμιν δι' ἑτέρας ὁμιλίας δεικνύοντα τὴν ἐνέργειαν. καὶ ὅσα μὲν οὖν ἔχει ὑμῖν ἀποδεῖξαι ἀπὸ τῶν τε-

φρωμένων καὶ σποδωμένων, ἔσται ἰατρικῆς ἐπιστήμονος. ὅσα δὲ καὶ εἰς παλιγγενεσίαν ἄρχονται, εἰς εὐσύνετον τέχνην. μάλιστα οἱ τὴν σποδὸν τῶν ἀγοραίων βοτανῶν τῇ ἴσῃ συνεψοῦντες· καὶ τὰς σποδοὺς τῶν σωμάτων καὶ ὑελῶν τῇ ἴσῃ συγχωνεύοντες· ὡς οὐ δεῖ δειλιᾶν ἐπὶ τῶν καιομένων καὶ τεφρουμένων τούτων τῶν σωμάτων. πάλιν γὰρ ἔχονται εἴς τινα δύναμιν καὶ ἐνέργειαν καὶ παλιγγενεσίαν, φύσιν ἔχοντα μιμητικὴν τοῦ παντὸς κόσμου καὶ τῶν στοιχείων αὐτῶν ὅθεν καὶ τὴν παλιγγενεσίαν ἔχοντα, πνεύματός τινος μετουσίαν, ὡς ὑλαίῳ πνεύματι γινομένων. οὕτω καὶ ὁ χαλκὸς ὡς ἄνθρωπος καὶ ψυχὴν καὶ πνεῦμα ἔχει· ταῦτα γὰρ τὰ χυτὰ σώματα καὶ τὰ μεταλλικά. ὡς δ' ἂν ἀποτεφρωθῶσιν ὁμιλήσαντα τῷ πυρί, πάλιν πνευματοῦνται, πυρὸς αὐτοῖς χαριζομένου τὸ πνεῦμα. μεταλαμβάνοντα δηλονότι καὶ ἀπὸ τοῦ ἀέρος τοῦ τὰ πάντα ποιοῦντος, ὡς καὶ τοὺς ἀνθρώπους, καὶ τὰ πάντα ἐκεῖθεν δίδοται τὸ ζωτικὸν πνεῦμα καὶ ἡ ψυχή, οὕτως καὶ τὰ χυτὰ σώματα σὺν τῶν μεταλλικῶν ἀποτεφρωθέντα, μεθόδῳ τινὶ ἀνακομίζονται τὸ πνεῦμα, τῷ συγγενῆ πυρὶ ὥσπερ ἀναγινόμενα. πάντα δ' ὁμοῦ τὰ στοιχεῖα καὶ γενέσεις καὶ φθορὰς καὶ μεταβολὰς καὶ ἀνακάμψεις ἔχουσιν ἀπὸ ἑτέρου εἰς ἕτερον. οὕτως καὶ ὁ χαλκὸς καυθεὶς καὶ ἀνακαμφθεὶς ῥοδίνῳ ἐλαίῳ καὶ ἐκτιναχθείς, καὶ πολλάκις τοῦτο παθών, χρυσοῦ κρείττων ἀσκίαστος γίνεται. τοῦτο δὲ τριπλοῦν χρὴ ἐκδέχεσθαι εἴς τε τὸ ἄβαφον καὶ τὸ βαπτόμενον, καὶ τὸ βάπτον. καὶ γὰρ διὰ βαφῆς ἀνακάμπτεται, κἄν τε θείως, κἄν τε ἰατρικῶς. καὶ ἐπὶ τῆς τοῦ βαπτομένου δὲ τοῦτο νόει τὴν ἀνάκαμψιν, ὡς ὅταν ἀπὸ σποδοῦ καὶ τέφρας ἐπὶ ἐνέργειαν βαφικὴν ἐρχόμενος τὴν ἐν δυνάμει καὶ τῆς δι' ἐνεργείας. εἰσὶ γάρ τινα τῶν πασχόντων ἀνακάμπτεσθαι. τοῦτο δὲ εἶπεν ὅτι ☿ τῆς ἀληθοῦς συντέχνης καίεται καὶ πυρὶ φευκτόν ἐστιν, ἀλλὰ πάσχει ἀπὸ τοῦ πυρὸς καὶ αὐτὸ ὂν διαβὰς οὐ συγχέεται καὶ αἱ ὀπτήσεις τῶν κατ' Ἄιγυπτον ἐπιβολῶν οἷς κέχρηται καὶ οὐ συγχέεται τὸ φάρμακον τῇ βαφῇ. ὥσπερ γὰρ εἶπεν ὁ κριτικὸς διδάσκαλος καὶ φιλόσοφος καὶ καθηγητής, ὅτι ὥσπερ σφενδόνη παρερχομένη ἀκοῦσαι μέν τινα, οἴχεται

δὲ πετομένη τοῦ βάλλοντος ἰσχύει, οὕτως οὖν οἴχεται τοῦ ἀντιτιθέντος τὸ τραῦμα, ἀλλ' ὁ ἔχων ἔχει ὁ ποῖος, κἂν ἀληθῶς οἴχεται· οὕτω καὶ ἡ σποδὸς αὕτη ἔδραμεν καὶ βάπτει ἀνεξαλείπτως καὶ ἀνεξάλειπτον ποιεῖ τῆς βαφῆς τὸ αἴτιον ἢ τὸ φάρμακον εἰς τὸ συγγενὲς πῦρ καὶ ἀέρα ἀναλύεται, ὡς ἐν κόλποις γονέων φεῦγον καὶ ἀποκαιόμενον. εἶτα ἔχομεν ὑμῖν ἑτέρους μεγάλους ꙋ συγγράψιν πολλὰ καὶ πλείονα. οὗτος ὁ χαλκὸς ♀ ὁ πάντα πάσχων τὸ πλέον παροπτούμενος γίνεται λίθος ἐτήσιος τῷ χρώματι ὥς τι σφίγγον ἐτήσιος. μετὰ οὖν τὸ ὀπτηθῆναι ἀποσβέννυται τῷ θείῳ ὑγρῷ, ὃ καλοῦσιν ὕδωρ θεῖον τὸ ἀπολυόμενον ἔλαιον, καὶ γίνεται οἶνος πάχος καὶ μείνας ἐκεῖ μάλιστα ἡμέραν θέρμην πραότητα ἀδιαπνεύστου ὀργάνου, ἡ ὕλη φθαρεῖσα λοιπὸν τὸ ἐμφανὲς μυστήριον τοῦ ὕδατος τοῦ θείου τὸ ἄθικτον τὸ ζητούμενον ἀποτελεῖ. καὶ αὐτό ἐστιν ὁ λίθος, ὁ ταῦτα ποιῶν. ὥσπερ γὰρ ἡμεῖς τὰς τέσσαρας δυνάμεις, τουτέστι ἑσεκτική, δεκτική, τονοτική, ἀλλοιωτική, τότε ποιοῦμεν τὸ ὕδωρ τοῦ θείου τὸ ἄθικτόν. τὸ πανβάφιον αἷμα ὡς δι' ὀργάνου διὰ τὸ τοῦ ἥπατος ὑποκείμενον τῇ γαστρί, καὶ τὸ σῶμα σχοῦν καὶ θάλπον αὐτῷ καὶ καῖον καὶ τὰ πάντα τὰ δύο θεῖα. τὸ γάλα ξανθὸν δὲ ἐν ἥπατι ἐξαιματούμενον πλέον ἀποζόντων τῶν φυτῶν. καὶ τοῦτο πάλιν τὸ εἰλικρινὲς ἔργον νεφροῖς ἐξαφριζόμενον ποιεῖ τὴν σπορὰν καὶ παλιγγενεσίαν. ὡς καὶ ἡ τέχνη μετὰ τὴν τῶν λευκῶν καὶ τῶν ξανθῶν ποιεῖ τὴν σύνθεσιν ἐπὶ ὀλίγων βολβήτων τουτέστι τὰς τῆς τέχνης ἐξαφρίσεις καὶ παλιγγενεσίας σπορά, ἵνα μετ' ὀλίγον χρόνον ἀποτεχνῇ ζητούμενον, σχήματι καὶ χρώματει καὶ μεγέθῃ. καὶ ὧδε μὲν ἡ τέχνη ἔχει. ἐμεῖ δὲ διὰ τῶν στοιχείων. εἰ καὶ δι' αὐτῶν τὸ ζητούμενον τοῦ θήλειος καὶ τοῦ ἄρρενος ὁμοῦ ἐκθοροῦνται καὶ πλεοῦται τὸ γενόμενον. παρατήρει οὖν καὶ ἐν τῇ τέχνῃ τὸ πῦρ καὶ τὸ ἐκθόρημα τοῦ πνεύματος οὐκ ἀναμένοντος. ἔνθα καὶ τὰ πταίοματα γίνονται προερεθισμοί, τὴν ψυχρότητα τὴν θήλειαν, τὴν δυσκίνητον, τὴν ἐκτρωμανῆ. ᾧ δὴ καὶ καπρώδη καὶ ἄθικτον καὶ ἀνδροκαθίστρια μήτρα, παντὶ ἐπιθυμουμένη ὁπόταν τάχειον ποιήσῃ, ὅ ἐστι χαρᾶς καὶ

ἔρωτος ἀφροδισιακὸν σύμβολον ὅ ἐστιν καχασμός. τοῦτο καὶ οἱ χρυσοχόοι εἰδότες ὃ λέγουσιν, τοῦτό φασιν ἐγέλασαν, καὶ τότε χρῶνται τῶν κατ' Αἰγύπτου ἐπιβολῶν, ἅτινα ἐκφαυλιζόμενα αὐτὸς ὁ λίθος ὁ ἐτήσιος οἰκονομούμενος ποιεῖ ὅσα καὶ ἡμεῖς, καὶ μὴ θαυμάσῃς, εἰ ἐκ πολλῶν λίθων καὶ ἑτέρων εἰδῶν εἷς ὢν λίθος γίνεται καὶ λέγεται. ἢ οὐχ ὁρᾷς τοὺς τὴν μοῦσαν ἀπεργαζομένους καὶ τὰ καλά, ἵνα καὶ τὰ ζώδια καὶ τοὺς θηλούς, καὶ τὰς βαφάς, ὅτι ἐκ πολλῶν εἰδῶν ἕνα λίθον ποιοῦσι. μάλιστα οἱ διὰ ♁ χρόνου καὶ χαλκόειδον γινόμενον, ὥστε καὶ γλυφῆς ἐπιδέεσθαι καὶ πάντα ὅσα ἂν οἱ λίθοι οἱ τοιοῦτοι οἱ χρήσιμοι, ἐκ πολλῶν λίθων ἕνα λίθον ποιοῦσιν, ὅντινα καλοῦσιν ἐτήσιον. διὰ τοῦτο τοῖς ἐτησίοις σκευάζεσθαι τὴν γραφὴν ὀπτοντες καὶ ἀποσβεννύοντες τὸ ἀπολελυμένον ὕδωρ, ὥσπερ ἔφην, καὶ σήποντες ποιοῦσιν τὸ ὕδωρ τοῦτο τὸ θεῖον ἄθικτον τὸ ἀπὸ μόνου θείου. οὗτός ἐστιν ὁ λίθος ὁ ἐτήσιος. σὺν τούτοις ἔχει πᾶσιν ὀνόμασιν. οὗτος ὁ πορφυρῷος, ὁ ἐν τῷ πορφύρῳ μετάλλῳ εὑρισκόμενος, ὁ διακασσιτήρου πορφυρόχρωμος μακεδονικός, καὶ εἴ τι ἄλλο λέγεται ἢ γράφεται ἢ σημαίνεται ἐν ταῖς θείαις καὶ ἀλληγορικαῖς γραφαῖς ὥστ' εἴ τι δ' ἂν σημαίνωσιν αἱ γραφαὶ περὶ πολλῶν ἀλληγοροῦσιν. οὗτός ἐστιν ὁ ἐτήσιος ὁ παρερμος ὁ πολύχρωμος, ὁ ἐν τῷ κλειδίῳ ἐκδοθεὶς πρὸς ἕκαστον χρῶμα οἰκονομούμενος, καὶ σὺν χαλκῷ ἀναδειχθεὶς καὶ ἐλαίῳ τοῦ φανοῦ ἀναλαμφθείς. οὗτος εὐτυχεῖς ἐποίησε τοὺς τῆς Αἰγύπτου ἐπιμελητὰς καὶ τοὺς αὐτῶν προφήτας. καὶ ταῦτα μὲν περὶ τῶν ἀποτεφρωμένων καὶ σποδωμένων, καὶ ἀκαυστούμενον ποιούντων ἔργων. περὶ δὲ τοῖς ἔργοις ἐλαιώσεως (μάλιστα γὰρ αὕτη εἴωθεν ποιεῖν τὰ πάντα) σποδὸν ποιοῦσιν διαφόρως μετὰ τὸ λευκανθῆναι τὸ λευκὸν σύνθεμα. καὶ πρῶτον μὲν ἡλίῳ καὶ δρόσῳ ἅλμῃ θαλάσσης, ἢ οὔρῳ ἢ ὀξάλμῃ ἡμέρας πολλὰς ἀναξηραίνοντες ἡλίου δυνάμει, καὶ ὀστράκων δαψιλέσι λειώσεσι. συνλειοῦσι τὴν ἴωσιν ὑδραργύρῳ, ἵνα καταποθῇ ἀπὸ τοῦ ξηρίου, καὶ ἐλαιώσαντες ἑψοῦσιν τῷ ἡλίῳ, ποτιοῦντες τῷ ὀργάνῳ ἐπὶ ἡμέρας καὶ ἀναξηραίνοντες λειοῦσι πάλιν καὶ ὑγροῦσι. πάλιν ἀναξηραίνοντες λαμβάνουσιν ὀξύμελι καὶ ἐποπτοῦσιν

ἐπὶ ἡμέρας τρεῖς. καὶ καρτεροῦσι ζῶντες καὶ φυλάσσουσι καὶ λειοῦσι πάλιν καὶ ποιοῦσιν οἴνου ἢ ἐλαίου πάχος, καὶ σήπουσι πραστάτῳ πυρὶ ἐπὶ ἡμέρας μέγιστα καὶ λειοῦσι καὶ λαβόντες τὸ ἀργυροζώμιον καὶ τὸ θεῖον μετὰ τῶν δαφνῶν καὶ τῶν ἄλλων πάντων ὀπτοῦσι καὶ ἐπιβάλλουσι χαλκὸν ἐξιωθέντα, ὑέλῳ λαμπρῷ καὶ νίτρῳ καὶ μυσί.

---

## Τοῦ αὐτοῦ Στεφάνου εἰς τὸ κατ' ἐνέργειαν πρᾶξις σὺν θεῷ τετάρτη.

---

Πᾶσα δόσις ἀγαθὴ καὶ πᾶν δώρημα τέλειον ἄνωθέν ἐστι καταβαῖνον ἀπὸ τοῦ πατρὸς τῶν φώτων. οὐκοῦν Ἰησοῦν ἐπικαλεσάμενοι τὸ πατρικὸν φῶς, τὸ ὂν τὸ ἀληθινὸν φωτὸς ἀπαύγασμα, φωτίζον πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον. αὐτὸς γάρ ἐστι τὸ φῶς καὶ ἡ ἀλήθεια, καὶ ἡ ζωή, ὁ θεαρχικὸς τοῦ θεοῦ λόγος, ἡ σοφία καὶ δύναμις, ἡ παντοποιὸς καὶ ἄρρητος τοῦ θεοῦ σοφία, ὁ ζῶν λόγος τοῦ πατρός, θεὸς ὢν καὶ πρὸς τὸν θεὸν ἀεὶ ὤν, ὁ δι' οὗ τὰ πάντα ἐγένετο, ὁ φῶς τοῖς πιστοῖς παρέχων πρὸς τὸ εἰδέναι τὴν τῶν ὄντων γνῶσιν καὶ ὑμνῆσαι τὰ μεγαλεῖα τοῦ παντοκράτορος θεοῦ. αὐτὸς γάρ ἐστιν δοτὴρ καὶ σωτὴρ τοῦ κόσμου, αὐτὸς φωτίσειεν ἡμῶν τὸν νοῦν καὶ τὰς καρδίας καὶ ἀναλάμψαι ἡμῖν λαμπάδα, καταλάμπουσαν ἡμῖν τὰ ἀνεξερεύνητα βάθη τῆς αὐτοῦ γνώσεως καὶ σοφίας, πρὸς τὴν ἀληθῆ καὶ ἀπρανῆ γνῶσιν τοῦ γινώσκειν σε τὸν μόνον ζῶντα καὶ ἀληθινὸν θεὸν ἡμῶν, τὴν ἁγίαν καὶ ὁμοούσιον τριάδα καὶ πᾶν ζωοπάροχον πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν. — δέον οὖν ἡμῖν ἐστι τὸ παρὰ τῶν ἀρχαίων καὶ ἐναρέτων ἀνδρῶν ἀλληγορικῶς καὶ ποικίλως ἐμπιπλεγμένα ἀνασκευάσαι, καὶ τοὺς αὐτῶν σπινθῆρας ἐν τοῖς τῶν αὐτῶν συγγράμμασιν ἀναγυμνῶσαι, διὰ τῆς ἄνωθεν ἡμῖν χάριτος. ζητῆσαί τε καὶ ἀνακαλύψαι καὶ ἀναφάναι τὸ τοιοῦτον ἀποκεκρυμμένον μυστήριον. ἔλθω-

μεν οὖν ἐπὶ τὸ προκείμενον καὶ τὴν πρότασιν τῆς αἰτίων συντάξεως μετὰ νοερᾶς αἰσθήσεως ἀκροασάμενοι μάθωμεν, τί ἄρα βούλεται ὁ φιλόσοφος προφθέγξασθαι. εἰπὲ ὦ φιλόσοφε καὶ λάλει ἡμῖν τὰ κρείττονα, περὶ ὧν πᾶς ὁ τῶν ἀνθρώπων βίος ἐπείγεται, περὶ ὧν οἱ πολλοὶ ἀσκόπως ἐπιβαλλόμενοι, ἐματεοπόνησαν· λάλει ἡμῖν τὴν ἔμπειρον καὶ φλογώδη φλόγα, ἄρξαι τοῦ λόγου τὴν πρότασιν. ἀνακάλυπτε τὰ χαρίσματα· ζῶντι γὰρ θεῷ λατρεύομεν. ἀλλ' ὦ ἱερὰ ποίμνη καὶ σοφίας ἐρασταὶ οἱ τοῦτο εὑρεῖν βουλόμενοι τῇ πρὸς τὸν θεὸν ἐννοήσει διὰ τῆς τῶν ἀρετῶν ἐπικοσμήσεως ἐν ἑαυτοῖς ἀγωνιζεύθωσαν, καὶ τῇ πολλῇ ῥοῇ τῶν δακρύων ἑαυτὸν ἀρδευσάτωσαν. ἐν πίστει καὶ ταπεινοφροσύνῃ καὶ ἀγάπῃ θεοῦ στηριζόμενοι, ἵνα μηδὲν τῶν ἐνύλων ὑμᾶς ξενίσῃ ἢ θαυμάσῃ, πλὴν τοῦ ἀγαπήσαντος ἡμᾶς θεοῦ. ἀλλὰ τί φησιν ὁ φιλόσοφος, περὶ οὗ ὁ λόγος προτείνεται, οὐκ ἀποκρύφω ὑμῖν τῆς φύσεως τὴν ἀλήθειαν· ἓν τὸ πᾶν, δι' οὗ τὸ πᾶν. ἕν ἐστι τὸ ὅλον, καὶ τὸ ὅλον ἕν ἐστιν. μία φύσις ἀποτελοῦσα τὸ ζητούμενον, οὐκ ἐκ πολλῶν εἰδῶν συγκείμενον, ἀλλ' ἐκ μιᾶς τέχνης οἰκονομούμενον. ἓν οὖν τὸ πᾶν, δι' οὗ τὸ πᾶν. ἓν διὰ τί; ἵνα μὴ ἀκούσωσιν τί ὑμῖν καὶ τῇ πολλῇ ὕλῃ· ἑνὸς ὄντος τοῦ φυσικοῦ. ἓν δέ ἐστι τὸ ἀπ' αἰῶνος κεκρυμμένον μυστήριον. ἓν ἄτιμον καὶ πολύτιμον· ἄγνωστον πολλοῖς μὴ καταλαμβανόμενον, πολυώνυμον, μορφοποιόν, ἓν τὸ πᾶν δι' οὗ τὸ πᾶν ἐξ αὐτοῦ τὸ πᾶν. οὐκ ἐναντίαι φύσεις τὸ ὅλον συμπληροῦσαι, ἀλλὰ μία ἡ αὐτὴ ἐξ αὐτῆς οἰκονομικῶς συμπληρουμένη καὶ κολακευτικῶς φανερουμένη. ἓν τὸ ζητούμενον, οὐκ ἄλλο καὶ ἄλλο, ἀλλ' ἕν, αὐτὸ ἐξ αὐτοῦ γινόμενον καὶ πληθυνόμενον, καὶ πᾶσι θεωρούμενον καὶ γνωριζόμενον, οἰκονομεῖσθαι δὲ μὴ δυνάμενον καὶ διὰ τοῦτο τοῖς πᾶσι παρρυπτόμενον, παρὰ πολλῶν δὲ καταλαβέσθαι ὅλως μὴ δυνάμενον· ἓν τὸ πᾶν. μὴ πλανῶ ταῖς τῶν φωνῶν ἀλληγορίαις, μηδὲ ἀπατηθῇς ἐπὶ ταῖς συνθέσεσι τῶν ὑλῶν. εἰ δὲ ἤκουσας τοῦ φιλοσόφου λέγοντος· ἓν τὸν δι' οὗ τὸ πᾶν, νόησον τοῦ λόγου τὴν δύναμιν καὶ σκόπει τὸ βάθος τῆς νοήσεως. ἓν τὸ πᾶν δι' οὗ τὸ πᾶν. τί ὑμῖν καὶ τῇ πολλῇ

ὕλη, ἑνὸς ὄντος τοῦ φυσικοῦ καὶ μιᾶς φύσεως νικώσης τὸ πᾶν, ἑνὸς ὄντος τοῦ φυσικοῦ ἀληθινοῦ, ἑνὸς ὄντος τοῦ ἐγκεκρυμμένου καὶ ἐμφωλεύοντος, καὶ μιᾶς φύσεως τῆς κεκαλυμμένης ἐντεριώνος, ἐν ῇ κολακευομένη καὶ ἐξαγομένη νικᾷ τὸ πᾶν, μιᾶς φύσεως οὔσης καὶ νικώσης τὸ πᾶν. ἡ γὰρ φύσις τὴν φύσιν τέρπει, καὶ ἡ φύσις τὴν φύσιν νικᾷ, καὶ ἡ φύσις τὴν φύσιν κρατεῖ, οὐχ ἑτέρα φύσις καὶ ἑτέρα, ἀλλ' ἡ αὐτὴ μία ἐξ αὐτῆς δι' οἰκονομίας πνευματουμένη, καὶ μορφοῦσα τὰς οὐσίας, τέρπουσα καὶ εἰσκρίνουσα καὶ μένουσα· ἐκ μονάδος γὰρ ἄρχεται καὶ εἰς μονάδα καταλήγει τὴν τελείωσιν τοῦ ζητουμένου. ὧδε νόησον. πολλὰ γὰρ ὄντα ἓν λέγεται, ὁμοῦ καὶ θειότατον ὕδωρ μιᾶς φύσεως νικώσης τὸ πᾶν, οὐχὶ εἴδους, ἀλλὰ τέχνος μετὰ νοερᾶς ἐπιστήμης πολλοὺς διαλανθανούσης. ὦ τέχνη κατὰ νοερᾶς ἐπιστήμης πολλοὺς διαλανθάνουσα, ὦ φύσεις οὐρανίαι φύσεων δημιουργοί. τὴν ἀσώματον αἰνίττεται οὐσίαν. πάλιν ἐπὶ τὸ προκείμενον ἔρχεται. εἰ μὴ γὰρ τὴν ὕλην ἐξορφανίσεις, εἰ μὴ τὰ σώματα ἀσωματώσεις, εἰ μὴ διαφθορᾶς αὐτὰ ἀποτινάξεις καὶ διαλύσεις, τὸ ἐμφωλεῖον καὶ ἔμψυχογον οὐκ ἐξάξεις. εἰ μὴ οὗτος οἰκονομῶν ἀσωματώσεις, οὐ σωματώσεις καὶ μορφώσεις τὰς οὐσίας. ὦ φύσεις οὐράνιαι. καθαρὰ γὰρ καὶ ἄυλος ἡ ψυχὴ οὖσα καὶ εἰς σῶμα εἰσκρίνουσα διὰ τῆς ἄνωθεν σοφίας μορφοποιεῖ τὸ σῶμα ἐν αὐτῷ μένουσα καὶ διακρατοῦσα. ὦ φύσεις οὐράνιαι, θαύμασον τῶν οὐρανίων τὰς φύσεις ὡς ἀσωμάτους οὔσας. δεῖ οὖν ἐξορφανίσαι τὴν ὕλην καὶ τὸ λεπτομερὲς καὶ ἔμψυχον αὐτῆς ἐξεώσαντας, δι' αὐτῆς λοιπὸν ἀσωματῶσαι καὶ διακρατῆσαι καὶ μορφοποιῆσαι τὰ σώματα. δεῖ οὖν ἐξορφανίσαι τὴν ὕλην, ἵνα ἐπὶ τὸ ἔμψυχον μεταβῇ τελεσιουργούμενον. ὅρος φιλοσοφίας ἐστὶ κατάλυσις σώματος καὶ χωρισμὸς ψυχῆς ἀπὸ τοῦ σώματος. τοιοῦτόν τι παρόμοιον βούλεται εἶναι τοῦ παρακειμένου καὶ δηλωθησομένου τὸ ἴνδαλμα, κατάλυσις σώματος, διαφθορᾶς διαλυόμενον. καὶ χωρισμὸς ψυχῆς ἀπὸ σώματος γινόμενον. οὗτος ὁ τρόπος, αὕτη ἡ θεωρία τοῦ προκειμένου συντάγματος. ὦ φύσεις οὐράνιαι φύσεων δημιουργοί. φύσις ἡ αὐτὴ ἐξ ἑαυτῆς καλῶς οἰκονομουμένη καὶ ἀνακα-

λυπτομένη. οὐράνιαι δὲ αἱ ἀσώματοι οὐσίαι. εἰπέ, ὦ φιλόσοφε, φράσον ἡμῖν τῶν αἰνιγμάτων τὰς τοιαύτας παραβολάς. ἄνοιγε τὰς κλεῖς τῆς μυστικῆς σου ταύτης φωνῆς. εἰπὲ σαφῶς καὶ φανέρωσον, τίνες εἰσὶν αἱ οὐράνιαι αὗται φύσεις. καὶ διὰ τί καὶ πῶς οὐράνιαι κέκληνται. φανέρωσον ἡμῖν τὴν πολύχρωμον ἶριν. δεῖξον ἡμῖν διὰ νεφέλης τὸν πολύτιμον μαργαρίτην, εἰπὲ καὶ περὶ φύσεων οὐρανίων ἡμῖν ὁ λόγος. οὐράνιαι φύσεις εἰσὶν αἱ ἀσώματοι οὐσίαι. τί οὖν ἐστι τὸ ζητούμενον, εἰ μὴ ἡ ἐκ σώματος ἀσωμάτωσις. πῶς οὖν ἐνδέχεται ἀσωματῶσαι τὸ σῶμα· εἰ μὴ κατάλυσιν ποιῆσαι τοῦ σώματος διὰ τῆς νεκρώσεως καὶ χωρισμὸν ψυχῆς ἀπὸ σώματος. λέγε φανερώτατα καὶ φανέρωσον τὰ κεκρυμμένα. ἡ κατάλυσις τοῦ σώματός ἐστιν ἡ διὰ λειώσεως γινομένη. διὰ τί ταύτῃ κεχρήσει τῇ φωνῇ; διὰ τί; ἵνα τὸ ζητούμενον ἐξέλθῃ πνεῦμα, ἵνα τὸ βαπτικὸν εἰσκρίνῃ εἰς σῶμα, ἵνα ἡ τῆς φύσεως συγγένεια τέρπῃ τὴν φύσιν κρατοῦσα καὶ νικῶσα καὶ ἐν αὐτῇ μένουσα. πότε ταῦτα γίνεται; ὅτ' ἂν ἐκ τῶν κάτωθεν ἄνω τερπομένη ἀπωθῆται ὅλον τὸ γεῶδες. ὅτε πρὸ τούτου τὴν λεύκωσιν καὶ ξάνθωσιν, καὶ ἴωσιν καὶ μέλανσιν ἐνδείξηται. ὅτε ἐν τῇ λειώσει τῶν σωμάτων τὴν πολύϋλον τῶν βοτανῶν ὕλην ἐξανθίσηται· ὅτ' ἂν τῶν μεταλλικῶν διὰ τοιαύτης τέχνης ὑποστήσῃ τὰ χρώματα· ὅτε καὶ τὴν διὰ τοῦ ὕδατος ἄρσιν ἔναυλον ποιήσῃς τὸ σύνθεμα, ὅτε ταῖς ὀπτήσεσι θεάσῃ ἀνασπωμένην τὴν αἰθάλην καὶ οὕτως ὡς διὰ νεφέλης φερομένην. οὐ γὰρ δύναται ἡ ἀσώματος οὐσία εἰ μὴ τοῖς ἄνω προσομιλήσει. ἀνωφερὴς γὰρ οὖσα καὶ μετάρσιος οἰκειοῦται πρὸς τὸ ὅμοιον, φιλοῦσαι καὶ φιλουμένη τέρπουσα καὶ τερπομένη, καὶ ἐκλαμπρύνουσα, ἐὰν οὖν ἀκούσῃς ἑνὸς ὄντος τοῦ φυσικοῦ, καὶ μιᾶς φύσεως νικώσῃς τὸ πᾶν, τὸ ἓν καὶ τὴν μίαν σύνθετον νόμιζε. καὶ ποτὲ μὲν λέγεις ἓν τὸ πᾶν. τοῦτο δὲ τὸ ἕν. καὶ τὴν μίαν σύνθετον νόμιζε. τέχνη μὲν αὐτὴ μία ἐν τῇ συνθέτῳ οἰκονομίᾳ, ὥσπερ τὸ κρᾶμα ψυχῆς καὶ σώματος. τοῦτον αὐτὸν τὸν τρόπον δεῖξει ἕνα τὸν ἀποτελεσθέντα ἄνθρωπον, ἐκ ψυχῆς καὶ σώματος ἀποδεδεῖχθαι, καὶ εἰς ἕνα τελειούμενον, σύνθετος δὲ ἡ φύσις, ὅτε τὸ ἀσώματον σώματι εἰσκρίνηται καὶ δια-

κρατήσῃ καὶ μείνῃ. ἡ γὰρ ποιότης μόνη διαβᾶσα ἐποίησεν τὸ ζητούμενον. τί ἐστι διαβᾶσα; ἡ ἔνδοθεν διὰ κολακείας ἐξαγομένη, καὶ μετὰ τέχνης φανερουμένη καὶ ἀνακαλυπτομένη καὶ θεωρουμένη. τί ἐστιν αὕτη; ἡ λευκὴ καὶ ἡ καθαρὰ σελήνη· ἐποίησέ φησι τὸ ζητούμενον ἐπὶ ὄρος ἓν καὶ ἀπεκατέστησε καὶ ἐτελείωσε τὸ ἔργον. τί ἐστιν ἡ σεληνοειδὴς καὶ καθαρὰ αὕτη; εἰπέ, ἀνακάλυπτε τὸ κάλλος, καὶ δεῖξον αὐτῆς τὴν εὐμορφίαν. ἡ αἰθάλη ἐστὶν ἡ διὰ τοῦ θείου ὕδατος καλῶς ἀποσμηχομένη καὶ ἀποπλυνομένη. καλῶς εἶπεν αἰθάλη ὡς θάλλουσα καὶ ἀνανεοῦσα καὶ ὡραΐζουσα. φησὶ γάρ, οὐδὲν ὑπολέλειπται, οὐδὲν ὑστερεῖ πλὴν τῆς νεφέλης καὶ τοῦ ὕδατος ἡ ἄρσις· πάλιν ἐφαρμόζει τὰ ὄργανα, πάλιν ἡ συνημμένη τῇ διεζευγμένη συμπλέκεται, καὶ τῶν ὑδάτων τὰ χρυσόρειθρα νάματα ἀναφέρεται· οὐδὲν ὑπολείπεται οὐδὲ ὑστερεῖ, τὸ ἔργον διὰ τῆς οἰκονομίας ἐτελειώθη πλὴν τῆς νεφέλης ποίας νεφέλης; τῆς ἄνω ἀναφερομένης αἰθάλης τῆς δι' ὑγρότητος συμπλεκομένης καὶ αἰθαλουμένης ἐπὶ τοῖς προαναφθεῖσιν· μεταβήσομαι τῶν λόγων. μηδεὶς ἀδιάκριτος ἐνθάδε εἰςίτω, μηδεὶς ἄνευ ἀρετῆς ἐγκύψῃ ἐνθάδε, λίθον τὸν πᾶσι γνωστὸν καὶ ἄγνωστον, τὸν ἄτιμον καὶ πολύτιμον. τίς οὗτος ὁ πᾶσι γνωστὸς καὶ ἄγνωστος λίθος, καὶ ποτὲ μὲν ἄτιμος, ποτὲ δὲ ἔντιμος. ἐκ μετάλλου βούλεται τὴν οἰκονομίαν ποιεῖσθαι. ἆρα ποῖός ἐστιν οὗτος ὁ λίθος; οὐκ ἀποκρύψω ὑμῖν τῶν τοιούτων μυστηρίων τὴν γνῶσιν. εἰς μέσον προάξω τὸ ζητούμενον καὶ δείξω ὑμῖν τῆς τοιαύτης κατασκευῆς τὴν ἀρχήν. μάχου ♀ μάχου ☽ ζεῦξον ἄρρενα καὶ θήλειαν τουτέστι ♀ τὸν πυρρὸν εἴσκρινον καὶ κατάβαψον ἰὸν ὡ☉. ὁποῖον; τουτέστιν ἡ σῆψις τῆς Ἴσιδος, μέταλλα καὶ θαυμαστὰ ποιεῖ, μάχου ♀ χεμοὶ βοήθει ἡ μάχη ἐστὶν ἀντίστασις καὶ ἀντίθεσις, νικῶσα καὶ διαφθείρουσα καὶ ἀπολλοῦσα, πάλιν ἐπὶ τὸ προκείμενον μετέρχεται ἀνακεφαλαιῶν τὸν λόγον. μάχου ♀ μάχου ☽ ὁ ♀ διὰ τῆς σελήνης μαχόμενος φθείρεται, ἡ σελήνη διὰ τοῦ ♀ συμπλεκομένη πήγνυται, μάχου ♀ μάχου ☽ φθεῖρον τὸ σῶμα τοῦ ♀ καὶ ἀσωμάτωσον διὰ τῆς ☽ λείωσιν τελείως εἰς φθορὰν τὴν τέχνην καὶ ζεῦρον ἄρρενα καὶ θήλειαν.

εἴ τις γὰρ ξανθώσει κατὰ πνεῦμα τοῦτο τὸ σῶμα καὶ τὴν ἐνάρετον αὐτοῦ φύσιν κατὰ τέχνην κολακεύσας ἐξάξει, βάπτει πᾶν σῶμα, καὶ εἴ τις νεκρώσας τὸ σῶμα καὶ διαλύσας κατὰ πνεῦμα διὰ τῆς αἰθάλης ξανθώσει βάπτει πᾶν σῶμα. πνευματοῦται γὰρ τουτέστι τὸ σῶμα ἐπὶ τοσοῦτον λεπτυνόμενον καὶ δαπανώμενον, ὥστε καὶ ἐκ φυλακῆς τοῦ σώματος ἡ ψυχὴ βίᾳ χωρίζεται τῆς ὕλης ἀποκαθαριζομένη ἔμψυχος καὶ φωτιστικὴ τοῦ σώματος οὖσα κατὰ κέλευσιν θεοῦ τοῦ ταύτην κτίσαντος. ἢ οὐκ ἤκουσας τοῦ φιλοσόφου λέγοντος· λαβὼν ☽ πῆξον τῷ τῆς μαγνησίας σώματι· τί βούλεται τοῦτο εἶναι. ὧδε ὅλον τὸ σύνθεμα λέγει τὴν διὰ ☽ καὶ σώματος μιγνυμένην καὶ καλῶς ὀθοὺν οἰκονομουμένην. τούτῳ τῷ τρόπῳ μίξαντας συλλειοῦν τὸ σῶμα, καὶ καλῶς οἰκονομήσαντας αἰθαλῶσαι καὶ ξανθῶσαι κατὰ πνεῦμα. εἴτις γὰρ τὴν ἐν τῷ σώματι ἐνάρετον φύσιν ἔνδον ἐμφωλεύουσαν κατὰ τέχνην κολακεύσας ἐξάξει, βάπτει πᾶν σῶμα. τί ἐστιν ἔνδον; εἰ μὴ τὸ ψυχικὸν πνεῦμα τὸ περιέχον καὶ διακρατοῦν τὸ σῶμα καὶ μορφοποιοῦν. πῶς οὖν ἐμφωλεύει; ἐν μέρει τινὶ ἢ ἐν ὅλῳ; ἐμφωλεύει βάθει τοῦ σώματος. καὶ διὰ τί ἐν τῷ βάθει; διὰ τὴν σκιὰν τῆς ὕλης. καὶ τίς αὐτοῦ ἡ ἐνάρετος φύσις; ἡ καθαρὰ καὶ ἀμίαντος, ἡ πᾶσαν τὴν τῶν σωμάτων σκιὰν ἀπελαύνουσα καὶ ἀποδιώκουσα. πῶς οὖν κολακεύσας ἐξάξοιμι; ποίῳ τρόπῳ αὐτῇ χρήσομαι. πῶς μετέλθω ἐπὶ τοῖς κολακεύμασι; πῶς μοι παρακολουθήσει τὸ πρᾶγμα; ποίοις εἴδεσι χρήσομαι, ἵνα μετεωρίσας τὴν ἐνάρετον αὐτῆς φύσιν ἐξάξω; λαβὼν σελήνην πῆξον, σώματι οὐδενὶ ἐπὶ τούτου κέχρηνται πλὴν τῆς ☽. εἰώθασι γὰρ βαλεῖν τὸ ὅλον σύνθεμα. τὸ δι' ἄρρενος καὶ θήλεως ἐκπληρούμενον ἔργον. εἰ δὲ λέγεις τὸ ὅλον σύνθεμα, δεῖξον ταύτην ἡμῖν· ἔστιν ἡ ἐν τῷ σώματι μιγνυμένη καὶ συλλειουμένη ☽. ἡ διὰ νεφέλης καὶ τῆς αἰθάλης συμπληρουμένη, αὕτη κατὰ λόγον οἰκονομουμένη τὴν ἐναίρετον ἔνδον ἐμφωλεύουσαν ἀνακαλεῖται φύσιν, βάπτουσαν πᾶν σῶμα τὸν ♀ λευκαίνουσαν, καὶ τὸν ☿ ἄτριστον ποιοῦσαν καὶ τὰ ἑξῆς. εἴ τις οὖν οὕτως καλῶς διασκεψάμενος, οἰκονομήσει καὶ ποιήσει, καὶ τὴν ἐνάρετον αὐτοῦ φύσιν τὴν ἔνδον ἐμφωλεύουσαν

κολακεύσας ἐξάξει, βάπτει πᾶν σῶμα, μέγα ἐν τούτοις μυστήριον εἴληφεν, καὶ παράδοξα θεωρῶν γινόμενα, θαυμάσας ὑμνήσει θεὸν παντοκράτορα πατέρα, ἅμα τῆς παντοδυνάμου αὐτοῦ σοφίας, σὺν τῷ ζωοποιῷ πνεύματι. αὐτὸς γὰρ ὁ παντέλειος καὶ ὑπεράρχιος τοῦ θεοῦ λόγος, ἐνὶ φέρων πάντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ, φωτίσειεν ὑμῶν τὸν νοῦν καὶ τὰς καρδίας καὶ διὰ τῆς ἀγάπης αὐτοῦ οἰκειωθῆναι, καὶ ἑνωθῆναι τῷ ἀληθινῷ φωτὶ τῆς αὐτοῦ θεογνωσίας, ἵνα διὰ τοῦ ἀληθινοῦ φωτὸς καταυγαζόμενοι, δυνηθείημεν τὴν τῶν ὄντων γνῶσιν καταλαβεῖν καὶ θεάσασθαι τὰ ἔργα τοῦ θεοῦ τῶν ὅλων, ὅπως δοξάζηται τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ἅγιον ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

---

## Τοῦ αὐτοῦ Στεφάνου φιλοσόφου εἰς τὸ κατ' ἐνέργειαν τῆς θείας τέχνης πρᾶξις σὺν θεῷ ϛ'.

---

Τίς μακάριος καὶ συνήσει τὰ κρίματα τοῦ παντοκράτορος θεοῦ; τίς σοφὸς καὶ συνετὸς καὶ διηγήσεσαι τὴν ὑπεράβυσσον σοφίαν τοῦ δημουργοῦ τῶν ὅλων; τίς εὔμοιρος καὶ κατανοήσει τὰς δυναστείας τοῦ παντεπόπτου καὶ καθολικοῦ θεοῦ, καὶ δοξάσειε τὴν ὑπεράγαθον αὐτοῦ ἀγαθότητα; ἐμοὶ μὲν ῥαδίως καὶ ἀπτώτως καὶ εὐχερῶς ὁμιλεῖν εὔδηλόν ἐστιν καὶ τὰς γρίφους ἐννοίας τῶν προγενεστέρων ἐμφανῶς τὰς πεύσεις ποιοῦμαι, συνεργοῦντος τοῦ παντοκράτορος θεοῦ. ὑμῖν δὲ ἔοικεν ὡς ἐπίφροσιν ἀναχαιτίσασθαι καὶ σφετερίζειν τὰ ὑπὸ πολλῶν σοφῶν ἱδρυμένα καὶ καταντῆσαι τὰς ἐκείνων ἐννοίας, καὶ οὕτως πρὸς τὸ βραχύτατόν μου πόνημα ἀπιέναι, αἰτούμενοι τὸν μόνον ἀληθινὸν θεὸν ἡμῶν, ἵνα ὑμῶν φωτίσῃ τὸ τῆς διανοίας ὄμμα, καὶ καταυγάσῃ τῷ ἀΰλῳ αὐτοῦ φωτὶ τὰς καρδίας ἡμῶν πρὸς τὸ εἰδέναι τὰς δυναστείας τοῦ παν-

τοκράτορος θεοῦ καὶ τῆς δόξης αὐτοῦ, ἧς ἐγγένητο ἡμᾶς ἐν καθαρᾷ ἐπιτυχεῖν καρδίᾳ καὶ ὑμνεῖν τὰ μεγαλεῖα τοῦ θεοῦ τῶν ὅλων καὶ δοξάζειν τὸ πανάγιον καὶ μεγαλοπρεπὲς ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς ἀπεράντους τῶν αἰώνων, ἀμήν. — Ἥκωμεν ἐπὶ τὸ προκείμενον καὶ μάθωμεν τί βούλονται οἱ φιλόσοφοι, περὶ ὧν ὁ λόγος ἡμῖν πεπραγμάτευται κεκαλυμμένην φέρων τὴν ῥῆσιν διὰ τὸ πολλοὺς εἰς γυμνασίαν προτρέψασθαι βουλόμενοι, καί φασι περὶ τῶν θειωδῶν καὶ οὐσιῶν· „τὰ θειώδη ὑπὸ τῶν θειωδῶν κρατοῦνται καὶ τὰ ἑξῆς·" ἀσθενείη τοίνυν ὁ ἔμφρων νοῦς περὶ τῶν οὐσιῶν καὶ γενῶν καὶ θειωδῶν καὶ τῶν φύσεων. καὶ ἅπερ εἰσὶ ταῦτα τὰ τέσσαρα στοιχεῖα ἅπερ ὁ θεὸς καὶ οὐκ ἄνθρωπος ἔθετο στοιχειώσας καὶ ἑνώσας πρὸς ἄλληλα. τῇδε γὰρ ἀπρακτέον περί τε ποιότητος αὐτῶν καὶ συγκράσεως καὶ ἑνώσεως, καθὼς καὶ ἐν τῷ ἀνθρώπῳ πεποίηνται. ἑνωθέντα οὖν, καθὼς καὶ ἐν τῷ ἀνθρώπῳ ἡ ἱερὰ καὶ θεία τέχνη τῶν φιλοσόφων, ἰσοτρόπως συνίσταται εἰς μὲν ἀέρος τὸ αἷμα θερμὸν καὶ ὑγρὸν ἔοικε τῇ ☽. ὑπάρχει γὰρ θερμὴ καὶ ὑγρά· ἐκ δὲ πυρὸς ἡ ξανθὴ χολὴ θερμὴ καὶ ξηρὰ ἔοικε τῷ ♀ ὑπάρχοντι θερμῷ καὶ ξηρῷ. καὶ ἐκ μὲν γῆς ἡ μέλαινα χολὴ ἔοικε τῇ σκορίᾳ τῶν ἄμφω. ὑπάρχει γὰρ ξηρὰ καὶ ψυχρά. ἐκ δὲ ὕδατος τὸ φλέγμα ψυχρὸν καὶ ὑγρὸν ἔοικε τῷ ἀνερχομένῳ ὕδατι ⊙ ὅπερ ἐστὶν αἱ ψυχραὶ τοῦ ♀. ὑπάρχει γὰρ ψυχρὸν καὶ ὑγρόν. ταῦτα οὖν τὰ τέσσαρα στοιχεῖα ἐναντία ὄντα οὐ δύνανται ἑνωθῆναι ὅλως εἰς ἄλληλα, εἰ μὴ διά τινος μεσιτεύοντος ἔχοντος τῶν δύο ἄκρων τὰς ποιότητας, οἷον τὸ πῦρ ☽ ἑνοῦται τῷ ὕδατι διὰ τῆς γῆς, ἤγουν τῆς σκορίας. ὥσπερ τὸ αἷμα ἑνοῦται τῷ φλέγματι διὰ τῆς μελαίνης χολῆς, ἥτις ἐστὶν πρώτη κλεὶς καὶ χωρισμὸς τῶν ὑγρῶν ἐκ τῶν ξηρῶν, τουτέστι χωρισμὸς τῶν ψυχῶν τοῦ ♀ ἐκ τῶν σωμάτων ἤγουν τῆς σελήνης, καὶ τὸ ὕδωρ ἑνοῦται τῷ πυρὶ ☽ διὰ τοῦ ἀέρος ♀ ἤγουν τὸ ἐξερχόμενον ὕδωρ ἑνοῦται τῷ πυρί. ☽ διὰ τοῦ ἀέρος ♀. ἤγουν τὸ ἐξερχόμενον ὕδωρ ἑνοῦται τῷ πυρὶ ☽ διὰ τοῦ ♀, ὥσπερ τὸ φλέγμα ἑνοῦται τῷ φλέγματι διὰ τῆς ξανθῆς χολῆς, ἥτις ἐστὶν ἀνάκαμψις τῶν ὑγρῶν, ἤγουν

τῶν ψυχρῶν, μετὰ τῶν ξηρῶν ἤγουν τῶν σωμάτων, ὅπερ ἐστὶν ἕνωσις καὶ μῖξις τῶν ἄνω μετὰ τῶν κάτω. καὶ ἡ γῆ ἤγουν ἡ σκορία ἑνοῦται τῷ ἀέρι ☉ διὰ τοῦ πυρὸς ☽ ἤγουν ἡ σκορία..... πυρός, ἤγουν διὰ τῆς ☽, ὥσπερ ἡ μέλαινα χολὴ ἑνοῦται τῇ ξανθῇ χολῇ διὰ τοῦ αἵματος, ἥτις ἐστὶ δευτέρα κλεὶς διαχώσεως τῆς σηπίας, ὅπως ἑνωθῇ ἡ σκορία τῷ θείῳ ὕδατι διὰ τοῦ πυρός, ἤγουν διὰ τῆς ☽. καὶ ὁ ἀὴρ ☉ ἑνοῦται τῇ γῇ, ἤγουν τῇ σκορίᾳ διὰ τοῦ φλέγματος, ἥτις ἐστὶ τρίτη κλείς, ἕνωσις τοῦ ἀέρος μετὰ τῆς γῆς, ἤγουν λυομένης διὰ τῆς σήψεως καὶ ἑψήσεως τουτέστι τῶν ἑπτὰ ἀνακάμψεων, καὶ γινομένης ὕδωρ, καὶ ἑνουμένων πάντων ἐν τῷ ἅμα ἤγουν γενομένων ἐν τῇ ☉. εἶτα τούτων οὕτως ἐχόντων, τὸ μὲν πῦρ πάλιν θερμὸν καὶ ξηρὸν ὑπάρχον γεννᾷ τὸ θερμὸν τοῦ ἀέρος καὶ τὸ ξηρὸν τῆς γῆς, ὥστε δύο ποιότητας ἔχον γίνεται τρίστοιχον. καὶ τὰ ἕτερα δύο στοιχεῖα ἅπερ κατέχει, ὡσαύτως δὲ καὶ τὸ ὕδωρ ὑγρὸν καὶ ψυχρὸν ὑπάρχον γεννᾷ τὸ ὑγρὸν τοῦ ἀέρος καὶ τὸ ψυχρὸν τῆς γῆς, ὥστε δύο ποιότητας ἔχον γίνεται τρίστοιχον. οὕτως δὲ καὶ ἡ γῆ ψυχρὰ καὶ ξηρὰ ὑπάρχουσα, γεννᾷ τὸ ψυχρὸν τοῦ ὕδατος καὶ τὸ ξηρὸν τοῦ πυρός, ὥστε δύο ποιότητος ἔχουσα γίνεται τρίστοιχος. ὡσαύτως δὲ καὶ ὁ ἀὴρ θερμὸς καὶ ὑγρὸς ὑπάρχων, γεννᾷ τὸ θερμὸν τοῦ πυρὸς καὶ τὸ ὑγρὸν τοῦ ὕδατος, ὥστε δύο ποιότητας ἔχον γίνεται τρίστοιχος. συναγόμενα οὖν πάντα γίνονται δώδεκα ἐν τέσσαρσι τριαδικῶς, ὥστε οὖν δωδεκάπυργος ὑπάρχουσα ἡ μῶν ἡ ἱερὰ τέχνη, τροπῶν τεσσάρων ἀνὰ τριῶν πύργων, δωδεκάζωδος λέγεται εἶναι ἀνακυκλουμένη τὰς τροπὰς οὕτως· ἤγουν ἐαρινῆς, κριός, ταῦρος, δίδυμοι· θερινῆς, καρκίνος, λέων, παρθένος, γῆ μεθοπωρινῆς, ζυγός, σκορπίος, τοξότης ὕδωρ· χειμερινῆς, αἰγόκερως, ὑδροχόος, ἰχθύες. ἅπερ συναγόμενα ὁμοῦ γίνονται τροπαὶ τέσσαρες, ἐαρινή, θερινή, μεθοπωρινή, χειμερινή, ἤγουν τέσσαρα στοιχεῖα ἀέρος, πυρός, ὕδατος, γῆς. ὡσαύτως πάλιν ἔχει τὰ σώματα καὶ τὰ χρώματα τῶν ἑπτὰ ἀστέρων τῶν λεγομένων πλανήτων τῶν αὐτῶν εἰδῶν τε καὶ σχημάτων, ἅπερ εἰσὶ τὰ ἑπτὰ σώματα καὶ τὰ χρώματα τοῦ αὐτοῦ συνθέματος. ἅπερ

γίνονται μετὰ τὴν τάξιν τῶν ἑπτὰ ἀστέρων. ὥσπερ γὰρ οὗτοι οἱ ἑπτὰ ἀστέρες ἤγουν οἱ πλανῆται εἰσερχόμενοι ἐν τοῖς ἀπλανέσι δωδεκαζωδίοις καὶ ἐξερχόμενοι φαίνονται μὲν γινόμενοι καὶ ἀπορινόμενοι, οὕτως καὶ ταῦτα τὰ ἑπτὰ σώματα καὶ τὰ χρώματα φαινόμενα μὲν γίνονται καὶ ἀπογίνονται ἐν τῷ αὐτῷ συνθήματι τῷ ἐκ τεσσάρων στοιχείων ἐκτεθέντι, ὡς διὰ τῶν ἑπτὰ ἀστέρων τῶν λεγομένων πλανήτων, καὶ δώδεκα ἀπλανῶν ζωδίων τελεῖται τὸ τῶν φιλοσόφων ἀτρεκέστατον μυστήριον, ὅπερ κέκληται παρ' αὐτοῖς — — — — — — τῶν φιλοσόφων ὅπερ καθαρῶς ἔφησαν. ἀλλ' ὁ νοῦς τοῦ προφήτου ἐφεύρατο ὅστις ὑπάρχει οὕτως. ἐκ μὲν ποδῶν ἕως τῶν γονάτων τὸ τῆς γῆς στοιχεῖον ὑπάρχει καί ἐστι λευκὸν ὡσεὶ χιών, ἐκ δὲ τῶν γονάτων ἕως τοῦ ὀμφαλοῦ τὸ τοῦ ὕδατος στοιχεῖον ὑπάρχει τοῦ κατοχίμου καί ἐστι τηλαυγὲς καὶ διαυγὲς τῷ τε εἴδει καὶ τῇ θεωρίᾳ καὶ ἐκ τοῦ ὀμφαλοῦ ἕως τῆς καρδίας τὸ τοῦ πυρὸς στοιχεῖον ὑπάρχει τοῦ κατοχίμου, καί ἐστι ξανθὸν καὶ διάπυρον ὡς τὸ πῦρ, καὶ ἐκ τῆς καρδίας ἕως τοῦ αὐχένος τὸ τοῦ ἀέρος στοιχεῖον ὑπάρχει καί ἐστι κροκῶδες. τούτων οὕτως ἐχόντων καθὼς προείρηται, τὸ μὲν πῦρ θερμὸν καὶ ξηρόν, ἡ δὲ γῆ ψυχρὰ καὶ ξηρά, καὶ τὸ μὲν ὕδωρ αὖθις ψυχρὸν καὶ ὑγρόν, ὁ δὲ ἀὴρ θερμὸς καὶ ὑγρός. εἶτα μετὰ τὸ ἑνωθῆναι ταῦτα τὰ τέσσαρα στοιχεῖα εὐάλληλα, γίνεται ἐξ αὐτῶν ἄσβεστος καὶ κονία ἤγουν τῶν φιλοσόφων, ἵνα ὅπως ὁλοτελῶς τε καὶ ὁλοσχερῶς ἑνωθῶσιν κατὰ ἄκραν ἕνωσιν λευκαινόμενα, δηλονότι διὰ τοῦ ἑνὸς μεσιτεύοντος, ἀποβάλλοντα τὴν ἐν αὐτοῖς οὖσαν μελανίαν τε καὶ σκότωσιν. καὶ ταῦτα μὲν οὕτως. κατανόησον δὲ πάλιν ὅτι διὰ μακροῦ τοῦ χρόνου λευκαίνεται ὁ λευκόλινος καὶ ὁ λῖνος. πῶς οὐκ ἀποκάμνουσιν οἱ λευκαίνοντες αὐτόν, οὐδὲ ἀκηδιῶσιν οἰκονομοῦντος. οὕτως οὖν καὶ σύ, ὦ φίλτατε, ποίει. λευκαίνων καὶ ἀποσμήχων τὰ εἴδη τῆς τέχνης διὰ μακροῦ τοῦ χρόνου, καὶ μὴ ἐκκακήσῃς μηδ' αὖ ἀποκάμῃς ἐργαζόμενος καὶ οἰκονομῶν, ἄχρις ἂν λευκανθῶσιν ὡς αὐτὴ ἡ χιών. τούτων δὲ οὕτως ἐχόντων, προσέχετε, ὦ συνετοὶ καὶ σοφοὶ μετὰ πολλῆς ἀκριβείας καὶ νήψεως τοῦ τοῖς ὑφ' ἡμῶν λεγομένοις, καὶ μὴ

εἰς πολλὰ καὶ ἀνωφελῆ καὶ μάταια ἀπασχοληθῆτε, ἐξ ὧν οὐκ ἔστιν ὄφελος, ἀλλὰ μᾶλλον βλάβη καὶ ζημία καὶ θλίψις· ἡ γὰρ ἱερὰ καὶ θεία τέχνη τῶν φιλοσόφων ἐξ ἑνὸς εἴδους συνίσταται καὶ τελεσιουργεῖται τοιούτῳ τρόπῳ, θείως τε καὶ εὐπρεπῶς. εἰ γὰρ ποιήσεις τὰ σώματα ἀσώματα καὶ τὰ ἀσώματα σώματα, μεγάλως καὶ εὐπαραγώγως καὶ θαυμασίως ἐργάσῃ, ἐπιτευξόμενος δηλονότι τῆς ἐφέσεως δι' ὧν στενούμενος τετραστοίχῳ σώματι τριαδικῇ οἰκονομίᾳ δωδεκαδιζωδιακῇ τροπῶν κινήσει, ἑπτὰ δή τ' ἀστέρων λεγομένων πλανήτων, σώμασί τε καὶ εἴδεσι καὶ θεωρίαις, μοναδικῇ τινι ἑνιαίᾳ ἄκρᾳ ἑνώσει, δοξάσεις τὸν ἐν τριάδι καὶ μονάδι υἱὸν λόγον θεὸν τὸν ἐκ τεσσάρων στοιχείων τὸν ἅπαντα κόσμον τελεσιουργήσαντα πανσόφως καὶ εὐπρεπῶς, καὶ τέτρασι τροπαῖς κοσμήσαντα τὸν κύκλον τοῦ ἐνιαυτοῦ. καὶ μετὰ τοὺς ἑπτὰ αἰῶνας εἰσάξοντα τοὺς ἀξίως πολιτευσαμένους εἰς τὴν αὐτοῦ κατάπαυσιν ἐν τῇ τῶν οὐρανῶν ἀλήκτῳ βασιλείᾳ ὑμνοῦντας τὸ τῆς τριάδος ἑνιαῖον καὶ ἀκατάληπτον φῶς ἐν πατρὶ καὶ υἱῷ καὶ ἁγίῳ πνεύματι νῦν καὶ ἀεὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

---

## *Τοῦ αὐτοῦ Στεφάνου φιλοσόφου πρᾶξις σὺν θεῷ ϛ'.*

---

Τὰ ἄτομα καὶ ἀμερῆ σώματα ἐν εἰδικωτάτοις σχήμασι τὴν ὁμοιογενῆ φέροντα σύνοψιν (καθ' ὧν αὐτῆς ἡ τῶν ὁρατῶν φύσις περιέχει ὅλας τὰς τῆς οὐσίας ὥσπερ ὁρίζει ἐκφανεῖς) ἄτομα οὖν τὰ τοιαῦτα λέγεται, ἐπειδὴ ἐξ ἰδιοτήτων συνέστηκε καὶ τὰ τριχῆ διαστατά, ἔκ τε μήκους καὶ πλάτους καὶ βάθους συνιστάμενα, στερεά τε παντοῖα σώματα, καὶ ἵνα οὕτως εἴπω τῶν στοιχείων αὐτῶν, ἢ ἐκ πυρὸς καὶ ὕδατος, ἀέρος τε καὶ γῆς. καὶ τούτων αἱ ἄκραι ποιότητες, πρὸς ἄλληλα μὲν αὐτῶν τῇ οἰκειότητι ὡς φίλα διακρατούμενα, πᾶσαν τὴν τοῦ παντὸς φύσιν διασώζουσιν· ἕκαστον γὰρ τῶν στοιχείων ὡς ἐν τόπῳ θέλει εἶναι

προσεχῶς εἰδικώτερον αὐτοῦ. ἀεὶ γὰρ τὰ εἰδικώτερα τόποι γίνονται τῶν ὑλικωτέρων. τὰ γὰρ λεπτότερα εἴδους λόγον ἔχει πρὸς τὰ παχύτερα, τὰ δὲ παχύτερα πρὸς τὰ λεπτότερα ὕλης τόπον ἔχει. τὰ δὲ πάντα εἰσὶ μέρη. τὸ δὲ εἶδος ἐν τοῖς μέρεσιν ἐπιγίνεται, ἀλλὰ τὸ ὅλον εἶδος καὶ ἡ ὕλη μέρη ἐστὶ τοῦ συναμφοτέρου. τὰ δὲ αὐτῶν μέρη συνεχῶς ἔχει πρὸς ἄλληλα. δύο γάρ εἰσι τὰ ὑλικὰ καὶ αἴτια πάντων, ἡ ἀναφερομένη ἀτμίς, καὶ ἡ τῶν ξηρῶν καπνώδης ἀναθυμίασις, ἥτις καὶ προκειμένων ἐστὶν αἰτία παθῶν. ἔστι μὲν ἀτμὶς ὕλη ἀέρος, ὁ δὲ κάπνος ὕλη πυρός. καὶ ἐπὶ μὲν ἴριδος, ἐκ νέφους ἡ ἀνάκλασις, ὅσον οὔπω μεταβληθέντος εἰς ὕδωρ. ἐπὶ δὲ τῆς ἄλλης ἐκ παχυτέρας ἀτμίδος ἀέρος ἀποδεικτικῆς τῶν ἐν τοῖς μετεώροις συνισταμένων, εἴτε ἐκ τῶν ὑγρῶν σωμάτων ἐστὶ τὸ δεικνύναι, ποῖα ποίοις ὑπάρχει, καὶ ἐκ τῶν καθολικωτέρων κατασκευάζειν τὰ μερικώτερα, ὥστε ἔδει καὶ τὴν βασιλεύουσαν τῶν μαθηματικῶν ἐπιστημῶν τῷ τελείῳ κεκοσμῆσθαι ἀριθμῷ. ἐχρῆν γὰρ εἶναι ἓξ τοὺς ἀριθμούς. ἐχρῆν δὲ καὶ τέσσαρας τὰς τούτων διαφορὰς ἀπό τε τοῦ ὑποκειμένου καὶ ἀπὸ τοῦ τέλους καὶ ἀπὸ τῆς ὑπεροχῆς καὶ ἀπὸ τῆς ἐτυμολογίας. ἑδραῖα γὰρ τὰ τετράγωνα· τὰ γὰρ τρίγωνα καὶ πεντάγωνα εὐκινητότερά εἰσι τοῦ τετραγώνου. διὰ τοῦτο τὸ τετράγωνον ἑδραῖον. ἐννέα δὲ ἐκλήθη ὡς ἓν ὤν. μόνος γὰρ ὁ ἐννέα τῶν πρὸ τῆς δεκάδος ἀριθμῶν ἐφ' ἑαυτὸν πολυπλασιαζόμενος εἰς μονάδα καταντᾷ. πολλὴν οὖν συγγένειαν ἔχει τῶν θεωρημάτων, μάλιστα τοῦ θεοῦ πρὸς φιλόσοφον ψυχήν. τί γάρ ἐστι φιλοσοφία, ἀλλ' ἡ ὁμοίωσις θεῷ κατὰ τὸ δυνατὸν ἀνθρώπῳ. τρισὶ γὰρ τούτοις δεῖ τὴν φιλόσοφον ψυχὴν χαρακτηρίζεσθαι, τῷ τε ἀγαθῷ καὶ τῷ γνωστικῷ καὶ δυνατῷ. τότε γὰρ ὁ τοιοῦτος θεωρητικὸς ὢν καὶ καταληπτικὸς τῶν τῆς φύσεως πραγμάτων, ἀνακρίνει πάντων τὰς θεωρίας, πᾶσαν μὲν ἐξετάζων φύσιν καὶ ἀναλόγως αὐτῶν συγκιρνῶν τὴν σύγκρασιν, τάς τε ἐμπλοκὰς καὶ μυρίας αὐτῶν συνθέσεις νοητικῶς ἀναλύων, καὶ τὴν εἰρημένην ἐντέχνως κατασκευάζει περιπλοκήν, καὶ εἰς ἑνοειδῆ μονάδα περισυνάγει τὴν σύναψιν. εἴσεται δὲ σαφῶς ἐν αὐταῖς τὴν θεωρητικὴν καὶ διαγνω-

στικὴν ἀκρίβειαν. αἱ γὰρ τῶν σωμάτων ποικιλόχρως ἐξανθήσεις, σημαίνουσι τὰς τῶν ἐν βάθει καλῶς διηγουμένων πληρώσεις, ἀλλὰ καὶ τῶν μετάλλων ἡ ἀτμώδης αὕτη ἐκ γῆς ἀναθυμίασις, τῷ αὐτῷ τούτῳ οἶδεν ἐξομοιοῦσθαι, καὶ ἵνα μὴ τὰς τούτων θεωρίας παραδράμωμεν, φέρε λοιπὸν καὶ τὴν τῶν μεγίστων πραγμάτων παιδεύτριαν ἐξιχνεύσαντες, αὐτῆς τὰς πρακτικὰς θεωρίας ἐπὶ τὴν ἀπεμφαίνουσαν ἀνακύψαντες, ἐξετάσωμεν τῆς σοφωτάτης ἐννοίας τὸ πρόβλημα· ἔστι δὲ οὕτως· ἐννέα γράμματα ἔχω, τετρασύλλαβός εἰμι· νόει με· αἱ τρεῖς γὰρ αἱ πρῶται δύο γράμματα ἔχουσιν, ἑκάστη ἡ λοιπὴ δὲ τὰ λοιπά· καί εἰσιν ἄφωνα τὰ πέντε, τοῦ παντὸς δὲ ἀριθμοῦ ἑκατονδάδες εἰσί, δὶς ὀκτώ, καὶ τρεῖς τρισκαιδεκάδες καὶ τέσσαρες. γνοὺς δὲ τίς εἰμι οὐκ ἀμύητος ἔσῃ τῆς παρ' ἐμοῦ ὠφελείας· ἀμέτρητος ἡ ἄβυσσος· τὸ ῥηθὲν ὑπερβαίνει λογισμόν, βαθὺ τὸ ἐρώτημα. ὧδε δεῖξον τοῦ σοῦ στεφάνου τὸν ἔπαινον. ὧδε δεῖξον τὰ τῆς φύσεως ἔργα. δεῖξον, ὦ σοφώτατε, πῶς τὴν τοῦ βάθους σκοπήσομεν διόπτραν, ἵνα τοῦ τοιούτου μέτρου τὸ βαθύτατον καταφθάσωμεν, πῶς τοῖς ἐννέα γράμμασι προβάλλει τὸ τετρασύλλαβον τοῦτο νόημα. ἐκτεῖναι δεῖ τὰς ἀκουστικὰς τῶν ὀργάνων αἰσθήσεις, ἵνα ἄπταιστον εὕρωμεν τοῦ ὀνόματος τὴν δύναμιν. ἐννέα γράμματα ἔχω. τετρασύλλαβός εἰμι· νόει με. σοφίας ἔργον ἐστὶ τὸ θαυμαζόμενον, ἐνεργὸν πρᾶξιν συνιστᾷ τὸ νοούμενον· πάλιν ἡ τῆς Ἀφροδίτης τὴν περσικὴν λαχοῦσα ἑῴαν, προηγεῖται τὰς τοῦ ἡλίου αὐγάς· πάλιν ὁ τοῦ Ἑρμοῦ ὑπὸ τὰς τοῦ ἡλίου αὐγὰς ἐπὶ τὰ ἑπόμενα εὑρίσκεται. πάλιν ὁ τοῦ Κρόνου διὰ τὴν τοῦ ὕψους βαθύτητα, ἀμυδρῶς προσφαίνεται· πάλιν ὁ τοῦ Ἄρεως τὴν πυρρώδη τομὴν ἀπεργάζεται, ἐν οἷς ἡ νυμφικῶς διασκευασμένη προέρχεται σελήνη, τὰς ἐννέα τῶν τμημάτων ἀναλαμβάνει ὁλκάδας, δι' ἧς τὸ συγκιρνώμενον τελειοῦται κρᾶμα. ὢ πλοῦτος σοφίας διὰ γραμμάτων καὶ τῶν ἀριθμῶν προφέρει τὰ δόγματα· ἐννέα γράμματα ἔχω. μόνος οὗτος ὁ ἀριθμὸς τῶν πρὸ τῆς δεκάδος ἀριθμῶν ἐφ' ἑαυτὸν πολυπλασιαζόμενος εἰς μονάδα καταντᾷ. οὗτος μονάδος ἐστὶν εἶδος. πολυπλασιαζομένη γὰρ ἡ μονὰς τὸ αὐτὸ εἶδος φυ-

λάττει. τὰ δὲ φυσικὰ σώματα, οἷον τὰ τέσσαρα στοιχεῖα ἔχει τὴν ἀνάγκην τῆς ὁμολογίας διὰ τῆς μαθηματικῆς θεωρίας. οὐ γὰρ ἀπέσπασται αὐτῆς τὰ φυσικὰ πρὸς καταδοχὴν τῶν τελειωτέρων, προϋποκεῖσθαι τὰ καταδεέστερα. ὥσπερ οὖν πρῶτον τὸ σωματοειδὲς ἔταξεν πρὸς καταδοχὴν ψυχῆς, εἶθ' οὕτως ἐψύχωσεν αὐτὸς ὂν ἅμα ἑκάτερα οὕτως πάλιν ψυχώσας ὑπερτέραν αὐτῷ τελειότητα ὁμοταγῶς προσάπτει. ὢ διδασκαλίας ἐρώτημα πάσης σοφίας ἔχον τὰ σύμβολα, νοερῶς ἡμᾶς καὶ ἐπιστημονικῶς θέλει ζῆν ὑπερτέραν ζωὴν καὶ θεωρίαν καὶ οἰκειότητα πρὸς θεὸν μᾶλλον μαρτυρεῖ. ἀρχαὶ γὰρ ἐπιστήμης εἰσὶν αἴσθησις καὶ ἐμπειρία. ἡ μὲν γὰρ ἐμπειρία ἀρχὴν παρέχει τῆς πρακτικῆς φρονήσεως· ἡ δὲ αἴσθησις τὴν τοῦ φαινομένου κατανόησιν. ἀφ' ἧς εἴρηται πᾶσα φύσις λογία. ὅσοι γὰρ τούτων εἰσὶν ἀνάπλεοι πρὸς τὸ νοητὸν εὐτετραμμένοι, ἔχουσι μέντοι καὶ τὴν προνοητικὴν ἐνέργειαν· τοιοῦτος γὰρ ὁ τῶν σπουδαίων ἀνδρῶν νοῦς. περὶ γὰρ αὐτῆς τῆς νοερᾶς καὶ ἀχράντου νοήσεως ἡ τοῦ δημιουργικοῦ νόησις ἥτις πεπλήρωται τῶν ἀΰλων καὶ νοητῶν εἰδῶν. ἔστι δὲ καὶ ἡ νόησις τῆς κοσμικῆς ψυχῆς καὶ ἡ τοῦ κόσμου φρόνησις. ἐξηρημένη γὰρ πάντων αὕτη οὖσα τὸν αἰσθητὸν κόσμον πληροῖ, ὡς διὰ τῆς ἐν αὐτῇ νοήσεως· αὕτη δὲ ἡ νόησις ἀμιγῶς καὶ καθαρῶς καὶ διὰ τῆς ὕλης χωρεῖ. διὸ καὶ ἄχραντος λέγεται, ὡς τῶν νοήσεων αὐτῆς ἀκλινῶν καὶ ἀμιγῶν οὐσῶν πρὸς τὴν ὕλην. ἔλθωμεν ἐπὶ τὸ προκείμενον καὶ νοήσωμεν τίς ἡ τοῦ λόγου ἐξέτασις. ἐννέα γράμματα ἔχω. τετρασύλλαβός εἰμι· νόει με· ὡς ἐνοοῦσαν τὴν ἐννέα ταύτην προβάλλεται πρότασιν, ἵνα τὴν ἔκθεσιν καινουργήσῃ τῆς θαυματουργίας. εἰς γ' γὰρ τριαδικὰς καὶ τῶν ἀΰλων οὐσιῶν τὰς ἐννέα ἀποπληροῦσι τάξεις. τελεσιουργικὸν οὖν ἐστι τὸ νοούμενον. φοβερὸν ἄρα καὶ παράδοξον, νοητικὴν ὁρίζον τὴν περιγραφήν. χρυσοφωτοειδεῖς τὰς θεωρίας, ἐννέα γράμματα ἔχω· μέγας ὁ τούτου θησαυρός. κεκρυμμένον ἔχει οὖν τῆς ἀληθείας σκοπόν. γράμματα δὲ ἐκάλεσεν ἵνα μυστικῶς διὰ τῶν στοιχειωδῶν γνώσεων ἐπινοῆται. ἐν αὐτοῖς γὰρ ἀπόκειται τὸ τῆς σοφίας ἔργον. ἐννέα γράμματα ἔχω, τετρασύλλαβός εἰμι, νόει με. ἐν γὰρ τοῖς τέσ-

σαρσι κέντροις τὸ κοσμικὸν προςδιάκειται θέαμα, ὅλον ὁρίζον τὸν ὑφ' ἥλιον κόσμον. ἄφυρτος γὰρ ἡ τῶν στοιχείων ἀλληλουχία, τὴν τοῦ παντὸς σώματος σώζουσι φύσιν, οὐ κατενενηγμένη ἡ ἐξάρτησις, οὐκ ἀνύπαρκτος ἡ ἐννεάγραμμος αὕτη συλλαβή. θαυμαστὴν βούλεται νεάσαι τὴν γεωργίαν, ἀΰλῳ τῷ νῷ καταβάλλει τὰ σπέρματα, ἵν' ἄφθαρτον δείξῃ τοῦ καρποῦ τὴν ἀπόλαυσιν, ἐννέα γράμματα ἔχω, τετρασύλλαβός εἰμι· νόει με. πῶς νοήσω σε, ἐννεάριθμε; σῶμά τι ἢ ἀσώματον; ἀσώματος γὰρ τὴν φύσιν νοητῶς καταλαμβανόμενος καὶ ἐν σώματι θεωρούμενος. τίς ὁ ἔχων σέ; ἐπίνευσον, ὦ φίλη ποθεινοτάτη· τοῦτο θέλει εἶναι τὸ λεγόμενον· ἐν τίνι τὸν τοιοῦτον ἀριθμὸν ἐπιγράψω καὶ πρακτικὴ ἡ μυσταγωγία. πεπληρωμένην ἔχει τὴν διαγραφήν, ἐν ᾗ τὸ ὅλον ἐπιφέρει μυστήριον. αἱ τρεῖς αἱ πρῶται δύο γράμματα ἔχουσιν ἑκάστη. εἰπέ, τίνες αὗται τῶν συλλαβῶν αἱ προάγουσαι συνθέσεις; ἐκ τριῶν πάλιν δηλοῖ τὸ μυστήριον, αἱ τρεῖς, ἡ λοιπὴ δὲ τὰ λοιπά, ἔστι δὲ τὰ ἄφωνα τὰ πέντε. αἱ τρεῖς εἰπέ, τίνες αὗται αἱ πρῶται, αἱ τὸ τρισόλβιον φέρουσαι τοῦτο, δύο ἔχουσιν ἑκάστη ἕνωσιν συμπλήρωσιν οἰκονομίας. ἡ λοιπὴ δὲ τὰ λοιπά. ποία λοιπή; ἡ μία τοῖς τρισὶ τὸ ἓν ἀποσώζουσα. ποία μία; φανέρωσον ἡμῖν τὸ περατούμενον τοῦ ἔργου, τὴν ἀφ' ἑνὸς πληρώματος ἐντελῆ ὑπάρχουσαν τελείαν αἰνίττεται ἀποκατάστασιν, ἵνα τοῖς αὐτοῖς συγκραθεῖσα ὡς ἓν ὄντα ἑνωθῇ· καὶ τί ἐστιν ἄφωνα τὰ πέντε; τί; ὅτε κενόφωνον αὐτὴν πεποίηκε τῇ ἀφωνίᾳ. καὶ πόθεν εἰσὶν ἄφωνα; ἀναλόγως τῶν τοιούτων πρὸς τὰς ἀλλοιωτικὰς τοῦ ὀνόματος. ὅτε γὰρ ἐπὶ τὸ φθοροποιὸν νεύσει, ἄφωνον τοῖς ὁρῶσιν εὑρίσκεται. κείμενον γὰρ θνητόν, φωνὴν ὅλως οὐκ ἐκπέμπει. ἐπειδὰν δὲ εἰς ἄφθαρτον μετέλθῃ σῶμα, τότε ἔμψυχον καὶ τὸ σῶμα γίνεται. τοῦ παντὸς δὲ ἀριθμοῦ ἑκατοντάδες εἰσὶ δὶς ὀκτώ, καὶ τρεῖς τρισκαιδεκάδες καὶ τέσσαρες. ὦ πλήρωμα πληρωματικὸν ἔχον τὸ πλῆρες τούτου τοῦ πληρώματος. ἑκατοντάδες εἰσὶ δὶς ὀκτώ· διὰ τί δὶς ὀκτὼ ἑκατοντάδες; πάσης γνώσεως τὸ ῥ̄ δασύνεται, καὶ πᾶσαν ῥωννύσι δυνάμεως ἐνέργειαν. δεκατὶς γὰρ αὕτη πρὸ τῆς δεκάδος. τὸ γὰρ δέκα πλήρωμα τῶν ἐκ μονάδος ἀριθμῶν,

ἑκατοντάδες εἰσὶ δὶς ὀκτώ, ἐκ τοῦ πληρώματος δεικνύει τὸ πεπληρωμένον. ἑκατοντάδες εἰσὶ δὶς ὀκτὼ τουτέστιν ἐκ τοῦ πληρώματος τῶν τελείων· τὸ γὰρ ω̅ πλήρωμα καὶ τέλος ὑπάρχει τῶν στοιχείων. τὸ δὲ δὶς ὀκτώ, ἐπειδὴ συμμετρικὴν θέλει τῇ ἐννοίᾳ τοῦ πληρώματος, ἵνα πεταστικὴν εὕροι διάκρισιν. τρεῖς τρὶς καὶ δεκάδες καὶ τέσσαρες. πάλιν εἰς διαλύει τὰ αἰνίγματα, καὶ τούτων ἀναπληροῖ τὴν θεωρίαν τοσαύτην γέμουσαν πιθανότητα, ἵνα δείξῃ δι' ὅλου τὴν πᾶσαν συμπλήρωσιν, ἄνω καὶ κάτω τὴν αὐτὴν δεικνύει συμπλήρωσιν. τρεῖς τρὶς καὶ δεκάδες καὶ τέσσαρες. τί ἐστι τρεῖς καὶ διὰ τί τριάς. τρεῖς τὴν τοῦ ὅλου ὑπόστασιν λέγει. τριὰς γὰρ εἴρηται παρὰ τὸ στερρὸν στίγμα καὶ ἀκαταπόνητον. οὐκέτι γὰρ τέμνεται εἰς δύο, ἀλλὰ εἰς τρία, τῆς μονάδος μὴ διαιρουμένης, οὐδὲ ἡ ποιότης αὐτὴ τέμνεται, ἵνα μάθῃς τῶν ἀμφοτέρων τούτων τὴν τοῦ γένους ὁμοιότητα. τρεῖς τρὶς καὶ δεκάδες καὶ τέσσαρες. διὰ τί τρεῖς τρὶς ἐκ δευτέρου ποιεῖται τὴν προσφώνησιν; ἵνα πρὸς τὴν ἄϋλον ἀναδράμῃ τάξιν. εἰς τρεῖς γὰρ τριαδικὰς τούτων διέταξε τὰ γράμματα, ἵνα ὡς πρὸς μίαν τῆς μονάδος ἀπαρτίσωσι κατάλεξιν, ὅπως ἂν καὶ τῆς τῶν φώτων αὐτῶν μετέχουσι διαυγείας, ἵνα ὡς ἐξ αὐτῆς ὄντα, πρὸς αὐτὴν ἀναδράμωσιν. τρεῖς τρὶς καὶ δεκάδες καὶ τέσσαρες. τίς ἡ τῶν δωδεκάδων ἐπὶ τοῖς τρισὶ κυβέρνησις αὕτη καὶ ἐξάπλωσις; ἵνα πληρώσῃ τὴν δι' αὐτῶν ἐπιφάνειαν· ὁ γὰρ ἀριθμὸς ἕως τῶν δέκα ἀνατείνεται. τρεῖς τρὶς καὶ δεκάδες καὶ τέσσαρες. ἐκ τρίτου τὰς τῶν δεκάδων ποιεῖται αἰτήσεις, ἵνα τελείως πληρώσῃ τὸ ζητούμενον. τρεῖς τρὶς καὶ δεκάδες καὶ τέσσαρες, ἵνα τριῶν ὄντων τῶν τῆς καθόλου ἐργασίας, τετάρτην ἀναδείξῃ τὴν τετρασωμίαν βαδίζουσαν εὐτάκτως, καὶ διατρέχουσι πρὸς ὑπηρεσίαν τῆς καθαρωτάτης, ἵνα διὰ τῶν εὐτονούντων κεντήσωσι πρὸς τὰς τοῦ ἡλίου αὐγάς, ὅπως τὸ ἐκ τελείου τέλειον τελείοις συναφθῇ. ἀποδέδεικται σαφῶς ὡς τελείας οὔσης τῆς μονάδος ἀγχιστεύουσαν ἔχει τὴν ἐξ ἰδίας ὑποστάσεως τριάδα, ἐξ ἧς καὶ ἡ ἐννέα καὶ ἡ δεκὰς τῆς τοιαύτης τετράδος ὡς ἐξ ἑαυτῆς προεληλυθότα, πᾶσαν αὐτῆς τὴν οὐσίαν μετέχουσι τῇ οἰκειότητι. ἐν τούτοις οὖν οἰκονομικῶς προελθοῦσα ὅλην τὴν

τῆς σελήνης ἐπανατέλλει θεωρίαν, πυρρόχροον, θερμότατον ἐκ τῶν ἡλιακῶν ἀκτίνων ἐξανάπτουσα φεγγίτην. ὅλην οὖν τοῦ μυστηρίου περιφράσας τὴν δύναμιν, μετελεύσομαι λοιπὸν καὶ φυσικωτάτην φέρων θεωρίαν, ἵνα καὶ νεαροὶ παῖδες γευσάμενοι τῆς αὐτῆς γλυκασίας καὶ τῶν τῆς σοφίας μαζῶν γάλα ἐκθηλάσαντες καὶ καλῶς ἐκτραφέντες ἐπὶ τὰ κρείττω προβῶσι, καὶ εἰσελθεῖν δυνήσωνται εἰς τὰ τῶν προαυλίων προπύλαια, καὶ τῶν ἀδύτων προανακύψαντες τὰ μυστήρια ἰδεῖν δυνηθῶσι τὰ μεγαλεῖα τοῦ παντοκράτορος, καὶ τὴν τοσαύτην δόξαν ἐκπλαγέντες ὑμνήσωσι τὴν ὑπεράβυσσον τοῦ θεοῦ σοφίαν. ἴδωμεν καὶ τῆς τοιαύτης θεωρίας τὸ πρόβλημα, ἐπείπερ ἡ τοῦ σπερματικοῦ γόνου ἐν τρισὶ τούτοις νοεῖται. καὶ διὰ τί ἀπεντεῦθεν ἤδη ἐν τρισὶ τῆς προτάσεως ποιεῖται τὴν θεωρίαν; ἵνα δι' αὐτῶν τῶν προλεχθεισῶν ἐννέα γραμμάτων τὰς πρώτας τρεῖς συλλαβάς, μὴ παραδράμωμεν τὸ θαῦμα, δι' ἧς τὸ πᾶν ἡμῖν ἀποδίδεικται μυστήριον. πῶς οὖν ἐν τρισὶ τμήμασι τῶν συλλαβῶν τὴν τοῦ γόνου ἀποδεικτικῶς ποιεῖται μορφήν; πρῶτον μὲν γὰρ ἡ ἐπίτασις τοῦ σπερματικοῦ σπόρου ἐκ θερμότητος οὖσα, συμπλακεῖσα δὲ τῇ τῆς μήτρας ὑγρότητι, καὶ σηπτικὴ οὖσα, ὀκτὼ πεντάδων ὡρῶν ἐκτανθεῖσα τὴν μόρφωσιν τοῦ δημιουργοῦντος θεοῦ τῶν ὅλων. ἐκ γὰρ θερμότητος καὶ ὑγρότητος τῷ σηπτικῷ τῆς ἀναλογίας χρόνῳ προσομιλήσαντα τὴν τελείαν τῆς διατυπώσεως εἰκόνα ἐργάζεσθαι ποιεῖ. ἔστι γὰρ ἰδεῖν καὶ ἐπὶ τῶν σωμάτων αὐτῶν διαιτητικὴν συμμετρίαν. ποιότητι γὰρ τὸ πᾶν αὐτῶν ἐν συμμετρίᾳ εὐτακτοῦν τὴν εὔκρατον ἐξάνθησιν τοῦ παντὸς σώματος ἀναφαίνει. τὸ γὰρ γεῶδες καὶ ὀστρακῶδες τῆς τροφῆς, τοσοῦτον διὰ τοῦ ἀφεδρῶνος διαχωρῆσαν, καὶ τοῦ ποτίμου αὐτῆς ὕδατος διὰ τῆς οὐρηδόχου κύστεως ἐξουρηθὲν εἰς οὐδὲν ὅλως ἔσται. ὁ γὰρ ἄρτος βρωθεὶς θερμότατος ὤν, ἑνωθεὶς δὲ τῇ τοῦ ποτίμου ὕδατος ὑγρότητι οὐκ αὐτὰ ἐπὶ τῶν σωμάτων εἰσκρίνουσιν ὅλως οὐδὲ διαμένουσιν, ἀλλὰ ἡ τούτων πεπτοτίρα ποίησις εἰσκρίνασα μίγνυται τῇ ὅλῃ ὑποστάσει καὶ αἱματοῖ, καὶ τὴν πᾶσαν σύγκρασιν τὴν εὐκρασίαν ποιησαμένη διασώζει τὴν τοῦ σώματος εὔχροιαν, καὶ λίθος μὲν ἐκ θερμοῦ καὶ

ὑγρότητος τὴν στερεὰν τοῦ σώματος εἰληφώς, ὑγροῦ μὲν τὴν ἐκ τοῦ ὕδατος ἀπογεωθεῖσαν ὕλην, θερμοῦ δὲ τὴν ἐξοστρακισθεῖσαν διὰ τῆς ἄγαν τοῦ ἡλίου ἐκκαύσεως καὶ πλίνθος ἐκ θερμοῦ μὲν τῇ γεώδει οὐσίᾳ τοῦ χώματος, ὑγροῦ δὲ τῇ τοῦ ὕδατος ψυχρᾷ οὐσίᾳ συμμιγεῖσα καὶ τὴν τοσαύτην τῶν ὁρισμῶν ἐναποκειμένην πρὸς κτισμάτων οἰκοδομὴν ἐπιτηδείως, καὶ τῶν δένδρων οἱ καρποὶ ἐκ θερμότητος καὶ ὑγρότητος τὴν αὔξησιν ἔχουσιν ἐπὶ τοσοῦτον τοῦ δηλουμένου καιροῦ. καὶ ἰδιοποιούμενα ὡραῖα εἰς βρῶσιν καὶ τρόφιμα γίνεται· καὶ ἡ τοῦ παντὸς δὲ αὔξησις μάλιστα διὰ τὴν τοῦ χρόνου περιοχήν, τῆς τε χειμερινῆς ὥρας τῇ ὑγρότητι καὶ πολλῇ τοῦ θέρους θερμότητι, καὶ διὰ τῶν τοσούτων διαστάσεων καὶ ὡρῶν ἀποκαθίσταται καὶ ἀποπληροῖ, τῶν βλαστημάτων τὰ κάρπιμα δένδρα, καὶ τοσαύτην αὐτοῖς τὴν δι' ὀσφρήσεως χρωματοῖ γεῦσιν, ὥστε καὶ διάφορον αὐτοῖς ὁ τῶν ὅλων δημιουργὸς ἐντέθεικε τὴν ἐνέργειαν, καὶ ἁπλῶς εἰπεῖν ἐπὶ τῶν λοιπῶν ὁμοίως ἡ ἄρρητος ἐκείνη τοῦ θεοῦ σοφία πάντα κατασκευάζουσα, ἐντίθησιν αὐτοῖς τὴν τοσαύτην διακόσμησιν, ἧς καὶ ἡ τοῦ σπερματικοῦ γόνου θεωρία ἐκ θερμότητος τῇ ὑγρᾷ ἑνωθεῖσα οὐσίᾳ, τὴν δηλουμένην τῶν ὁρισμῶν οἶδεν κατοικεῖν προθεσμίαν, ἵνα διαμεῖναν τὸ ἐμψυχοῦν τὴν ὁμοειδῆ τοῦ ζώου ἀποτελέσῃ μορφήν. οὕτω δὴ λοιπὸν νόει καὶ τὸ χαλκόχρωον τῆς ἀφροδίτης σῶμα θερμὸν ὑπάρχον τῇ φύσει· πρὸς δὲ τὴν ἀπ' ἑώας ἐκστίλβουσαν ἑνωθὲν ὑγρότητα, ὃ καὶ διὰ τοῦ πυραυγοῦς πυρίτου προβαῖνον εὐφυῶς, τὸν τῆς κεφαλῆς πλόκαμον τῷ μυρίσματι διακοσμουμένῳ πρὸς εὐκοσμίαν, εὔχρουν καὶ εὐπρεπὲς τὸ ἐξάνθημα ποιήσει· ἡ γὰρ τούτων ἄκρα ποιότης οἶδεν καὶ τὰς χρυσοφανεῖς τὰς χρυσοπλοκάμους ἀπεργάζεσθαι πρὸς πολλὴν εὐοπτίαν καὶ τοσαύτην διακόσμησιν τῆς συζύγου ἑνώσεως. ἀρκεῖ πρὸς ταῦτα τοῖς εὖ φρονοῦσιν. ἀρκετὸν ὑμῖν ἔστω τῶν τοιούτων αἰνιγμάτων τὸ τοῦ λόγου σαφές. πᾶσαν γὰρ ὁμαλὴν διοδεύσας τρίβον τὸ μυστικὸν τοῦτο καὶ μέγα ἀπεφηνάμην μυστήριον, ἵνα τοιούτου ἐκπλαγέντες θεάματος καὶ ἐπὶ τὸ παράδοξον τοῦτο ἐρχόμενοι ἔργον, εἰρ ὄψιν θεάσησθε τὸν τῆς σοφίας χαρακτῆρα,

καὶ διὰ ταύτης μᾶλλον τῆς ἀρετῆς διαπεράσαντες, ἔλθωμεν ἐπὶ τὸ ἡδὺ τοῦ θεοῦ φῶς, καὶ μάθωμεν τὴν ἐξ αὐτοῦ τοσαύτην τῆς χάριτος σοφίαν, ἐκπλάττουσαν καὶ ἐκλάμπουσαν ἐπὶ τοὺς εἰς αὐτὸν πεποιθότας τὸν Ἰησοῦν θεὸν ἡμῶν. —

---

## Τοῦ αὐτοῦ Στεφάνου φιλοσόφου πρᾶξις σὺν θεῷ ἑβδόμη.

Θεὸν τὸν ἄρρητον τὸν σοφίας καὶ ἀληθείας πατέρα, τὸν ζωῆς καὶ φωτὸς δωτῆρα, τὸν τῶν ὅλων αἴτιον καὶ πάντων ἐπέκεινα καὶ τὸν ἐξ αὐτοῦ μονογενῆ υἱὸν σὺν τῷ θείῳ τῆς ἀληθείας πνεύματι τῷ παρ' αὐτοῦ ἐκπορευομένῳ ὑμνῶ καὶ δοξολογῶ καὶ εὐχαριστῶ, ἵνα καὶ τὸ μετὰ χεῖρας τοῦτο ἕβδομον σύγγραμμα συνοδηγίᾳ τῇ παρ' αὐτοῦ ἐκπεράνω. κατὰ δὲ τὸ ἔθος ἡμῶν ἐχέτω τὸ προοίμιον· γυμνάσια μέν εἰσι τῆς ψυχῆς τὰ μαθήματα ἐκ τῶν ἐνύλων ἡμᾶς ἐπὶ τὰ ἄυλα ἀνάγοντα καὶ ἐκ τῶν συνθέτων ἐπὶ τὰ ἁπλᾶ καὶ ἀσύνθετα ἐνθεαστικῶς ἀγλαΐζοντα. σοφίας γάρ εἰσι νοήματα, καὶ φιλοσοφίας πράγματα. ἀλλ' οὗτος ὁ τρόπος καὶ ταῦτα τὰ μαθήματα· οὗτος ὁ σκοπὸς καὶ αὕτη ἡ πρότασις, ἣ νῦν τὰς θεωρητικὰς ἀποκόπτει ἀκτῖνας, καὶ ὁ λόγος τὰς πρακτικὰς ἀποπληροῖ περατώσεις. οὗτος ὁ τρόπος ταῦτα τὰ μαθήματα. μέγας ὁ πλοῦτος τῆς χάριτος, πολλοὶ τῆς ἀρρήτου σοφίας οἱ θησαυροί· ἀνεκδιήγητα τὰ χαρίσματα, ποταμοὶ ὕδατος ζῶντος τὰ τοιαῦτα ὕδατα, πηγὴ σοφίας τοῦ θεοῦ ἡ ἄβυσσος, φῶς καθαρώτατον τοῦ ἁγίου πνεύματος ἡ ἐπιφοίτησις, οὐδὲν σοφίας ἀνώτερον· δι' αὐτῆς γὰρ ὁ ὑπεράρχιος τοῦ θεοῦ λόγος τὰ πάντα ἐδημιούργησεν, δι' αὐτῆς τὰς τῶν οὐρανίων νόων εὐπρεπεῖς ἐλλάμψεις ἐκόσμησεν. δι' αὐτῆς ὁ νοητὸς παράδεισος εἰς ἀπόλαυσιν τῶν ἀεὶ ζώντων εὐτρέπισται, δι' αὐτῆς τὴν τῶν οὐρανῶν βασιλείαν ἡμῖν προητοίμασεν. πόθεν οὖν ἡμῖν πρὸς τὴν σοφίαν ἡ ἄνοδος;

πῶς αὐτὴν οἰκειωσόμεθα; πῶς αὐτῆς τὸν ἄφθαρτον χιτῶνα περιβαλλόμεθα: μόνη τοῦ θεοῦ ἡ ἀγάπη πρὸς τὸν πόθον αὐτῆς ἕλκει. ἔλθωμεν ἐπὶ τὸ προκείμενον. μάθωμεν τοῦ φιλοσόφου τὰ αἰνίγματα, ἵνα δυνηθῶμεν νοῆσαι πηλίκος ἐστὶν ἡ τῆς σοφίας ἄβυσσος. τί δὲ οἱ δοκοῦντες φιλοσοφεῖν, ἔργα δὲ φιλοσοφίας μὴ ἔχοντες, οἱ καὶ τὴν ἀρετὴν τοῦ σχήματος ἑνὸς τούτου μετερχόμενοι, ὧν ὁ θεὸς μὲν αὐτῶν ἡ κοιλία; οἱ καὶ τὴν πρόσκαιρον ἀποσκοποῦντες δόξαν, οἱ ὀκνηροὶ καὶ ῥάθυμοι· οἱ μήτε ὅλως κατ' ἴχνος ἀρετῆς βαδίσαι ἐθέλοντες, ἀνόμματοι οἱ τοιοῦτοι καὶ ἀπαίδευτοι. λέγουσι γάρ, ὅτι δυσχερὲς πρᾶγμα ποιῆσαι χρυσόν, οἱ ἀλόγως ποιοῦντες, πῶς λέγουσιν ὅτι δυσχερές ἐστι ποιῆσαι ☉. μάθετε καὶ γνῶτε ὅτι οὐδὲν τῇ σοφίᾳ δυσχερές. πάντα γὰρ ἡ σοφία δύναται. αὕτη γὰρ τὰ ἀθεώρητα προφανῶς βλέπει, καὶ τὰ ἀδύνατα δύναται. καὶ πῶς οἱ τὸν ☉ φανταζόμενοι λέγουσιν ὅτι δυσχερὲς πρᾶγμα ποιῆσαι ☉; ἆρα οὐκ ἤκουσας αὐτοῦ τοῦ φιλοσόφου λέγοντος, ὅτιπέρ ἐστιν εὐχερές· εὐχερὲς τῇ σοφίᾳ παρακολουθῆσαν τὸ πρᾶγμα· παρὰ δὲ ἀμυήτων δυσχερές. οἱ γὰρ κατὰ σάρκα ὄντες τὰ τῆς σαρκὸς φρονοῦσιν, οἱ δὲ κατὰ πνεῦμα τὰ τοῦ πνεύματος. τὸ γὰρ φρόνημα τῆς σαρκός, θάνατος· τὸ δὲ φρόνημα τοῦ πνεύματος, ζωὴ καὶ εἰρήνη, ὅτι τῆς σοφίας ἀμέτοχοι οἱ ὅλως εἰρήνην ἐν ἑαυτοῖς μὴ ἔχοντες. πῶς ἐν τῇ θελώσει τοῦ νοῦ αὐτῶν καὶ τῇ τοῦ βίου βάλῃ τὸ τῆς σοφίας ἀναβλέπουσιν ὄμμα; τὸ γὰρ νοῆσαι δυσχερές. οἱ οὕτως ὄντες νωθροὶ καὶ ἀπαίδευτοι, καὶ τὸ νοῆσαι μὲν αὐτοῖς ἀδύνατον. οἱ δὲ ἐνάρετοι, ἀνδρεῖοί τε καὶ φρόνιμοι. ἵσταιτο μὲν αὐτοῖς παρὰ τῆς ἄνωθεν σοφίας τά τε ὄντα καὶ ἐσόμενα καὶ μέλλοντα, οἰκεῖον ἂν εἴη καὶ γνωριμώτερον. ἀπέδειξε γὰρ ὁ φιλόσοφος ἐν τῷ μολίβῳ ♀ λέγων ποίω ☿ ♀ τῷ ἡμετέρῳ δηλονότι ἐπίβαλλε, ἕως οὗ γένηται ἄρρευστος. καὶ πῶς τὸ φύσει ῥευστὸν ἄρρευστον εἶναι μέλλει; πῶς τὴν ὑγρὰν καὶ ἄστατον στερεοῖς οὐσίαν; ἐὰν γὰρ γένηται ἄρρευστος, οὐκέτι ἔσται μόλιβος. ὢ ξένα μυστήρια, ὢ παράδοξα ἔργα, ὢ σοφίας προβλήματα. ἐὰν γὰρ γένηται ἄρρευστος, οὐκέτι ἔσται ☿. ἰδοὺ ἀπέδειξεν τὸ ἔργον καὶ οὐκ ἀπέκρυψεν, ἀλλ' ἐφανέ-

ρωσεν· αὐτὸς γὰρ δι' αὐτοῦ μαρτυρεῖ λέγων, ὅτι εὐχερές ἐστι τὸ πρᾶγμα εὔκολον, σύντομον, οὐκ ἐκβατόν, δηλωτικόν, ἀλλ' ὡς οἶμαι νοὸς χρήζει, καὶ γίνεται· νοὸς τοῦ τῆς σοφίας ὄμματος, τὴν θέαν τῆς φρονήσεως, τὸν φωτιστικὸν σπινθῆρα τῆς χάριτος, νοὸς χρήζει καὶ γίνεται. ποῦ εἰσιν οἱ ἀμαθέστατοι; ποῦ εἰσιν οἱ ἀφρονέστατοι, οἱ ἀλόγων διώκοντες βίον; οἱ σοφίας περιφρονοῦντες καὶ φιλοσοφίας καταφρονοῦντες, οἱ τὴν γνῶσιν μὴ ἔχοντες; οἱ κλεψίθηρες καὶ ἀμύητοι; οἱ πάσης ἀνοίας πεπληρωμένοι; οἱ ἐργαλείων πολλῶν χρείαν ἔχοντες, καὶ ἰαμβύκων καὶ καμίνων ἱερατικὸν κατασκευάζοντες; οἱ πολύειδα καὶ πολύχρωμα καὶ πολυμέταλλα ἐπιτηδεύοντες· ἐλεεινοὶ οἱ τοιοῦτοι ἐλεεινότεροι τοῖς πράγμασιν. εἰ γὰρ τούτων ἦν χρεία, εἶχεν ἂν ὁ φιλόσοφος τοῦτο ἀπογράψασθαι, πάντως εἶχε καὶ τοῦτο συντάξασθαι. αὐτὸς γὰρ πάλιν μαρτυρεῖ, τίς οὗτος ὁ σοφίας σύνοικος; ὁ σοφίας καὶ γνώσεως πεπληρωμένος; ὁ ἀληθὴς φιλόσοφος πᾶσιν μαρτυρεῖ λέγων οὐδὲν ὑπολέλειπται, οὐδὲν ὑστερεῖ, πλὴν τῆς νεφέλης καὶ τοῦ ὕδατος ἡ ἄρσις· πάλιν ἡ τῆς νεφέλης ἀναφαίνεται ὡραιότης· πάλιν ἡ τοῦ ὕδατος ἄρσις διακρίνεται, ἵνα ξανθοῦντα δείξῃ τὸν [symbol] ♀ ἄνω καὶ κάτω συγκρίνων τοῖς στοιχείοις τὰς προτάσεις, ἵνα ἐπὶ τὸν νοῦν ἔλθῃ τοῦ πράγματος. ἐὰν γὰρ ἔσῃ νοήμων, καὶ ποιήσῃς ὡς γέγραπται, ἔσῃ μακάριος. ἀληθῶς ἐὰν ποιήσῃς ὡς γέγραπται ἔσῃ μακάριος. τὸν τέλειον ὧδε μακαρίζει νοῦν· τὸν φωτιστικὸν πάσης τῆς διακριτικῆς γνώσεως. ἐὰν γὰρ ποιήσω, ὡς γέγραπται, οὐδὲν ὠφελήσω. ἐπειδὴ πάντα τὰ κάλλη καὶ τὰ ὀνόματα λέγει, τὴν μὲν θεωρίαν διὰ τῆς τῶν σωμάτων ἐπιφανείας, τὴν δὲ νόησιν διὰ τῆς τῶν ὀνομάτων ἀποδείκνυσιν ἀποκαταστάσεως. καὶ οὐκ οἶδα τὸ τί ἐπιβαλεῖν τῶν οὐσιῶν, ἢ ποιῆσαι τῶν ὀνομάτων. ὡς γὰρ δοκεῖ μοι πάντα ἕν τί εἰσιν. βαβαὶ τοῦ φιλοσόφου τὴν διδασκαλίαν, βλέπεις φιλοσοφίαν, βλέπεις μυστήρια, βλέπεις τὴν σύντομον ἀπόδειξιν· ὡς δοκεῖ μοι, ταῦτα πάντα ἕν τι ἔστι. καὶ αἱ δύο βαφαὶ ἐν οὐδενὶ διαφέρουσι χρώματι μόνον. βλέπεις μίαν αὐτήν, καὶ πῶς τὸ ὅλον ἐξ ἑνὸς εἴδους ποιεῖται. ἀλλὰ μὲν τοῦ ♀ καὶ ἄλλα τοῦ ☾ καὶ ἄλλα τοῦ ☉.

ἄλλα μὲν ὡς ἐκ τῆς τῶν ὀνομάτων διαφορᾶς ἐπάλληλα αὐτὰ διαχωρίζει· ἀλλ' ἓν δοκεῖ μοι τὸ εἶδος εἶναι ἀδιαιρέτου μενούσης τῆς φύσεως, καὶ νομίζω ταῦτα πάντα οὕτως ἓν ὠφελῆσαν εἶναι. πάντες γὰρ οἱ ἀρχαῖοι βουλόμενοι κρύψαι τὴν τέχνην, πάντα κατὰ μέρος ἐτίμησαν, καὶ πολυωνομίαν ἐνέθηκαν, καὶ ὅλα δι' ὅλου ἔγραψαν, κρῦψαι μὲν τὴν τέχνην διὰ τὴν τῶν ἀμυήτων ἀφροσύνην ἐβούλοντο, ἵνα μὴ ὑπ' αὐτῶν καταβληθῇ ἡ πολύτιμος διακόσμησις. οὐ γὰρ θεμιτὸν εἰς ὕλας ἀπορρίψαι τὴν τῶν νοητῶν μαργαριτῶν ἀμιγῆ καὶ φωτοειδῆ καὶ καλλοποιὸν εὐκοσμίαν· τούτου χάριν πάντα κατὰ μέρος ἐτίμησαν καὶ πολυωνυμίαν ἐνέθηκαν, καὶ ὅλον διόλου ἔγραψαν, ἀλλὰ καὶ τὸ πόντιον ῥᾶ προτιμήσαντες, μᾶλλον δὲ τὸ ὅλον σύνθεμα προσφάτως εἶπον χρήσασθαι, ὡς τέλειον αὐτοῖς μηνύοντες τὸ τοιοῦτον σύνθεμα· ἄνευ γὰρ τοῦ ὅλου παράχρησις ἡ χρῆσις. τὸ γὰρ ῥᾶ ἐκ τοῦ πόντου κομίζεται. πόντος γὰρ παρ' αὐτοῖς καὶ τὸ πέλαγος ὠνόμασται. τιμιώτερον τὸ πόντιον, ῥᾶ τὸ ὅλον ἐν θυίᾳ τοῦ συνθέματος ἔργον. πόντον γὰρ ἐκάλεσαν τῆς θυίας τὸ μέταλλον, ὠκεανόχρωον ὄντα, ῥᾶ δὲ ἡ ἐν αὐτῷ ῥέουσα τοῦ πελάγους ἐπιφάνεια. τοῦτο οὖν προτιμήσαντες τὸ τέλειον ἐν αὐτῷ τῆς οἰκονομίας ἔργον. πᾶσα γὰρ ἀρχὴ προτίμησιν ἔχει τῆς ὑφ' αὐτὴν ποιήσεως. πόθεν γὰρ ἐδύναντο ὕδατα πλημμυρίζειν ὠκεανοῦ μὴ ὑπάρχοντα; πόθεν ὄγκων ἐπιχύσεις, μὴ τῶν νεφελῶν ἐξ αὐτοῦ ἀνασπωσῶν τὴν ἔνδροσον ὑετίαν; ἔχειν αὐτοὺς τὸ πόντιον προετίμησαν. ῥᾶ τὸ δι' οὗ καὶ ἐν ᾧ ἀποπληροῦται τὸ ἔργον. ἴδια δὲ σοφίας ἐντελέσιν εἴδεσι. τὸ πᾶν ἐκ τοῦ παντὸς ἐποίησαν, καὶ ἓν χρῶμα ἀπέδειξαν. εἶδες σοφίαν ἀνδρῶν ἐναρέτων. εὐτελέσιν εἴδεσι τὸ πᾶν ἐκ τοῦ παντὸς ἐποίησαν καὶ ἓν χρῶμα ἀπέδειξαν. τὸ πόντιον ῥᾶ ἡ προτίμησις. εὐτελέσι γὰρ εἴδεσι. ποίοις ἄρα; ταῖς οἰκονομίαις τῆς φύσεως αἰνιττόμενος. ποίας φύσεως; τῆς μιᾶς φημι τὸ πᾶν ἐκ τοῦ παντός, τὸ ὅλον σύνθεμα ἐκ τοῦ ὅλου πληρώματος ἐποίησαν, τουτέστι κατέστησαν καὶ ἓν χρῶμα ἀπέδειξαν. ὁ δὲ παμμέγης ἐξ οὗ καὶ μόνου τὸ πᾶν ἀπέδειξε γενέσθαι ἔργον, εἰς πολλὴν ὕλην ἀπέδειξε τὴν τέχνην, ἵνα μὴ εἰς ἀμυήτους ἐμπέσῃ, ποικίλην αὐτοῖς

*τὴν μέθοδον ἐνέδωκεν, δοκιμάζων αὐτῶν τὰς φρένας, πολυχρώμους ὑλῶν εἰδέας ἐνέθηκεν, ἵνα γυμνάσωσιν αὐτῶν τὰς αἰσθήσεις, ἵνα μὴ εἰς ἀμυήτους ἡ τέχνη ἐμπέσῃ. λέγει γάρ, ἐὰν ποιήσῃς ὡς γέγραπται, ἔσῃ μακάριος. πῶς ἔσομαι μακάριος, ὦ φιλόσοφε; ὅλα γὰρ διόλου ἔγραψας, ὅλα ἐνέθηκας, ὅλα ἐσαφήνισας, ὅλα γὰρ διόλου ἐδήλωσας· καὶ σὺ εἶπας, ποτὲ ἐπίβαλλε ⊙ καὶ ἔσται ⊙ κόραλλος. ξένα τὰ ῥήματα, πολλῆς πυκνώσεως δεόμενα. ἆρα τί ἐστιν ὁ ⊙; τί τὸ λεγόμενον; τί θέλει εἶναι τοῦτο; τί λέγεις, φιλόσοφε; ὑπόδειξον τῆς σῆς μυσταγωγίας τὰ πράγματα· εἰπὲ φιλόσοφε. ἆρα τί ἐστι ⊙ μὴ ὁ ♋ ♀; εἰπὲ τί χρεῖαν ἔχει ὁ ⊙ ἐν τῇ βαφῇ; πῶς °⊙ ʺ⊙ βάπτει; ποίαν θέλει δεῖξαι τὴν ἐπιφάνειαν; ὅλως γὰρ ⊙ ὤν, τίνος ἕνεκεν ⊙ δεῖται; τί λέγεις φιλόσοφε; τί γνωμοσκοπεῖς ἡμῖν τοὺς τρόπους; σοφίας γάρ εἰσι ταῦτα τὰ αἰνίγματα, πολλῆς γέμοντα μαθήσεως. τί γὰρ χρείαν ἔχει ὁ ⊙ ἐν τῇ βαφῇ; πῶς °⊙ ʺ⊙ βάπτει; ποῖαν θέλει δεῖξαι ἐπιφάνειαν; ὅλως γὰρ ⊙ ὤν. τίνος ἕνεκεν ⊙ δεῖται; τί λέγεις φιλόσοφε· τί γνωμοσκοπεῖς ἡμῶν τοὺς τρόπους; σοφίας γάρ εἰσι ταῦτα τὰ αἰνίγματα, πολλῆς γέμοντα μαθήσεως· τί γὰρ χρεῖας ἔχει ὁ ⊙ ἐν τῇ βαφῇ; τί χρήζει ὁ ἀνελλιπὴς πληρώματος; καὶ πάλιν λέγεις, λαβὼν ☽ ἀπὸ ἄρρενος γύμναζε πῆξον ὡς ἔθος. ποία πάλιν αὕτη ἡ ☽; ἐκ ποίου ἄρρενος; γύμναζε ἡμῶν τὰς φρένας, ὦ φιλόσοφε, ἵνα μὴ ἀγνοίας λήθην ἐπισπασώμεθα, ἵνα μὴ βυθῷ ἀπωλείας καταφθαρῶμεν, ἵνα μὴ κυμαινομένῃ ζάλῃ περιπέσωμεν. καλῶς ποιεῖς, φρονιμώτατε. δεῖξον ἡμῖν γνώμης προοίμιον, ἵνα συνέσεως ἐπιλαβώμεθα. λαβὼν ☽ ἀπὸ ἄρρενος πῆξον ὡς ἔθος. ὧδε τῆς ὅλης ἐργασίας δεικνύεις τὰ πράγματα, ὧδε τῆς οἰκονομίας δεικνύεις τὴν ἔκφασιν. ☽ τὴν ἀπὸ ἄρρενος, τουτέστι ταύτην ἐσομένην τὴν ἀπὸ Κρόνου συμπλήρωσιν. ἄρρενα γὰρ τὸν ♀ ἐκάλεσαν. πῆξον ὡς ἔθος· οἰκονόμησον ὡς οἶδας. πραγμάτευσαι ὡς ἐπίστασαι. λεῖοι, μάλα εὐτάκτως. ἅρμοσαι, ἵνα στερεωθῇ πρὸς τὸ ἔθος. μὴ τὴν ἀπὸ ⊙ ἠβουλήθη λέγειν. ἡ γὰρ ἀπὸ ἄρρενος πάντως φεύγει. ὧδε νοήματα πάντως θέλει συνθεῖναι, ἵνα ἀποδείξῃ τὰ πράγματα. ἄγε δὴ τὸν φιλόσοφον λέγοντα· λάβε ὑδράρ-*

γυρον, τὴν ἀπὸ ἄρρενος, καὶ πῆξον ὡς ἔθος. ἐπίβαλε ♀ ἢ Ϯ θειωθέντι καὶ λευκανθήσεται, τὸ ἐξ ἰδίας φύσεως παρὰ πάσης καλῶς οἰκονομηθέν. συγγενείας τέρπει καὶ λευκαίνει τὰς φύσεις. τινὲς τῷ θειωθέντι καίντι λέγουσιν, ἀγνοοῦντες ὅτι τὸν ♀ θείῳ καίουσιν, καὶ τὸν Ϯ καίουσι μαγνησίᾳ. οὗτοι δὲ ἔχοντες τὸν φιλόσοφον ἐν τούτῳ συνηγοροῦντα, τοῦτο ἐπιτηδεύοντες ποιοῦσιν οἱ ταῖς φρεσὶ νηπιάζοντες μηδὲν ὅλως ἐπιστάμενοι. τὴν γὰρ καῦσιν λέγει τὴν σύντομον, καὶ εὖ μάλα μετρίαν λείωσιν. μαγνησίαν δὲ τὸ ὅλον τοῦ συνθέματος ἔργον, τετρασωμίαν ἀποφαίνει τὸν ♀ θείῳ καίουσι καὶ τὸν Ϯ μαγνησίᾳ. τὸ δὲ οὐκ εἰδότες τί ἐστι τὸ λεγόμενον, οὐ γάρ ἐστιν αὕτη καῦσις, ἀλλὰ φθορά. ἡ δὲ σὴ καῦσις διόλου λεύκωσις ἐν τούτῳ τῷ προκειμένῳ. ἐν δὲ τῷ δευτέρῳ ἡ ξάνθωσις ταύτη ἐστίν, ὦ φιλόσοφε· ἐν ποίῳ προκειμένῳ, καὶ ποῖον τὸ προκείμενον; ἐν δὲ τῷ δευτέρῳ ἡ ξάνθωσις γίνεται, ἔνθα ὑποδείκνυει λευκὴν τὴν πρώτην οὖσαν τῆς οἰκονομίας χάριν. ἐν ποίῳ τούτῳ; ἐν τῷ τῆς θυΐας λειωμένῳ συνθέματι. ἐν δὲ τῷ δευτέρῳ· ποίῳ δευτέρῳ ἑρμήνευσον τοῦ λόγου τὴν δύναμιν, ἵνα ἴδωμεν συνετῶς τὰ διακρινόμενα. ἐν δὲ τῷ δευτέρῳ ἡ ξάνθωσις, τουτέστιν ἐν τῷ τῆς ζηναχαϊκῆς καμίνου ἡ ξάνθωσις γίνεται. οὐχὶ σὺ καίεις τὸν ♀ ὕδατι θείῳ; οὐχὶ σὺ πάλιν λέγεις, ἐπίβαλλε τοῦ λευκοῦ φαρμάκου τὸ ἥμισυ, καὶ ἔσται πρωτεῖον. τὸ δὲ ἄλλο ἥμισυ ἐν τῇ τελειώσει τηρούμενόν ἐστι. τί γὰρ λέγει Ἐπιβήχιος· διαμερίσατε τὸ φάρμακον εἰς δύο καὶ καύσατε τὸν κρόνον ἐν δαφνίνοις ξύλοις. διαμερίσατε τὸ φάρμακον εἰς δύο οὐ μόνον ἐν τῇ λειώσει τὴν ἀρχὴν ποιεῖται, ἀλλὰ καὶ ἐν τῷ τέλει διὰ τῆς ζηναχαϊκῆς τὴν ἀποκατάστασιν ἔδειξεν, καύσατε τὸν κρόνον ἐν δαφνίνοις ξύλοις ἐν τῷ λευκῷ συνθέματι. ποίῳ τούτῳ; τῷ δι' ὕδατος τοῦ θείου τῷ καίοντι τὰ σώματα καὶ πάλιν ἰῶντι, ὁμοῦ δὲ καὶ λευκαίνοντι. τὸ γὰρ ἐπίβαλλε ♀ ἢ Ϯ θειωθέντι καὶ λευκανθήσεται, τοῦτό ἐστιν. αὕτη γάρ ἐστιν ἡ καῦσις ἡ ἀπ' αἰῶνος κηρυσσομένη· αἱ δὲ ἄλλαι καύσεις φθοραί εἰσιν. βάλε τοῦ Νείλου τὰ ῥεύματα. ποῖον Νείλου; ἆρα μὴ τοῦ ἀρχιερέως, τοῦ τὰ πάντα ποιοῦντος ἐπιτήδεια, τὴν λεύκωσίν τε καὶ τὴν ξάνθωσιν;

ἀληθῶς, φιλόσοφε, πάντα τὰ σὰ εὐνοήτα καὶ ἐν ἀληθείᾳ γινόμενα, πάντα πρὸς νοῦν εὔκολα, πάντα σαφῆ τε καὶ ἐνδιάθετα πράγματα, πάντα συμφώνως ἐνέθηκας, πάντα συστίχως ἀπέδειξας, μίαν αὐγὴν ἐκ μιᾶς λαμπρότητος, τὸ πᾶν ἐκ τοῦ παντός, ἐξ ὅλου τὸ ὅλον, ὦ σοφίας χάρις, ὦ συνέσεως ἔργον, ὦ νοήματος πρᾶγμα, ὦ λόγων συμπλήρωσις, ὦ χαρίσματα παρὰ τοῦ δημιουργοῦ τῶν ὅλων, ὦ πλουσιαὶ δωρεαὶ παρὰ τοῦ πατρὸς τῶν φώτων. τίς οὖν εἰπεῖν δυνήσηται πρὸς ὕμνον τῶν θαυμασίων σου δέσποτα; ποῖον στόμα ἱκανὸν πρὸς ἀξίαν ὑμνῆσαί σε τὸν πάντων δεσπότην καὶ κύριον; ποῖος νοῦς μεθ᾽ ὑμνῳδίας οὐκ ἐκπλαγήσεται, τῶν ζητημάτων σου τὰς εὐκοσμίας θεωρῶν; τίς μὴ ὑμνήσει τὰ μεγαλεῖα τοῦ παντοκράτορος θεοῦ; μεγάλα τὰ θαυμάσια σου σωτὴρ· πολλὴ ἡ φιλανθρωπία σοῦ δέσποτα, πλούσιον τὸ ἔλεος τῆς σῆς ἀγαθότητος, πηγὴ πάσης σοφίας τὰ σὰ χαρίσματα, σὲ ὑμνῶ τὸν πάντων δεσπότην καί σε δοξολογῶ τῶν πρὸ αἰώνων ἐκ πατρὸς γεννηθέντα τὸν δημιουργὸν πάσης κτίσεως. τὸ ἐκ τοῦ φωτὸς ἀληθινὸν φῶς, τὸν ἐκ θεοῦ θεὸν καὶ πρὸς τὸν θεὸν ἀεὶ ὄντα, ἐπ᾽ ἐσχάτων δὲ τῶν ἡμερῶν διὰ τῆς ἐνδόξου θεοτόκου καὶ ἀειπαρθένου Μαρίας ἐνανθρωπήσαντα διὰ τὴν ἡμετέραν σωτηρίαν, τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν, τὸν ἀληθινὸν ἡμῶν θεόν· οὐ γὰρ ἔτι προστεθείσεταί σοι τῷ πλήρει καὶ τοῖς πᾶσι τῷ εὖ πράττειν ἐθελοντί, οὐ ζωή, οὐ θάνατος, οὐκ ἄγγελος, οὐ τὰ παρόντα περὶ ἧς ὁ λόγος, οὐκ ἀρχαί, οὐ δυνάμεις, οὐδέ τι τῶν ὄντων ἢ ἐσομένων, οὐδὲ τὰ μέλλοντα χωρίσει ἡμᾶς τῆς σῆς ἀγάπης Χριστὲ ὁ θεὸς ἡμῶν, δι᾽ οὗ τῷ πατρὶ δόξαν, τιμήν, αἶνον, μεγαλοπρέπειαν ἀναπέμψωμεν οὖν τῷ παναγίῳ καὶ ζωοποιῷ καὶ προσκυνητῷ αὐτοῦ Πνεύματι, εἰς πάντας τοὺς ἀπεράντους αἰῶνας τῶν αἰώνων, ἀμήν.

## Τοῦ αὐτοῦ Στεφάνου οἰκουμενικοῦ φιλοσόφου πρᾶξις η΄ περὶ τομῆς τῆς ἱερᾶς τέχνης.

---

Ἐξομολογοῦμαί σοι, πάτερ ἅγιε, κύριε ὁ θεὸς τοῦ οὐρανοῦ καὶ τῆς γῆς ὁ καθολικὸς θεὸς καὶ παντοκράτωρ, ὁ τῶν ἁπάντων ἀγαθῶν αἴτιος καὶ δοτήρ, ὃν οἱ οὐράνιοι ἐξομολογοῦνται καὶ διηγοῦνται τὰ θαυμάσιά σου τοῦ παντοκράτορος θεοῦ καὶ τῆς δόξης σου, ἧς γένοιτο καὶ ἡμᾶς ἐν καθαρᾷ καρδίᾳ ὑμνεῖν, αἰνεῖν, δοξολογεῖν καὶ λατρεύειν τὰ μεγαλεῖά σου τοῦ θεοῦ τῶν ὅλων, τοῦ τῶν ὄντων ὄντος ἀγαθῶν αἰτίου καὶ προσκυνεῖν τὸ μεγαλοπρεπὲς καὶ πανάγιον καὶ ζωαρχικόν σου ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς ἀτελευτήτους αἰῶνας τῶν αἰώνων, ἀμήν. — Ἔλθωμεν οὖν ἐπὶ τὸ προκείμενον καὶ ἴδωμεν τί βούλεται τοῦ τετάρτου τὴν πρότασιν ἐνάρξασθαι, περὶ ἧς ὁ λόγος ἡμῖν πεπραγμάτευται, κεκαλυμμένην φέρων τὴν ῥῆσιν, διὰ τὸ πολλοὺς εἰς γυμνασίαν προτρέψασθαι βουλόμενος καί φησιν οὕτως· ποίησον τὰ σώματα ἀσώματα καὶ τὰ ἀσώματα σώματα. ταῦτα οὕτως ποίησον ὥσπερ πρώην, καὶ νῦν τῇ τέχνῃ μετεωρίζων, τὸ σύνθεμα καὶ τὴν ἐμφωλεύουσαν ἐξεώσας φύσιν καὶ διὰ τῆς ☽ τὰ σώματα φθεῖρον καὶ διὰ τῆς μαγνησίας νεφέλης ἄρρεν καὶ θῆλυ ἔτι ζεῦξον, καὶ αὖθις τὴν ἐμφωλεύουσαν ἀνακαλέσας φύσιν, δι' αὐτῆς λοιπὸν τὴν τῶν σωμάτων μόρφωσιν ποιήσεις, καὶ οὕτω τὰ σώματα ἀσώματα ποιοῦνται, καὶ τὰ ἀσώματα σωματοῦνται. ἐὰν τὰ πάντα τῷ πυρὶ ἐκλεπτυνθῇ, καὶ ἡ αἰθάλη βασταχθῇ, ἔσται ποικίλα καὶ ἀρραγῆ τὰ σώματα. πῦρ νόησον τὴν ☽ καὶ πύρινον φάρμακον καίουσα καὶ φθείρουσα καὶ λεπτύνουσα σώματα ἐν μιᾷ τῇ τέχνῃ. λειούμενα γὰρ καὶ συμμισγόμενα λεπτύνονται. λεπτύνονται γὰρ τὰ σώματα ὑπὸ τοῦ πυρός, ἤγουν ὑπὸ τῆς $\overline{μγ}$ φθαρέντα. λειούμενα γὰρ καὶ κατὰ λόγον βασταζόμενα, καὶ διὰ τῆς ἄρσεως ἐπὶ τῶν ἄνω ἀναφερομένων ἡ διὰ τούτων γινομένη αἰθάλη, ἡ φύσις ἡ καλὴ γλυκεῖα καὶ ἀρραγὴς ἡ τὰ χρώματα τουτέστιν ἄφυκτος τῷ πυρὶ γινομένη καὶ

ἑτοίμη εἰς χρώματα μένουσα καὶ νικῶσα καὶ κρατοῦσα. ὁ ♀ οὐ βάπτει, ἀλλὰ βάπτεται, καὶ ὅταν βαφῇ, βάπτει. οὐδὲν γὰρ δύναται ἀφ᾽ ἑαυτοῦ τὸ σῶμα βάψαι ἢ χωρίσαι ἑαυτὸ μὴ τοῦ πνεύματος τοῦ ἔσωθεν ἐμφωλεύοντος, τὴν ἐξάνθησιν ποιοῦντος. πῶς γὰρ ἐνδέχεται ἄνευ ψυχῆς συστῆναι σῶμα, εἰ μὴ διὰ τῆς ἐν αὐτῷ καλῆς φύσεως, τοῦ ψυχικοῦ πνεύματός φημι, τοῦ καὶ τὴν χροὰν τῆς βαφῆς ἑαυτῷ ἐξανθοῦντος καὶ ἐπιφέροντος; ὁ ♀ οὐ βάπτει, ἀλλὰ βάπτεται. τὸ γεῶδες γὰρ τῆς ὕλης ὡς παχυμερὲς ὑπάρχον οὐ βάπτει, ἀλλ᾽ ἡ ποιότης τῆς λεπτομεροῦς οὐσίας ἐκείνη εἰσκρίνει εἰς σῶμα· ὅταν δὲ ὁ ♀, τουτέστι τὸ σῶμα, διὰ τῆς μ̅γ̅ καλῶς οἰκονομηθῇ καὶ τὴν ἑαυτοῦ ἐξάξῃ λεπτομερῆ οὐσίαν, τότε βαπτικὸν γίνεται καὶ βάπτει. τὸν γὰρ ♀ φησὶ βάπτεσθαι καὶ οὐ βάπτειν. ὁ δὲ ♀ ἐστι τὰ τέσσαρα σώματα. αἱ δὲ βαφαὶ τὰ εἴδη τοῦ καταλόγου στερεὰ καὶ ὑγρὰ καὶ βοτάναι. στερεὰ μὲν ἀπὸ νεφέλης ἕως ⊙. ὑγρὰ δὲ ὕδωρ θεῖον. τὰ γὰρ θεῖα ὑπὸ τῶν θειωδῶν κρατοῦνται καὶ τὰ ἑξῆς. τὸ δὲ ἀληθὲς τοῦτό ἐστιν. ἡ φύσις τὴν φύσιν τέρπει καὶ νικᾷ καὶ κρατεῖ. πάλιν ἡ τοῦ ♀ τετρασωμία διὰ μ̅γ̅ ἀναφαίνεται καὶ αἱ ποικιλόχροοι τῶν εἰδῶν βοτάναι, ἐν τῇ τοῦ συνθέματος λειώσει ἐξανθίζουσιν. ὅταν κατάλογον αἱ λειώσεις γίνωνται, τότε καὶ χλοάζει ἐξανθοῦντα, βοτάναι ὅλως μὴ οὖσαι, εἰ μὴ τῷ χρώματι μόνον. οὐδὲ γὰρ δύνανται τὰ τοιαῦτα πυρὶ ὑπομεῖναι. στερεὰ γὰρ καὶ ὑγρὰ καὶ βοτάναι. στερεὰ μὲν καλεῖ σώματα τὴν λεύκωσιν καὶ ξάνθωσιν καὶ τὰ ἑξῆς εἰσκρινόμενα καὶ ἐν τοῖς σώμασι μένοντα καὶ ὅλως μὴ ἀναχωροῦντα, ἀλλὰ στερεῶς αὐτὰ διακρατοῦντα καὶ νικῶντα. ὑγρὰ δὲ ἐκάλεσεν, ὡς οὕτως αὐτὰ δι᾽ ὑγρῶν ἀποκαθίστασθαι, τουτέστι δι᾽ ὕδατος θείου. τί ἄρα ἐστὶ τοῦτο τὸ θεῖον ὕδωρ, καὶ διὰ τί θεῖον αὐτὸ ἐκάλεσεν; μέγα ὄνομα καὶ ἄξιον τοῦτο ὑπὲρ πάντα τὰ λοιπά. οὐδὲν γὰρ ἄνευ τούτου, συντελεῖ πρὸς τὸ ἔργον. θεῖον ὕδωρ ἐστὶ τὸ ἀμιγὲς καὶ διαυγὲς καὶ καθαρώτατον καὶ ἄσκιον ποιοῦν τὴν τῶν σωμάτων φύσιν, ὡς ἐν ἅλατι τὸ σῶμα καὶ σμῆχον, καὶ δρῶν ἐν τοῖς σώμασι, τὴν ἑαυτοῖς ἐμφωλεύουσαν φύσιν. συμπλεκόμενον γὰρ τῇ φύσει, καθαρώτατον τῷ εἴδει

καλῶς ἀπεργάζεται διὰ τῆς νεφέλης. ὀξὺ θεῖον ὕδωρ ἀναφερόμενον καὶ ἀνακαλούμενον. τὰ γὰρ θειώδη ὑπὸ τῶν θειωδῶν κρατοῦνται. θεῖα δέ εἰσι τὰ ἐμφωλεύοντα καὶ κολακευτικῶς ἐξαγόμενα, ψυχὴ καὶ πνεῦμα· ὑπὸ τῶν θειωδῶν καὶ ὑπὸ τῶν αὐτῶν κρατοῦνται τῇ ποιότητι τὰ σώματα εἰσκρίνοντα. τὸ δὲ ἀληθὲς τοῦτό ἐστιν· ἡ φύσις τὴν φύσιν τέρπει, καὶ ἡ φύσις τὴν φύσιν κρατεῖ, καὶ ἡ φύσις τὴν φύσιν νικᾷ. ὅτι γὰρ τὸ ἔνδον ἐμφωλεῦον διὰ τοῦ θείου ὕδατος καλῶς οἰκονομηθῇ, καὶ ἀποκαθαρισθῇ, τέρπεται πρὸς τὴν ἰδίαν τοῦ σώματος φύσιν εἰσκρίνουσαν ἑαυτὴν καὶ νικῶσαν καὶ ἐμμένουσαν τὴν ἰδίαν ἐν τούτοις ἀναγνωρίζουσα φύσιν. τέρπεται ἡνωμένη καὶ συμπλεκομένη τῇ ἀλληλουχίᾳ. ἀλλ' ὡς ἐπὶ τὸ προκείμενον ἔλθωμεν, τὰ τέσσαρα σώματα βάπτονται καὶ οὐ βάπτουσιν. ἡ γὰρ μ̅γ̅ μαγνησία λευκανθεῖσα οὐκ ἐᾷ ῥήγνυσθαι τὰ σώματα, οὐδὲ τὴν σκιὰν τοῦ ♀ ἐπιφέρεσθαι· βλέπε, τί λέγει ὁ φιλόσοφος. τὰ τέσσαρα βάπτονται καὶ οὐ βάπτουσιν, καὶ ἀπεσιώπησεν, καὶ οὐκ εἶπεν ὡς ἔθος αὐτῷ ἐστιν, καὶ ὅτε βάπτονται βάπτουσιν, ὧδε τὴν τῶν στερεῶν σωμάτων οὐσίαν. νόησον γὰρ μ̅γ̅. μ̅γ̅ γάρ φησι λευκανθεῖσα οὐκ ἐᾷ ῥήγνυσθαι τὰ σώματα, οὐδὲ τὴν σκιὰν τοῦ ♀ ἐπιφέρεσθαι. ποία μ̅γ̅, εἰ μὴ αὐτὸ τὸ ὅλον σύνθεμα; πῶς οὖν λευκαίνεται; ὅταν καλῶς οἰκονομηθεῖσα καὶ ὀπτηθεῖσα καὶ σὺν θειώδει ἀνακαθαρισθεῖσα, ἕκαστον τῶν στερεῶν σωμάτων, οὕτως τὰ ἐν βάθει κείμενα ἀνακαλύπτει ἐμφωλεύουσα ἐν αὐτοῖς γλυκεῖαν ποιότητα. τὰ εὔχρωα βλαστήματα ἐξεώσαντες δι' αὐτῶν τὴν τῶν σωμάτων βάπτεσθαι φύσιν. τὸ γὰρ σύνθεμα διὰ τοῦ θείου ὕδατος ποτιζόμενον, οὐκ ἐᾷ ῥήγνυσθαι τὰ σώματα. τὸ ☿, ἀλλὰ καὶ τὴν ἐνοῦσαν σκιὰν τῶν σωμάτων ἀπελαύνει τὸ ἀφ' ☾ τῇ μ̅γ̅ μιγέν. πᾶν σῶμα λευκαίνει. ὁ ☿ ἅμα τῇ ☽ πᾶν σῶμα λευκαίνει καὶ τὰ τούτων ὅμοια ἡ μ̅γ̅ ☽ καλή. βλέπε καὶ θαύμασον τὸ πῶς τὸ ἓν πολυωνυμίαν φέρει. τὰ μὲν ἀπὸ μονάδος, τὰ δὲ ἀπὸ δυάδος, τὰ δὲ ἀπὸ τριάδος, καὶ ἔτι πλείονα ἐπεκτείνῃ, ἕως οὗ τὸ ὅλον αὐτοῦ ἀποσωθῇ· τὰ μὲν ἀπὸ μονάδος τὸ πύρινον λέγω φάρμακον, τὰ δὲ ἀπὸ δυάδος, σὺν τῷ σώματι αὐτῷ τὸ σὺν ʒ9, τὰ δὲ ἀπὸ τριάδος ἤτοι ἡ σὺν τῷ θείῳ

ὕδατι ἀποκάθαρσις καὶ εἶτι ἐπεκτείνει, καὶ διοπτήσεως διέλθῃ, ἕως οὗ ὅλη αὐτοῦ ἀποσωθῇ καθαριζόμενον καὶ πληρούμενον τελειωθῇ καὶ ἀποπληρωθῇ τὸ ζητούμενον. ἡ γὰρ εἰς ☉ποιΐαν ὕλη ἐστὶν αὕτη ☽ ἡ ἀπὸ ☉ κινναβάρεως. ☽ λέγει, ποτὲ μὲν ἀπὸ ☉ ποτὲ δὲ τὴν ἀπὸ τοῦ ♉. καὶ ἡ μὲν ἀπὸ ☉ ἐστὶν ἡ μγ. ἡ δὲ ἀπὸ τοῦ ♉ τὸ θεῖον ὕδωρ τὸ ἐκ τοῦ συνημμένου ὀργάνου ἀναφερόμενον. καὶ ταῦτά εἰσι τὰ μεταλλοίοντα τὴν ὕλην. ὁ ♀ ὡς ἄνθρωπος καὶ ψυχὴν καὶ σῶμα ἔχει· χρὴ οὖν ἐξορφανίσαι τὴν ὕλην τοῦ σώματος ἵνα ἀπομείναντος τοῦ πνεύματος, ὅ ἐστι τὸ βαπτικόν, ἁρμοσθῇ πρὸς παντὸς τοῦ ζητουμένου τελείωσιν· τί ἐστιν ὁ ♀ ὥσπερ ἄνθρωπος τὸ ἔνυλον σῶμα τὸ τὴν σκιὰν ἔχον; τίς αὐτοῦ ἡ ψυχή, καὶ ποῖον τὸ σῶμα; ἡ ψυχὴ μὲν τὸ λεπτομερὲς ἐν αὐτῷ, τὸ δι' οἰκονομίας προερχόμενον, τουτέστι τὸ βαπτικὸν πνεῦμα. τί δέ ἐστιν τὸ σῶμα; τὸ βαρύ καὶ ἔνυλον καὶ γεῶδες καὶ σκιὰν ἔχον· χρὴ οὖν ἐξορφανίσαι τὴν ὕλην. πῶς ἐστιν ἐξορφανίσαι τὴν ὕλην, εἰ μὴ τῷ πυρρίνῳ φαρμάκῳ; τί δέ ἐστιν ἐξορφανίσαι; ταπεινῶσαι καὶ φθεῖραι καὶ διαλῦσαι καὶ θανατῶσαι, καὶ πᾶσαν αὐτοῦ τὴν ἔνυλον ὕλην ὑποσπάσαι, καὶ πολλὴν ταχύτητα, ἵνα ἀπομείναντος τοῦ πνεύματος καὶ ἀναφανέντος ὅ ἐστι τὸ βαπτικόν, ἁρμοσθῇ πρὸς τὴν τοῦ ζητουμένου τελείωσιν. τοῦτο γὰρ ἕτοιμον καὶ ἐπιτήδειον πρὸς παντελῆ συμπλήρωσιν. ἐκ τῶν αἰσθητῶν μετάβηθι ἐπὶ τὰ νοητὰ θεάματα, καὶ ἴδε τῶν οὐρανίων τὴν πολλὴν εὐκοσμίαν καὶ ἄϋλον. ὁ τὰς τούτων εὐπρεπείας θεασάμενος, ἐπέκεινα τὸν νοῦν ἀνυψώσας καὶ τὴν πολλὴν καὶ ὑπεραστράπτουσαν τῆς δόξης καὶ χαρᾶς τοσαύτης τῶν ἀγγέλων ἐννοῶν, μὴ παρατραπῇς τὸ λοιπὸν ἐπὶ τὴν ἔνυλον μόρφωσιν τῆς χαμαιζήλου ταύτης, τοῦ μετὰ χεῖρα ζηλουμένου καὶ ἀνακαλυπτομένου τῆς ἐμφιλοσόφου ☉ποιΐας. ἀλλ' ὅλον σεαυτοῦ τὸν νοῦν ἐπὶ τὰ ἄνω αἶρε. καὶ φωτοειδῆ τῶν ὑπερτάτων οὐσιῶν ἀναπτερώσασθαι, ἂν νοεροῖς ὄμμασι τὰ ἀναρίθμητα καὶ ἀμήχανα τούτων κάλλη, καὶ πρὸς τὸ φῶς ἐκεῖνο τὸ ὑπὲρ πᾶν φῶς ἀτενίσας καὶ θαυμάσας τὰ ἔργα τε πάντα τὰ ἐν κόσμῳ ἀποθέμενος. καὶ τὸν προαιρετικὸν μελετήσας θάνατον, καὶ ὅλον

τὸ ἑαυτοῦ σῶμα κατανεκρώσας, ἔτι δὲ καὶ τὴν ἑαυτοῦ ψυχὴν ἀρνησάμενος, ὕμνοις ἀσιγήτοις τὸν παμβασιλέα τῶν ὅλων καὶ κύριον τῆς δόξης δοξολογήσας καὶ ὑμνήσας. τρόμῳ δὲ καὶ φόβῳ φρίξας τὴν παντοδύναμον δύναμιν, ἐννόησον αὐτοῦ τὴν ὑπεράγαθον ἀγαθότητα, πῶς τὰ πάντα παρήχθη διὰ τῆς ἀρρήτου αὐτοῦ σοφίας. ἠλιγγιᾷ δὲ γλῶττα καὶ νοῦς, καὶ οὐκ ἰσχύει φέρειν ἢ ὅλως ἐξερευνῆσαι καὶ εἰπεῖν τὰ μεγαλεῖα τοῦ παντοκράτορος. ταῦτα δὲ πάντα ἐν ἑαυτοῖς κατανοήσαντες σπουδάσωμεν καὶ ἡμεῖς, ὦ ἀδελφοί, διὰ πίστεως καὶ ἀγάπης ἑνωθῆναι καὶ οἰκειωθῆναι τῷ θεῷ λόγῳ, τῷ ἡμᾶς ἀγαπήσαντι καὶ αὐτὸν τὸν κύριον καὶ θεὸν ἀγαπῆσαι ἐξ ὅλης ψυχῆς καὶ ἐξ ὅλης τῆς διανοίας καὶ ἐξ ὅλης τῆς καρδίας καὶ αὐτὸν τὸν τῆς ζωῆς θησαυρὸν θαυμάσαντες δοξάσωμεν ἀεὶ καὶ διὰ παντὸς ἐν παντὶ καιρῷ τε καὶ τόπῳ τῇ θεολογίᾳ ἐπευφραινόμενοι, καὶ τῆς τοῦ θεοῦ συνομιλίας ἀξιούμενοι τῆς χάριτος ἐμπλησθῶμεν, κατοικητήριον θεοῦ γενόμενοι, τὸ ἡδὺ φῶς τοῦ θεοῦ ἐναπολαύσωμεν, πρὸς ἐκεῖνο τὸ φῶς σπεύδοντες τὸ φωτιστικὸν πάσης τῆς λογικῆς φύσεως, τὸ φωτίζον καὶ καταυγάζον τὰς αἰσθήσεις καὶ καρδίας καὶ διανοίας πάντων τῶν ἀγαπώντων τὸν κύριον, ἧς γένοιτο ἡμᾶς διὰ πίστεως καὶ ἀγάπης θεοῦ ἐπὶ τὸν λιμένα καταντῆσαι τοῦ θελήματος αὐτοῦ, καὶ τῶν αἰωνίων ἀπολαῦσαι ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς υἱοῦ τοῦ θεοῦ, μεθ' οὗ τῷ πάντων αἰτίῳ καὶ παμβασιλεῖ καὶ ἀφθάρτῳ θεῷ καὶ πατρὶ τῶν ὅλων, σὺν τῷ θείῳ καὶ προσκυνητῷ καὶ ζωοποιῷ τῆς μεγαλοσύνης αὐτοῦ πνεύματι σέβας, κράτος, λατρεία, τιμή, δόξα, μεγαλοπρέπεια, ὕμνος ἀΐδιος, πρὸ πάντων τῶν αἰώνων, καὶ μετὰ πάντας τοὺς αἰῶνας καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς σύμπαντας καὶ ἀϊδίως διαιωνίζοντας αἰῶνας τῶν αἰώνων, ἀμήν.

## *Τοῦ αὐτοῦ Στεφάνου φιλοσόφου διδασκαλία πρὸς Ἡράκλειον τὸν βασιλέα. πρᾶξις σὺν θεῷ ἐννάτη.*

---

*Ὁ ἄναρχος καὶ ὑπεράρχιος θεός, ὁ ἀγαθὸς καὶ ὑπεράγαθος τῇ φύσει, καὶ φιλάνθρωπος τῷ τρόπῳ, ὁ ἀπερίγραπτος καὶ ἀκατάληπτος, ὁ καθολικὸς θεὸς καὶ παντοκράτωρ, ὁ δημιουργὸς πάσης τῆς κτίσεως, ὁ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγαγὼν τὰ πάντα, ὁ τῇ ἰδίᾳ δόξῃ καὶ βουλήσει καὶ δυνάμει καὶ σοφίᾳ κτίσας τὰ σύμπαντα, καὶ καθ' ὁμοίωσιν καὶ κατ' εἰκόνα πλάσας τὸν ἄνθρωπον λογικόν τε καὶ νοερὸν καὶ αὐτεξούσιον, καὶ ποιήσας αὐτὸν βασιλέα πάσης τῆς αὐτοῦ κτίσεως, αὐτός σε ὁ παντοκράτωρ καὶ βασιλεὺς τῶν βασιλευόντων οἰκουμενικὸν καὶ αὐτοκράτορα βασιλέα κατέστησεν ἐπὶ πάσης τῆς γῆς. καὶ ἄρχειν πάσης τῆς αὐτοῦ κτίσεως μετ' εὐμενείας καὶ συνειδήσεως ἀνέδειξεν, καὶ ὑπὸ τῆς αὐτοῦ συνεκτικῆς τε καὶ ποιητικῆς δεξιᾶς τὸ νεῦμα ἐχαρίσατο, καὶ ἐκ τῆς ἀεννάου αὐτοῦ πηγῆς πᾶσα εὐφροσύνη καὶ δώρημα ἀγαθὸν ἐν σοι ἐβλάστησεν, καὶ τὰς πολυμερεῖς ἰδέας τῶν ἀγαθοεργιῶν τῆς θεοστέφου σου γαλήνης καὶ πολυτρόπου εὐσεβείας ὑπέδειξεν καὶ λάτρην καὶ ὁμολογητὴν τὸν μόνον ἀληθινὸν θεόν, καὶ ὃν ἀπέστειλεν Ἰησοῦν Χριστὸν τὸν υἱὸν τοῦ θεοῦ τοῦ ζῶντος ἀνέδειξεν. δίκαιον οὖν λοιπόν σοί ἐστιν, ὡς ἀληθῶς, ὦ θεόστεπτε βασιλεῖ, προσδραμεῖν μετ' εὐμενείας καὶ φόβῳ θεοῦ καὶ ἀνυποκρίτῳ ἀγάπῃ, ἵνα δυνηθῇς διὰ τῆς χάριτος τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ποταμοὺς ἀναβλύσαι ὕδατος ζῶντος, καὶ κληρονομῆσαι τῆς μεγάλης ἐκείνης ἐφέσεως τῆς ἐκ δεξιῶν τοῦ θεοῦ παραστάσεως. ὧν οὖν ἄξια τὰ νῦν ὁρώμενα καὶ θαυμαζόμενα πρὸς τὴν μακαρίαν ἐκείνην λῆξιν, μόνον οἰκειωθῶμεν αὐτῷ δι' ἀγάπης καὶ ληψόμεθα παρ' αὐτοῖ τὴν ἐξ ἀβύσσου ἄβυσσον πηγάζουσαν ἡμῖν ἔλεος, ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσεν, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ θεὸς τοῖς κατά σε καὶ τοῖς ἀγαπῶσιν αὐτὸν ἀπὸ καταβολῆς κόσμου, ᾧ πρέπει δόξα*

τιμή τε καὶ καλοπρέπεια τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι εἰς τοὺς αἰῶνας καὶ τῶν αἰώνων καὶ ἐπαιώνων καὶ ἔτι, ἀμήν. — Πάλιν ἐπὶ τὸ προκείμενον ἐπαναλεύσομαι, καὶ τὸν πόθον σου, ὦ πανάριστε βασιλεῦ, ἀνασπηλώσω καὶ ἐπιφανῶς τὰς ῥήσεις ποιοῦμαι, ἵνα τοσοῦτον ἐρᾶν ἀξιωθῇς μεθ' ὑμνῳδίας θεολογεῖν τὴν ὑπεράγαθον τοῦ θεοῦ ἀγαθότητα, τὴν πολυπληθείαν τῶν ἐνύλων ἀπωσάμενος καὶ ὑπὸ τῆς εὐσπλαγχνίας τοῦ πάθους ἐπειγόμενος. καὶ τὴν τῶν ἀρχαίων εἰσβολὴν τυπικῶς ἐπισκέπτομαι, ἐφ' ἧς οὐδὲν ὑπολέλειπται, οὐδὲν ὑστερεῖ, πλὴν τῆς νεφέλης καὶ τοῦ ὕδατος ἡ ἄρσις. ἐγὼ δὲ τῇ εἰκόνι χρησάμενος τῇ ἀληθινῇ εἶπον ὕδωρ χαλκάνθου αὐτό. καὶ γὰρ ἐκεῖ γένεσις τοῦ ♀ καὶ ἡ χάλκανθος ποιεῖ τὸ χρυσίον· ἰὸν φησιν ὁ φιλόσοφος, καὶ αὐτὸς ἔφη ἐστὶν ὁ ἁρμόζων ἐπὶ παντὸς τοῦ ζητουμένου τελείωσίν τε καὶ ἀπαρτισμόν. καὶ πόθεν δείξει, ὅτι ἰός ἐστι πνεῦμα ἀρσενοήτου, ὡς ἔχει ἡ βίβλος; οὕτως ἐκτίθεται καὶ Ἀγαθοδαίμων καὶ οἱ περὶ τοῦτον· καί φασι βάλε ἐκ τῆς οὐσίας τῆς ἀρυσθείσης ἀπὸ τοῦ ὑψίστου ἵνα θειοθεῖσα ἡ δύναμις καὶ ἐμπνευματωθεῖσα θεῖον ἔργον ἀποτελέσῃ. ποίας δὲ χάριν αἰτίας ἅμα τοῦ θείου ζητῶ καὶ τίς ἡ διαφορὰ τοῦ ἀρυσθέντος πρὸς τὸ μὴ ἀναπαύεσθαι, ἵνα ἐξορφανισθῇ τῆς ὕλης, καὶ γένηται μόνη ψυχὴ καὶ πνεῦμα καὶ πῦρ ἀνωφερὲς καὶ χρῶμα λάβῃ καὶ πυριμαχώτερον γένηται, καὶ καθεκτικώτερον καὶ ἐπιδεικτικώτερον, ἅτε δὴ ὡς ἐπίπεδον σῶμα ὡς τὸ τῶν δαιμόνων καὶ τῶν ἐπεισερχομένων. ῥίζα γὰρ τοῦ στερεοῦ τὸ ἐπίπεδον. ὡς δὲ νοήμοσι καὶ ταῦτα πάντα ἐπισταμένοις ὑμῖν διαλέγομαι. πνευματωθὲν οὖν καὶ ἄνω φερόμενον ὡς πῦρ μεθόδῳ τρόπον τινὰ συνεξομοιοῦται τῷ πυρί, καὶ εἰσδυτικώτερον καὶ καθεκτικώτερον γίνεται. αὗται δὲ αἱ μέθοδοι ἀπὸ τῆς τοῦ κόσμου φύσεως ηὕρηνται ὥσπερ γὰρ τὰ τέσσαρα στοιχεῖα εἰς αὐτὰ μεταβάλλονται καὶ γίνονται ὃ οὐκ ἦσαν τῆς οὐσίας τῇ οὐσίᾳ μὴ οὔσης ἐναντίας (τὸ γὰρ πῦρ γίνεται γῆ, καὶ ἡ γῆ γίνεται ὕδωρ, καὶ τὸ ὕδωρ ἀὴρ καὶ πάλιν τὸ ὕδωρ γῆ καὶ ἀπὸ γῆς ἕως ἄνω) καὶ εἰς ἑαυτὰ μεταβαλλόμενα καὶ ἀναλυόμενα πάντα κατεργάζονται, ὡς ἔχει παρ' Ἑρμῇ· αἱ γὰρ

ποιότητες ἐν αὐταῖς ἐναντιοῦνται, ἀλλ' οὐχὶ αἱ οὐσίαι οὕτως. τὸ σύνθεμα γῆ ὄν, γίνεται ὕδωρ καὶ ἐξ ὕδατος ἀήρ, καὶ ἐξ ἀέρος πῦρ. ὥσπερ οὖν ἐκ τοῦ οὐρανοῦ καμαροειδῶς τῇ γῇ ἐπικειμένου, ταῦτα πάντα εἰσὶν ἐκ τῶν ἀναθυμιάσεων, οὕτως καὶ ἐκ τῆς κύθρας ἤτοι λωπάδος, ὡς ἐκ γῆς, καὶ ἐκ τοῦ ἐπικειμένου φανοῦ, ὡς ἐξ οὐρανοῦ σφοδραὶ γίνονται αἱ μεταβολαί. καὶ ὥσπερ αἱ τῆς γῆς σήψεις ἀναθυμιώμεναι μεταβάλλονται, οὕτως καὶ ὁ ἰὸς συμμεταβάλλεται ἀναθυμιώμενος. τὸ δὲ αὐτὸ κατανοήσεις καὶ ἐπὶ τῆς τοῦ ἀνθρώπου κεφαλῆς, οἰκίας δίκην ἐπικειμένης τῷ σώματι, καὶ τὰ ὑγρὰ μεταβαλλούσης τῷ ἐπικρατοῦντι πάθει, ὡς αἱ τροπαί. ὥσπερ γὰρ οὐ μάτην εἶπεν λειούμενα, οὕτως καὶ ὧδε, οὐ μάτην ἕψεται πράως, καὶ μετεωρίζεται ἄλληλα, τῇ μὲν πραότητι τὸ πνεῦμα τὸ βαπτικὸν ἐκκαλεῖται κρυβόμενον, τῇ δὲ μετεωρίσει τὸ παρ' αὐτῶν διδάσκουσιν ἀνωφερὲς καὶ πνεῦμα ἀσώματον καὶ ψυχὴν τοῦ παντὸς συνθέματος ἤτοι σώματος. ὥσπερ οὖν ἡ ψυχὴ τοῖς σώμασι δείκνυσιν ἑαυτὴν ζυμοῦσαν τὸ πᾶν, ἔχουσαν ἐν αὐτῇ τὰς τρεῖς οὐσίας συνεργητικάς, κίνησιν, αἴσθησιν, πύρωσιν, οὕτως καὶ τοῦτο τὸ πνεῦμα τὸ πυρρινὸν γενόμενον, καὶ ψυχὴ ἀσώματος, ἐνδυσάμενον τὸ σῶμα τοῦ παμβαφίου ἐν αὐτῷ κρυβόμενον ὡς ἐπίπεδον, ἐν στερεῷ. χαυνωθεὶς ὁ ἄσιμος ἀπὸ τοῦ πυρός, καὶ ἐπιβληθέντος τοῦ φαρμάκου τὸ κρυπτόμενον ἐν τοῖς σώμασι πνεῦμα τὸ πυρρινὸν τὸ ἀνωφερὲς εἰσπηδᾷ εἰς τὸν πύρρινον ἄσιμον χαῖρον καὶ τὰ σώματα τὰ κατέχοντα αὐτὰ αὐτὸ ὡς ψυχήν, μὴ δυνάμενα εἰσελθεῖν τάχιον ἀδυνατοῦντα, διὰ σώματος διαβῆναι σώματα ὄντα, ἔνθεν οὐδὲ ἐπιστάθμην φέρει τὸ βαφέν, ὡς μὴ μετασχὸν σωμάτων. ἁρπασθέντος γὰρ τοῦ βαπτικοῦ πνεύματος ὑπὸ τοῦ ☾ ἀπὸ τοῦ παμβαφιαστικοῦ συνθέματος, τοῦ μὲν γίνεται θάνατος, τοῦ δὲ θατέρου ζωή· ἐξήφθησαν γὰρ ἀπ' ἀλλήλων ὡς καὶ ὁ Πλάτων μαρτυρεῖ, τῆς γὰρ ποιοποιοῦ φύσεως αὐτῶν τὸ ποιοῦν ἁρπασθὲν ὑπὸ τοῦ ἀσίμου μηδενός φησιν κωλύοντος ἔβαψεν. καὶ ταῦτα μὲν ἐπὶ τοσοῦτον. περὶ δὲ τῆς διαφόρου αἰτίας τοῦ ἀνασπωμένου ὕδατος, μὴ τοῦτό σε πτοήσῃ, κἂν γὰρ ὁ ἰός ἐστιν ὁ ἀνασπώμενος, οὐ μόνον

ἅπαξ, ἀλλὰ καὶ δὶς καὶ τρὶς κατὰ ἀρσενοήτας. ἐπειδὴ οὖν ἀπεδείχθη κατὰ τὸ ἐνδεχόμενον ἰὸς ὕδωρ θείου ἄθικτόν ἐστι πάντως καὶ πήξεως ἔχει χρείαν, ἐπεὶ πῶς ἔλεγεν καὶ κόμη ὀλίγον πᾶν σῶμα βάψεις. φέρε τοίνυν καὶ Μαριὰμ καὶ τὰς Ἰουδαικὰς γραφὰς ἀμφοτέρων σε διδασκούσας ἐξείπωμεν. οὕτως ἡ Μαρία· κάτοχος πάντων τῶν πυροφεύκτων ἀλάβαστρον, τὸν πάνυ λευκότατον λίθον, τὸ ἐγκέφαλον τῷ νῷ σῶζον ἔχοντα ὡς θέρμην. τοῦτον λαβὼν λείωσον καὶ ταρίχευσον ὄξει καὶ βαλὼν εἰς κωθώνιον μετὰ πάντα, φησίν, ἔγκρυψον εἰς κόπρον ἱππείαν ἢ ὀρνιθείαν μέχρι εἴκοσι ἡμερῶν καὶ τὰ ἑξῆς. τὰ δὲ αὐτὰ φράζει καὶ Θεόφιλος ὁ Θεαγένους λέγων· ἔστι τι γεννώμενον ἐν Αἰγυπτιακῇ χώρᾳ λίθος κάλλιστος καὶ θεοφιλέστατος λοιπὸν καὶ τὸ πέρας τῆς ἀφθόνου γραφῆς εἰς σῆψιν καταλήγει, εἰς τὸ ἐμφανὲς μυστήριον, τὸ ὕδωρ τοῦ θείου τὸ ἄθικτον, ἰοῦ δ' οὐδὲν ἀθικτότερον οὐδὲ διαβαπτικώτερον, ταύτῃ τῇ οἰκονομίᾳ ὁ Ἀγαθοδαίμων καὶ κατόχιμα ποιεῖ πάντα καὶ πυρίμαχα. φησὶ γὰρ καὶ ἕξεις κρόκον πυρίμαχον κάτοχον εἰληφότα φύσιν. τοῦτο ἐφ' ἑκάστου σχεδὸν εἴδους λέγει τὴν σῆψιν ὑποτιθέμενος. τί γὰρ τούτου λαμπρότερον εἶχεν εἰπεῖν, εἰ μὴ καὶ ἀπ' αὐτοῦ τοῦ ἰοῦ αἰθάλην αἱρεσθαι συμβουλεύων, καί φησιν, ἐν ταῖς αἰθάλαις αὐτοῦ, ὅτι αὕτη ἡ αἰθάλη καὶ τῇ ὑδραργύρῳ μιγεῖσα παραμονιμώτερον τηρεῖ τὸ πνεῦμα τῆς ☽ καὶ περὶ μὲν τῶν ἀμφιβαλλομένων πότερον· εἰ οὕτως ἔχει, ἢ ὡς ἄλλως οὐδὲν ἔχεται καμεῖν· τοῦτο γὰρ τὸ πρᾶγμα τὸ ζητούμενόν ἐστιν, ὅτι ὕδωρ τοῦ ♈ τὸ ἄθικτον καὶ ὁ ἰὸς ταυτόν ἐστι καὶ τοιοῦτος. ἀλλ' ὄντως ἡ σύμπασα ἀναλίσκεται τέχνη. ἐν αὐτοῖς γὰρ λοιπὸν ἐπινοεῖται ὅτι ἐκ τοῦ ἑνὸς συνθέματος τὰ πάντα γίνεται, καὶ τὸ βάπτον καὶ τὸ βαπτόμενον καὶ τὸ φεῦγον καὶ τὸ διῶκον, καὶ τὸ ἴδιον καὶ τὸ ἐναντίον, καὶ τὸ ἄρρεν καὶ τὸ θῆλυ καὶ τὸ γαμοῦν καὶ τὸ γαμούμενον, καὶ τὸ ποιοῦν καὶ τὸ πάσχον· εἷς γάρ ἐστιν ὁ ὄφις ὁ ἔχων τὰ δύο συνθέματα καὶ τὸν ἰόν. ἓν γὰρ τὸ πᾶν δι' οὗ τὸ πᾶν δυνατὸς χίμης. καὶ εἰ μὴ τὸ πᾶν ἔχοι τὸ πᾶν, οὐδὲν τὸ πᾶν φησιν ὁ πᾶν δυνατὸς χίμης. καὶ φησιν ἡ φωνὴ ἡ ἱερατικὴ κήρυται. ὁ πᾶν ὁ ἀπὸ κτίσεως Αἰγύπτου ζητού-

μενος τὸ μέντοι ἀρρήκτους ποιεῖν τὰς οὐσίας καὶ ἀφεύκτους τὰς βαφάς· οὐκ ἔτι θείου ἐστὶ μόνου, ἀλλὰ καὶ τῶν οὐσιῶν τῶν λευκανθεισῶν καὶ μαλαχθεισῶν καὶ ἀρενοτωθεισῶν. ὁπηνίκα γὰρ αἱ οὐσίαι ἀπὸ τοῦ λευκοῦ θείου ἐν τελειώσει καὶ ὀπτήσει καὶ σήψει πάθωσι ταῦτα, τὸ τηνικαῦτα καὶ αὗται θεῖον γενόμεναι, ἄκαυστον μένει. καὶ ποιήσασαι ὅπερ πεπόνθασι μετουσίᾳ δόσεως καὶ λήψεως, τότε ἄμφω θεῖα γενόμενα ποιοῦσιν ἀρρήκτους τὰς οὐσίας, τουτέστι μὴ ἀπορρηγνυμένας ἀλλήλων. λοιπὸν τί φησιν τὴν πολύϋλον φαντασίαν μιᾶς φύσεως νικώσης τὸ πᾶν. ταύτην τὴν φύσιν ἀπ' ἀρχῆς ἕως τέλους κατανοήσας, εὑρήσεις μυστήριον ἐμφανές, τουτέστι τὰ κυμβάλεια, τί γάρ φησιν λέγει εἰς τὴν τῶν εἰδῶν ἀναφώνησιν; ὦ φύσεις οὐρανίων φύσεων δημιουργοί, ταῦτα ἀναλυόμενα πάντα κατεργάζεται. τί οὖν ἐστι τοῦτο τὸ ἀναλῦσαι; δεῦρο ἐπὶ τοὺς ζωμούς, καὶ μάθε. δέξαι κρόκον τὸν Κιλικίας ἅμα ἄνθει τοῦ κνίκου τῷ προσταγέντι χυλῷ τῆς ἀμπέλου καὶ κατὰ μίαν τάξιν τῶν ζωμῶν εὑρήσεις τὴν ἀνάλυσιν. δεῦρο καὶ ἐπὶ τὸ λευκὸν καὶ πάλιν ἐπὶ τὸ αὐτὸ ἡ ἀνάλυσις. ἀνάλυσις ὕδωρ σποδοῦ λευκίνων ξύλων. φησὶν οὖν τί ποιεῖ αὕτη ἡ ἀνάλυσις; αὐτός σε διδάσκει λέγων. ἔα κάτω καὶ γενήσεται. ἆρα τί γίγνεται; οὐκ ἄρα ἰὸς νοερός; καί φησιν ἐν τοῖς ζωμοῖς. μετὰ τὸ ἔα κάτω, καί γέλεσαν καὶ ἀλήθεσαν, καὶ ἀλήθειαν εἶπον. ἕτεροι δὲ σώματα ἐκάλεσαν. ἄλλοι θεῖον καὶ οὐκ ἐπταισαν καὶ διὰ τοῦτο ἐσπάρη ἡ πλάνη ἐν τῷ κόσμῳ διὰ τὸ πλῆθος τῶν ἐπωνυμιῶν, καὶ οἱ ἄφρονες ἐπλανήθησαν καὶ ἐξωστρακίσθησαν τῆς ἀληθείας, περὶ τῶν τεσσάρων στοιχείων καὶ τῶν πέντε. εἰς αὐτὰ γὰρ ἀποσώζεται. τινὲς μὲν ἐκάλεσαν τὰ σώματα καὶ ἔθηκαν αὐτὰ κατέναντι ἀλλήλων, καθὼς ἔθηκεν αὐτὰ ὁ δημιουργός. πρῶτον μὲν ἔθηκαν τὸν κρόνον, κατέναντι αὐτοῦ τὸν μόλιβδον ἐν τῷ στέγει τῷ ἀνωτάτω, καὶ μετεθείκασιν μετ' αὐτὸν τὸν δία, καὶ κατέναντι αὐτοῦ τὴν ὑδράργυρον ἐν τῷ στέγει τῷ δευτέρῳ. καὶ τεθείκασι μετ' αὐτὸν τὸν ἥλιον ἐν τῷ στέγει τῷ μέσῳ, καὶ τεθείκασι μετ' αὐτὸν τὴν σελήνην ἐν τῷ στέγει τῷ ἐσχάτῳ, ἕκαστον πρὸς τὸν ἕτερον, καθὼς ἔθηκεν αὐτὰ ὁ δημιουργός. καὶ τοῦ ἑτέρου

ἕκαστον διΐσταται, καὶ ἑνὶ τροχῷ ὑποζευγνύονται, καὶ εἷς ἀνὴρ διακονεῖ αὐτοῖς, καὶ δι' ἑνὸς πνεύματος στέργονται, καὶ ἐν ἀλλήλοις ἀτενίζουσιν καὶ ἐν ἀλλήλοις συνεκδημοῦσιν, καὶ σὺν ἀλλήλοις καταλύουσιν, καὶ ἐν ταῖς στέγαις αὐτῶν περιπατοῦσιν καὶ καλῶς ἔθηκεν αὐτὰ ὁ δημιουργός. ἐν γὰρ τῇ γῇ εὑρίσκονται καὶ ἐν τῷ ἀέρι ὑπάρχουσι, καὶ ἐν ὕδατι καὶ πυρί εἰσιν, ὅλως εἰρήνην μετ' ἀλλήλων ἔχουσιν, καὶ εἷς δημιουργὸς διακονεῖ αὐτοῖς καὶ διοικεῖ αὐτούς, καὶ ἑνὶ ζυγῷ ὑπεζεύχθησαν πάντες, καὶ ἓν πόμα πίονται. ἐκ γὰρ τῆς γῆς τρέφονται καὶ ἕκαστον αὐτῶν τὸ ἴδιον διακονεῖ καὶ ἐν τῇ στέγει τῇ ἰδίᾳ ἵσταται, καὶ τὸ θέλημα τοῦ πεποιηκότος ποιεῖ, καὶ ἕκαστον αὐτῶν ἐν τῇ γῇ κέκρυπται ἐν τῇ ἰδίᾳ δόξῃ. καὶ ὑμεῖς, ὦ φίλοι, ὅτ' ἂν τὴν τέχνην ταύτην τὴν περικαλῆ βούλεσθε προσεγγίσαι, βλέπετε τὴν φύσιν τῶν βοτανῶν πόθεν ἔρχονται. τὰ μὲν γὰρ ἐκ τῶν ὀρέων κατέρχονται, καὶ τὰ μὲν ἐκ τῆς γῆς ἀναφύονται, καὶ τὰ μὲν ἐκ κοιλάδων ἀνέρχονται, τὰ δὲ ἐκ πεδίων ἄγονται. ἀλλὰ βλέπετε πῶς προσεγγίζετε αὐτοῖς. ἐν καιροῖς γὰρ καὶ ἐν ἰδίαις ἡμέραις τρυγήσατε αὐτὰ καὶ ἐκλέξασθε ἐκ τῶν νήσων τῆς θαλάσσης, ἐκ τῆς χώρας τῆς ἀνωτάτης, καὶ βλέπετε τὸν ἀέρα τὸν διακονοῦντα αὐτοῖς καὶ τὸν σῖτον τὸν περικυκλοῦντα αὐτοῖς, μὴ λυμήνῃ τε μηδὲ θανατώσηται. βλέπετε τὸ θεῖον ὕδωρ τὸ ποτίζον αὐτὰ καὶ τὴν νεφέλην τὴν βαστάζουσαν αὐτὰ καὶ τὸν ἀστέρα τὸν κυβερνῶντα αὐτά· καὶ ὅταν ἑνωθῶσι ἕν εἰσι καὶ οὐδεὶς δύναται διαχωρίζειν αὐτά, ἐπειδὴ ἐσωματώθησαν ἐν μιᾷ οὐσίᾳ. ἀποκριθεὶς Ὠστάνης καὶ οἱ σὺν αὐτῷ ὄντες εἶπον τῇ Κλεοπάτρᾳ, ἐν σοὶ κέκρυπται ὅλον τὸ μυστήριον τὸ φρικτὸν καὶ παράδοξον. σαφήνισον ἡμῖν τηλαυγῶς, καὶ περὶ τῶν στοιχείων, εἰπὲ πῶς κατέρχεται τὸ ἀνώτατον πρὸς τὸ κατώτατον καὶ πῶς ἀνέρχεται τὸ κατώτατον πρὸς τὸ ἀνώτατον, καὶ πῶς ἐγγίζει τὸ μέσον πρὸς τὸ ἀνώτατον καὶ κατώτατον καὶ οὐκ ἀπαιτοῦσι τὰ μέρη τοῦ προελθεῖν καὶ ἑνωθῆναι τὸ μέσον, καὶ τί τῶν στοιχείων αὐτοῖς; καὶ πῶς κατέρχονται τὰ ὕδατα τὰ εὐλογημένα τοῦ ἐπισκέψασθαι τοὺς νεκροὺς παρειμένους καὶ πεπεδημένους καὶ τεθλιμμένους ἐν σκοτώσει καὶ γνόφῳ ἐντὸς

τοῦ ᾅδου, καὶ πῶς εἰσέρχεται τὸ φάρμακον τῆς ζωῆς καὶ ἀφυπνίζει αὐτοὺς ὡς ἐξ ὕπνου ἐγερθῆναι τοῖς κτήτορσιν; καὶ πῶς εἰσέρχονται τὰ νέα ὕδατα, ἅπερ ἐν τῇ ἀρχῇ τῆς κλίνης, καὶ ἐν τῇ κλίνῃ τικτόμενα, καὶ μετὰ τοῦ φωτὸς ἐρχόμενα καὶ νεφέλη βαστάζει αὐτά, καὶ ἐκ θαλάσσης ἀναβαίνει ἡ νεφέλη ἡ βαστάζουσα τὰ ὕδατα, τὰ ἐμφανισθέντα δὲ θεωροῦντες οἱ φιλόσοφοι χαίρονται. ἡ δὲ Κλεοπάτρα ἔφη πρὸς αὐτούς· τὰ ὕδατα εἰσερχόμενα ἀφυπνίζουσι τὰ σώματα καὶ τὰ πνεύματα ἐγκεκλεισμένα καὶ ἀσθενῆ ὄντα· πάλιν γάρ φησιν θλίψιν ὑπέστησαν καὶ πάλιν περικλεισθήσονται ἐν τῷ ᾅδῃ, καὶ κατὰ μικρὸν φύονται καὶ ἀναβαίνουσι καὶ ἐνδύονται ποικίλα καὶ ἔνδοξα χρώματα, καθάπερ τὰ ἄνθη ἐν τῷ ἔαρι, καὶ αὐτὸ τὸ ἔαρ εὐφραίνεται καὶ γάννυται ἐν τῇ ὡραιότητι ἣν περίκειται· ὑμῖν δὲ λέγω τοῖς εὖ φρονοῦσι· τὰς βοτάνας καὶ τὰ στοιχεῖα καὶ τοὺς λίθους ὅταν ἐπαίρητε ἐκ τῶν τόπων αὐτῶν, ὡραῖοι μὲν φαίνονται λίαν καὶ οὐχ ὡραῖοι, ἐπειδὴ τὰ πάντα τὸ πῦρ δοκιμάζει· ὅταν δὲ ἐνδύσωνται τὴν δόξαν ἐκ τοῦ πυρὸς καὶ τὴν χροιὰν τὴν περιφανῆ, ἐκεῖ ὁράσεις μείζονες δόξα κεκρυμμένη, τὸ σπουδαζόμενον κάλλος, καὶ χρότης μεταβληθεῖσα εἰς θεότητα, ὅτι ἐν τῷ πυρὶ τιθήνησιν αὐτά, ὥσπερ τὸ ἔμβρυον ὑπὸ τῆς γαστρὸς τιθηνούμενον καταβραχὺ αὔξει. ὅτε δὲ προσεγγίσει ὁ μὴν ὁ νενομισμένος οὐ κωλύεται τοῦ μὴ ἐξελθεῖν. οὕτως ὑπάρχει καὶ ἡ τέχνη αὕτη ἡ ἀξιάγαστος· τιτρώσκουσιν αὐτὴν κλύδωνες καὶ κύματα, ἀλλ' ἐπάλληλα ἐν τῷ ᾅδει καὶ ἐν τῷ τάφῳ, ἐν ᾧ κατάκειται. ὅταν δὲ ἀνεωχθῇ ἡ τάφος, ἀναβήσονται αὐτὰ ἐξ ᾅδου ὡς οἷα βρέφος ἐκ γαστρός. θεωρήσαντες οἱ φιλόσοφοι τὸ κάλλος, οἷα φιλόστοργος μήτηρ τὸ τεχθὲν ἐξ αὐτῆς βρέφος, τότε ζητοῦσι πῶς ἵνα τιθηνήσωσιν ὡς βρέφος τὴν τέχνην ταύτην ἀντὶ γάλακτος τοῖς ὕδασιν. μιμεῖται γὰρ ἡ τέχνη τὸ βρέφος, ἐπειδὴ καὶ ὡς τὸ βρέφος μορφοῦται, καὶ ὅτ' ἂν τελειωθῇ ἐν τούτοις πᾶσιν, ἰδοὺ μυστήριον ἐσφραγισμένον. ἀπὸ τοῦ νῦν δὲ ἐρῶ ὑμῖν τηλαυγῶς, ποῦ κεῖνται τὰ στοιχεῖα καὶ αἱ βοτάναι· ἐν αἰνίγμασι δὲ ἄρξομαι τοῦ λέγειν. ἄνελθε εἰς τὴν στέγην τὴν ἀνωτάτω, εἰς τὸ δασὺ ὄρος ἐν δένδροις, καὶ ἰδού, πέτρα ἐν τῇ

ἀκρωρεία, καὶ ἐκ τῆς πέτρας λάβε ἀρσένικον, καὶ λεῦκαναι θείως. καὶ ἰδοὺ ἐν τῇ μέσῃ τοῦ ὄρους κάτωθεν τοῦ ἀρσενικοῦ, ἐκεῖ ἐστιν ἡ ὁμόζυξ αὐτοῦ, ἐν ᾗ ἑνοῦται, μεθῆς ἔχει τὴν τέρψιν. καὶ χαίρεται φύσις ἐν φύσει καὶ ἐκτὸς αὐτόῦ οὐχ ἑνοῦται, κάτελθε εἰς τὴν Αἰγυπτιακὴν θάλασσαν, καὶ ἀνάγαγε μεθ᾽ ἑαυτοῦ ἐκ τῆς ψάμμου ἐκ τῆς πηγῆς τὸ λεγόμενον νίτρον. καὶ ἕνωσον αὐτὸ ἀλλήλοις, καὶ αὐτὸ ἐξάγει ἔξω τὸ παμβαφὲς κάλλος, καὶ ἐκτὸς αὐτοῦ οὐχ ἑνοῦται· μέτρον γάρ ἐστιν ἡ ὁμόζυξ. ἰδοὺ φύσις τῇ φύσει ἀνταποδίδοται, καὶ ὅτ᾽ ἂν τὰ πάντα ἰσομέτρως συναθροίσῃς, τότε νικῶσιν αἱ φύσεις τὰς φύσεις καὶ τέρπονται ἐν ἀλλήλαις. βλέπετε σοφοὶ καὶ σύνετε. ἰδοὺ γὰρ τὸ πλήρωμα τῆς τέχνης τῶν συζευχθέντων νυμφίου τε καὶ νύμφης καὶ γενομένων ἕν. ἰδοὺ αἱ βοτάναι καὶ αἱ διαφοραὶ αὐτῶν. ἰδοὺ εἶπον ὑμῖν πᾶσαν τὴν ἀλήθειαν, καὶ πάλιν ἐρῶ ὑμῖν βλέπετε καὶ συνίετε, ὅτι ἐκ τῆς θαλάσσης ἀνέρχονται τὰ νέφη βαστάζοντα τὰ ὕδατα τὰ εὐλογημένα καὶ αὐτὰ ποτίζει τὰς γέας, καὶ ἀναφύει τὰ σπέρματα καὶ τὰ ἄνθη. ὅμως καὶ τὸ ἡμέτερον νέφος ἐξερχόμενον ἐκ τοῦ ἡμετέρου στοιχείου βαστάζον τὰ θεῖα ὕδατα, καὶ ποτίζων τὰς βοτάνας καὶ τὰ στοιχεῖα, καὶ οὐδενὸς χρήζει ἐκ τῶν ἄλλων γεῶν. ἰδοὺ τὸ παράδοξον μυστήριον, ἀδελφοί, τὸ ἄγνωστον ὅλως, ἰδοὺ ἡ ἀλήθεια ὑμῖν πεφανέρωται, βλέπετε πῶς ποτίζετε τὰς γέας ὑμῶν καὶ πῶς τιθηνῖσθε τὰ σπέρματα ὑμῶν, ὅπως καρποφορήσητε ὥριμον καρπον. ἄκουσον τοίνυν καὶ σύνες καὶ ἀνάκρινον ἀκριβῶς ἐν οἷς λέγω. λάβε ἐκ τῶν τεσσάρων στοιχείων ἀρσένικον ἀνώτατον καὶ κατώτατον, ἄσπρον τε καὶ ῥούσιον, ἰσόσταθμα ἄρσεν καὶ θῆλυ, ὅπως συζευχθῶσιν ἀλλήλοις. ὥσπερ γὰρ ἡ ὄρνις ἐν θερμότητι θάλπει καὶ τελειοῖ τὰ ᾠὰ αὐτῆς, οὕτως καὶ ὑμεῖς θάλψατε καὶ λειώσατε καὶ ἐξενέγκαντες καὶ ποτίζοντες ἐν τοῖς θείοις ὕδασιν ἐν ἡλίῳ καὶ ἐν τόποις ἐγκαύστοις, καὶ ὀπτήσατε ἐν πυρὶ μαλακῷ μετακείμενον, τοῦ παρθενικοῦ γάλακτος, καὶ προσέχετε ἐκ τοῦ καπνοῦ· [ἐν γὰρ τῷ ἄδῃ κατάκλεισον αὐτὰ καὶ πάλιν ἐξαγαγόντες, ποτίσατε αὐτὰ κρόκον Κιλίκιον ἐν ἡλίῳ καὶ ἐν τόποις ἐγκαύστοις καὶ ὀπτήσατε ἐν πυρὶ μαλακῷ μετὰ γάλακτος παρθενικοῦ

*ἐκ τοῦ καπνοῦ] καὶ ἐν τῷ ᾅδῃ κλείσατε αὐτά, καὶ ἐν ἀσφαλείᾳ κινήσατε αὐτὰ μέχρις ἂν γένηται ἡ κατασκευὴ αὐτῶν στερεωτέρα καὶ οὐκ ἀποδιδράσκουσα ἐκ τοῦ πυρός. καὶ τότε λαβὼν ἐξ αὐτοῦ καὶ ὅτ' ἂν ἑνωθῇ ἡ ψυχή, καὶ τὸ πνεῦμα, καὶ γίνωνται ἕν, τότε ἐπίρριψον ἐπὶ σῶμα σελήνης, καὶ ἕξεις ἥλιον, ὃν οὐκ ἔχουσιν αἱ τῶν βασιλέων ἀποθῆκαι. ἰδοὺ τὸ μυστήριον τῶν φιλοσόφων, καὶ περὶ αὐτοῦ ἐξόρκισαν ὑμῖν οἱ πάτρες ἡμῶν τοῦ μὴ ἀποκαλύψαι αὐτό, καὶ δημοσιεῖσαι, θεῖον ἔχον τὸ εἶδος, θείαν καὶ τὴν ἐνέργειαν. θεῖον γάρ ἐστιν, ὅτι ἑνούμενον τῇ θεότητι, θείας ἀποτελεῖ τὰς οὐσίας, ἐν ᾧ τὸ πνεῦμα σωματοῦται καὶ τὰ θνητὰ ἐμψυχοῦνται, καὶ δεχόμενον τὸ πνεῦμα τὸ ἐξελθὸν ἐξ αὐτῶν κρατοῦνται καὶ κρατοῦσιν, ἄλληλα. ὥσπερ γὰρ τὸ πνεῦμα τὸ σκοτεινὸν τὸ πλῆρες ματαιότητος καὶ ἀθυμίας τὸ κρατοῦν τὰ σώματα τοῦ μὴ λευκανθῆναι καὶ δέξασθαι τὸ κάλλος καὶ τὴν χροιάν, ἣν ἐνεδύσαντο ἐκ τοῦ δημιουργοῦ (ἀσθενεῖ γὰρ τὸ σῶμα καὶ τὸ πνεῦμα καὶ ἡ ψυχὴ διὰ τὸ σκότος τὸ ἐκτεταμένον) ἐπ' ἂν δὲ αὐτὸ τὸ πνεῦμα τὸ σκοτεινὸν καὶ βρωμοῦν ἀποβληθείη ὥστε μὴ φανῆναι ὀσμήν, μήτε τὴν χροιὰν τοῦ σκότους, τότε φωτίζεται τὸ σῶμα καὶ χαίρεται ἡ ψυχὴ καὶ τὸ πνεῦμα ὅτε ἀπέδρα τὸ σκότος ἀπὸ τοῦ σώματος. καὶ καλεῖ ἡ ψυχὴ τὸ σῶμα τὸ πεφωτισμένον ἔγειραι ἐξ ᾅδου καὶ ἀνάστηθι ἐκ τοῦ τάφου, καὶ ἐξεγέρθητι ἐκ τοῦ σκότους. ἐνδέδυσαι γὰρ πνευμάτωσιν καὶ θείωσιν, ἐπειδὴ ἔφθακεν καὶ ἡ φωνὴ τῆς ἀναστάσεως, καὶ τὸ φάρμακον τῆς ζωῆς εἰσῆλθεν πρὸς σέ· τὸ γὰρ πνεῦμα πάλιν εὐφραίνεται ἐν τῷ σώματι καὶ ἡ ψυχὴ ἐν ᾧ ἐστιν, καὶ τρέχει κατεπεῖγον ἐν χαρᾷ εἰς τὸν ἀσπασμὸν αὐτοῦ καὶ ἀσπάζεται αὐτὸ καὶ οὐ κατακυριεύει αὐτοῦ σκότος, ἐπειδὴ ὑπέστη φωτὸς καὶ οὐκ ἀνέχεται αὐτοῦ χωρισθῆναι ἔτι εἰς τὸν αἰῶνα, καὶ χαίρεται ἐν τῷ οἴκῳ αὐτῆς, ὅτι καλύπτουσα αὐτὸ ἐν σκότει, εὗρεν αὐτὸ πεπλησμένον φωτός. καὶ ἡνώθη αὐτῷ, ἐπειδὴ θεῖον γέγονεν κατ' αὐτήν, καὶ οἰκεῖ ἐν αὐτῇ. ἐνεδύσατο γὰρ θεότητος φῶς καὶ ἡνώθησαν, καὶ ἀπέδρα ἀπ' αὐτοῦ τὸ σκότος, καὶ ἡνώθησαν πάντες ἐν ἀγάπῃ, τὸ σῶμα καὶ ἡ ψυχὴ καὶ τὸ πνεῦμα καὶ γεγόνα-*

σιν ἓν ἐν ᾧ κέκρυπται τὸ μυστήριον· ἐν δὲ τῷ συνεισελθεῖν αὐτά, ἐτελειώθη τὸ μυστήριον, καὶ ἐσφραγίσθη ὁ οἶκος, καὶ ἐστάθη ἀνδριὰς πλήρης φωτὸς καὶ θεότητος. τὸ γὰρ πῦρ αὐτοὺς ἥνωσεν καὶ μετέβαλεν καὶ ἐκ τοῦ κόλπου τῆς γαστρὸς αὐτοῦ ἐξῆλθεν. ὅμως καὶ ἐκ τῆς γαστρὸς τῶν ὑδάτων, καὶ ἐκ τοῦ ἀέρος τοῦ διακονοῦντος αὐτοῖς, καὶ αὐτὸ ἐξήνεγκεν αὐτοὺς ἐκ τοῦ σκότους εἰς φῶς, καὶ ἐκ πένθους εἰς φαιδρότητα, καὶ ἐξ ἀσθενείας εἰς ὑγείαν, καὶ ἐκ θανάτου εἰς ζωήν, καὶ ἐνέδυσεν αὐτοὺς θείαν δόξαν πνευματικήν, ἣν οὐκ ἐνεδύσκοντο τὸ πρίν, ὅτι ἐν αὐτοῖς κέκρυπται ὅλον τὸ μυστήριον, καὶ θεῖον ἀναλλοίωτον ὑπάρχει, διὰ γὰρ τῆς ἀνδρείας αὐτῶν συνεισέρχονται ἀλλήλοις τὰ σώματα, ἐξερχόμενα ἐκ τῆς γῆς ἐνδύονται φῶς καὶ δόξαν θείαν. ἐπειδὴ ηὐξήθησαν κατὰ φύσιν καὶ ἠλλοιώθησαν τοῖς σχήμασι καὶ ἐξ ὕπνου ἀνέστησαν, καὶ ἐκ τοῦ ᾅδου ἐξῆλθον. ἡ γαστὴρ γὰρ ἡ τοῦ πυρὸς ἔτεκεν αὐτούς, καὶ ἐξ αὐτῆς ἐνεδύσαντο δόξαν. καὶ αὕτη ἤνεγκεν εἰς ἑνότητα μίαν, καὶ ἐτελειώθη ἡ εἰκὼν σώματι καὶ ψυχῇ καὶ πνεύματι καὶ ἐγένοντο ἕν. ὑπετάγη γὰρ τὸ πῦρ τῷ ὕδατι, καὶ ὁ χοῦς τῷ ἀέρι, ὅμως καὶ ὁ ἀὴρ μετὰ τοῦ πυρός, καὶ ὁ χοῦς μετὰ τοῦ ὕδατος, καὶ τὸ πῦρ καὶ τὸ ὕδωρ μετὰ τοῦ χοός, καὶ τὸ ὕδωρ μετὰ τοῦ ἀέρος, καὶ ἐγένοντο ἕν. ἐκ γὰρ βοτανῶν καὶ αἰθάλων γέγονε τὸ ἕν, καὶ ἐκ φύσεων καὶ ἀπὸ θείου θεῖον γεγόνασιν ἐνθηρεῖον πᾶσαν φύσιν καὶ κρατοῦν. ἰδοὺ ἐκράτησαν αἱ φύσεις τὰς φύσεις καὶ ἐνίκησαν, καὶ διὰ τοῦτο ἀλλοιοῦσι τὰς φύσεις καὶ τὰ σώματα, καὶ πάντα ἐκ τῆς φύσεως αὐτῶν. ἐπειδὴ εἰσῆλθεν ὁ φεύγων εἰς τὸν μὴ φεύγοντα, καὶ ὁ κρατῶν εἰς τὸν μὴ κρατοῦντα, καὶ ἀλλήλοις ἡνώθησαν. τοῦτο τὸ μυστήριον. ἐμάθωμεν ἀδελφοὶ ἐκ θεοῦ καὶ πατρὸς ἡμῶν κομερίου τοῦ ἀρχαίου. ἰδοὺ εἶπον ὑμῖν ἀδελφοὶ πᾶσαν τὴν ἀλήθειαν κεκρυμμένην παρὰ πολλῶν σοφῶν καὶ προφητῶν. φασὶν δὲ πρὸς αὐτὴν οἱ φιλόσοφοι, ἐξέστησας ἡμᾶς, ὦ Κλεοπάτρα, εἰς ὃ λελάληκας ἡμᾶς. μακαρία γὰρ ὑπάρχει ἡ σε βαστάσασα κοιλία· καὶ πάλιν πρὸς αὐτοὺς ἔφη Κλεοπάτρα· σώματα οὐράνια καὶ θεῖα μυστήρια ὑπάρχουσι τὰ ὑπ' ἐμοῦ ὑμῖν ῥηθέντα. ὑπὸ γὰρ τῆς διαστροφῆς καὶ

ἀλλοιώσεως αὐτῶν μεταβάλλουσι τὰς φύσεις, καὶ ἐνδύουσιν αὐτὰς δόξαν ἄγνωστον καὶ ἐπηρμένην, ἣν πρότερον οὐκ εἶχον καί φησιν ὁ σοφός· εἰπὲ ἡμῖν, ὦ Κλεοπάτρα, καὶ τοῦτο· διὰ τί γέγραπται μυστήριον τῆς λαίλαπος, σώματά ἐστιν ἡ τέχη καὶ τροχοῦ δίκην ἄνωθεν αὐτῆς ὥσπερ τὸ μυστήριον, καὶ ὁ δρόμος καὶ ὁ πόλος, ἄνωθεν καὶ οἰκήματα καὶ πύργοι καὶ παρεμβολαὶ ἐνδοξόταται; καί φησι Κλεοπάτρα· καλῶς τεθείκασιν αὐτὴν οἱ φιλόσοφοι, ὡς ἐτέθη ἐκ τοῦ δημιουργοῦ καὶ δεσπότου τῶν ἁπάντων. καὶ ἰδοὺ λέγω ὑμῖν, ὅτι ὁ πόλος ἐκ τῶν τεσσάρων δραμεῖται, καὶ οὐ μὴ παύσηται. ταῦτα ἐτέχθησαν ἐν τῇ γῇ ἡμῶν ταύτῃ τῇ Αἰθιοπίδι, ἐξ ἧς λαμβάνονται βοτάναι καὶ λίθοι καὶ σώματα θεῖα, ἅτινα ἔθηκεν ὁ θεὸς καὶ οὐκ ἄνθρωπος. ἐν ἑκάστῳ δὲ ἐνέσπειρεν ὁ δημιουργὸς τὴν δύναμιν, τὸ ἓν χλωραίνει, καὶ ἄλλο οὐ χλωραίνει, ἓν ξηρόν, ἓν ὑγρόν, ἓν καθεκτικόν, καὶ ἓν κριτικόν, ἓν κρατοῦν, καὶ ἓν ἀναχωροῦν, καὶ ἐν τῷ ἀπαντῆσαι ἀλλήλοις κρατοῦσιν ἄλληλα, και ἓν ἐν τῷ ἄλλῳ σωματοῖ, καὶ ἐν τῷ ἑτέρῳ καταγλαΐζει. καὶ γίνονται μία φύσις ἡ πάσας τὰς φύσεις θηρεύουσα καὶ κρατοῦσα, καὶ αὐτὸ τὸ ἓν νικᾷ πᾶσαν φύσιν τὴν τοῦ πυρὸς καὶ τοῦ χοός. καὶ ἀλλοιοῖ πᾶσαν τὴν δύναμιν αὐτῶν, καὶ ἰδοὺ λέγω ὑμῖν τὸ πέρας αὐτοῦ. ὅταν τελειοῦται, γίνεται φάρμακον φονευτὸν ἐν τῷ σώματι τρέχον. ὥσπερ γὰρ εἰσέρχεται τῷ ἰδίῳ χρώματι καὶ διέρχεται εἰς τὰ σώματα. ἐν σήψει γὰρ καὶ θέρμῃ γίνεται φάρμακον τρέχον εἰς πᾶν σῶμα ἀκωλύτως.

# V.

# ΤΟΥ ΛΟΓΙΩΤΑΤΟΥ ΜΟΝΑΧΟΥ ΚΥΡΟΥ ΜΕΡΚΟΥΡΙΟΥ

*ἀναγκαιοτάτη διδασκαλία περὶ σφυγμῶν.*

---

p. 50 ed. Salv. Cyrilli.

1. *Πιάσον τὸν σφυγμὸν ἅμα τοῖς τέσσαρσι δακτύλοις, καὶ πίεσον συμμέτρως, καὶ σφίξον· εἶτα ἄνεσιν δὸς τοῖς δακτύλοις καὶ σκέπτου.*

2. *Πιάσον δὲ μετὰ τῆς δεξιᾶς σου χειρὸς τὴν σκαιὰν χεῖρα· καὶ ἄρξου ἀπὸ τοῦ λιχάνου, καὶ κατέρχου μέχρι καὶ τοῦ μικροῦ δακτύλου, καὶ σκόπει κατὰ σαυτόν.*

3. *Καὶ εἰ μὲν κρούει τὸν λίχανον εἴτε τὸν πρῶτον δάκτυλον, λογίζου ὅτι τὴν κεφαλὴν πάσχει.*

4. *Εἰ δὲ τὸν τρίτον, λέγε νεφροὺς καὶ τὰ περιέχοντα, ἤγουν ἔντερα, κύστιν καὶ τὰ τοιαῦτα.*

52 5. *Εἰ δὲ τὸν δεύτερον, τὸ στῆθος, τὸν στόμαχον καὶ τὰ περιεχόμενα, ἤγουν σπλῆνα.*

6. *Εἰ δὲ τὸν τέταρτον, μηρούς, πόδας, ἀστραγάλους.*

7. *Πάλιν ἄρχου ἀπὸ τοῦ λιχάνου· καὶ εἰ μὲν κρούει μίαν ἐπὶ τοῦ λιχάνου, πονεῖ τὸ ἥμισυ τῆς κεφαλῆς· εἰ δὲ δύο, πονεῖ καὶ τὸ ὄπισθεν μέρος· εἰ δὲ τρεῖς, ὅλην τὴν*
54 *κεφαλήν.*

8. *Εἰ δ' ἔλθοι μίαν καὶ πάλιν τρεῖς, ἐν τῇ κεφαλῇ τὸ βάρος· εἰ δ' ἔλθοι δύο καὶ ἕν, πάσχει ὁ ἐγκέφαλος· εἰ δὲ δὶς καὶ δίς, γίνεται παλμὸς εἰς τὴν κεφαλήν.*

9. *Εἰ δ' ἔλθοι δεύτερον, ἤγουν δύο καὶ δύο, ἤγουν ἕξ, γίνεται ἦχος καὶ βάρος εἰς τὸ ὠτίον.*

10. *Εἰ δὲ τρεῖς καὶ πάλιν μίαν, πάσχει τοὺς μυκτῆ-ρας· εἰ δὲ μίαν καὶ πάλιν τοὺς ὀδόντας.*

11. *Εἰ δὲ γένηται διπλοῦς, ἐπίτονος, πάσχει τὸν γούρ-* 56
*γουρον.*

12. *Εἰ δὲ τὸν δεύτερον ἔλθοι μίαν καὶ δύο, πάσχει τὸ στῆθος· εἰ δὲ μίαν καὶ τρεῖς, τοὺς ἁρμούς.*

13. *Εἰ δὲ μίαν, καὶ ἀργῇ, καὶ πάλιν μίαν, πάσχει ὁ σπλήν. εἰ δὲ τρεῖς καὶ δύο, πάσχει ἡ καρδία ὑπὸ ὀλιγωρίας συχνῆς.*

14. *Εἰ δὲ λεπτὰ συχνά, δύσπνοια ἢ στένωσις.*

15. *Εἰ δὲ μέγας, γέματος, βήξ. εἰ δὲ μέγας, εὔκερος καὶ εἰς ὅλους τοὺς δακτύλους εἴτε ἐγρήγορος, τὸ ἧπαρ, καὶ χρὴ φλεβοτομεῖν.*

16. *Εἰ δὲ μίαν καὶ δύο καὶ τρεῖς, στομάχου ὀδύνη,* 58
*καὶ τὰ περὶ τοὺς νεφροὺς καὶ τὰ τούτους περιέχοντα· εἰ δὲ τρεῖς, τοὺς νεφρούς.*

17. *Εἰ δὲ τὸν τρίτον δάκτυλον κρούει μίαν καὶ μίαν, πονεῖ τὴν ῥάχιν· εἰ δὲ μίαν καὶ τρεῖς, πάσχει ὅλα τὰ νεφρά.*

18. *Εἰ δὲ δεύτερον ἐγρήγορον, καὶ ἀργεῖ μίαν, πάσχει τὴν ὄρχιν, ἢ πρίσμενος ἔνι.*

19. *Εἰ δὲ ἔλθοι ἐκ δευτέρου συχνά, δυσουρίαν ἔχει.*

20. *Εἰ δὲ δι' ὅλου πλήττει τὸν δάκτυλον, ἔνι κολικὴ ὀδύνη. εἰ δὲ ἀργός, ἀγχόμενος, ἐσοχάδας.*

21. *Εἰ δ' ἔλθοι ἀργός, καὶ πάλιν ἀργὸς μίαν καὶ μίαν, πάσχει τοὺς κωκάλους.*

22. *Εἰ δὲ εἰς τὸν τέταρτον δάκτυλον ἔλθοι μίαν καὶ* 60
*δύο, τζίρμα εἰς τοὺς πόδας· εἰ δὲ δύο καὶ μίαν, πάσχει τοὺς ἀστραγάλους.*

23. *Δέον σε ἀνελθεῖν εἰς τὸν ἀσθενοῦντα, καὶ καθίσαι σύγμη μιᾷ· εἶθ' οὕτως κρατῆσαι τὸν σφυγμὸν τοῦ ἀρρωστοῦντος ἀκριβῶς.*

24. *Καὶ ἐὰν κρούῃ ἕως τῶν πέντε ἢ ἕως τῶν ἐννέα καὶ πάλιν ὑποστρέφει εἰς τὰς δύο ἢ τὰς τρεῖς καὶ εἰς τὰς πέντε, ἀποθνήσκει· εἰ δὲ διαβῇ ταῦτα, ὑγιαίνει.*

62 - 25. *Κράτησον τὸν σφυγμὸν τοῦ ἀρρώστου καὶ εἰ μὲν ῥίπτει ἔξω πυκνὰ καὶ πολλὰ ἤγουν ὀψὲ ἀποθνήσκει.*

26. *Εἰ δὲ ῥίπτει ἔξω δύο, καὶ μίαν ἔσω, ἄχρι δύο ἡμερῶν τελευτᾷ.*

27. *Εἰ δὲ ῥίπτει μίαν ἔξω καὶ δύο ἔσω, ἀδυναμίαν μὲν ἔχει, ὑγιαίνει δέ.*

28. *Εἰ δέ ἐστι γαληνός, ποθὲν μὴ ῥίπτων, εἰς τὰς πύλας τοῦ θανάτου ἐστίν.*

# VI.

# * ΑΝΩΝΥΜΟΥ

## ΠΕΡΙ ΧΥΜΩΝ, ΒΡΩΜΑΤΩΝ ΚΑΙ ΠΟΜΑΤΩΝ,

[τῶν τε χερσαίων, ἐναερίων καὶ θαλαττίων, ὅσα τε ἐκ τούτων εἰσὶ τρόφιμα καὶ εὔχυμα, καὶ ὅσα δύσπεπτα καὶ κακόχυμα.]

---

### Κεφ. α'. Περὶ εὐχύμων.

Εὐχυμότατόν ἐστι τὸ ἄριστον γάλα σχεδὸν ἁπάντων. ἄριστον δέ ἐστι τὸ τῶν εὐεκτούντων ζώων, ὅταν ἀμελχθῇ πινόμενον εὐθέως. προσλαμβάνειν δὲ χρὴ τοῦτο πρὸ παντὸς μὲν σιτίου τε καὶ ποτοῦ καὶ μηδὲν ἕτερον μετ' αὐτοῦ συνεσθίειν, ἕως ἂν πεφθῇ καὶ διαχωρίσῃ κάτω. Καὶ γὰρ εἰ καὶ μικρὸν οὕτινος προσμιγῇ, τοῦτο αὐτό τε διαφθείρεται καὶ τὸ ἐπ' αὐτῷ προσληφθέν. Καλὸν οὖν πρωΐας πίνειν τοῦτο, εὐθύμελκτον καὶ ἀσιτεῖν ἐπ' αὐτῷ ἡσυχῇ περιπατοῦντα. Κατ' ἀρχὰς μὲν οὖν κινεῖ τὴν κοιλίαν, καὶ μετὰ τοῦτο τρέφει κάλλιστα καὶ οὐκέτι διαχωρεῖ, ἀλλὰ καὶ ἵστησι τὴν γαστέρα. Μετὰ δὲ τὸ γάλα εὔχυμά εἰσι τὰ ὠὰ τὰ τρομητὰ καὶ ῥοφητὰ τὰ τῶν ὀρνίθων, χείρονα δὲ τὰ τῶν χηνῶν. Κρέατος δὲ πρὸ πάντων, ὄρνιθος καὶ φασιανῶν καὶ οἱ ὄρχεις τῶν ἀλεκτρυόνων. Καὶ ἀπὸ τῶν λοιπῶν πετωμάτων, πέρδικος, ταγηναρίου· περιστερὰς δὲ φεῦγε, κίχλας δέ, κοσσύφους, καὶ τῶν μικρῶν στρουθίων, ἐν οἷς εἰσὶ καὶ οἱ τρωγλῖται. σκληρότερα δὲ τούτων καὶ δυσπεπτότερα καὶ εὐρωδέστερα τὰ τοῦ ταῶνος. Ἔτι δὲ τούτων σκληρότερα τὰ τῆς τρύγονος καὶ τῆς φάσσης καὶ τῆς νήσσης καὶ τοῦ γεράνου. Περιττωματικώτερα δὲ τού-

των τὰ τῶν χηνῶν καὶ τῶν κύκνων καὶ ὠτίδων. Τούτων δὲ αὐτῶν εὐχυμότερά εἰσι τὰ τῶν ἔτι αὐξανομένων ἤγουν τὰ τρυφερά· βλαβερὰ δὲ τὰ παλαιὰ καὶ τὰ νεογενῆ. Τούτων δὲ αὐτῶν κάλλιστα ὄρνιθες καὶ περιστεραὶ αἱ κατ' ἀγρὸν διαιτώμεναι, καθόλον δὲ τὰ γεγυμνασμένα καὶ τὰ ξηροτέραις τροφαῖς χρώμενα καὶ τὰ καθαρὸν καὶ λεπτὸν εἰσπνέοντα τὸν ἀέρα, βελτίω τῶν ἐναντίων εἰσί, τουτέστι τῶν ὑγροτέραις τροφαῖς χρωμένων καὶ τῶν ἀγυμνάστων. Τῶν μέντοι τοιούτων αἱ μάλιστα μαλακὴν ἔχουσαι τὴν σάρκα καὶ εὔθρυπτον καὶ εἰς κόρον ἐσθίειν, τῶν δὲ ἄλλων φειδομένως. Τῶν δὲ πεζῶν αἱ ἔριφοι, τῶν ἀρνίων κρείττονες, βλαβερώτερα δὲ τὰ μετὰ τὸ δέρμα ἑψόμενα. Ἰχθύων δὲ οἱ πελάγιοι καὶ πετραῖοι, ἐν οἷς ἐστι καὶ ὁ ἐκεῖθεν κρατούμενος κέφαλος καὶ ὁ λαύραξ, ἔτι δὲ καὶ τὰ σελάχια καὶ κωβίδια καὶ γαλεοί. Ἐφεξῆς δὲ τούτων, πλὴν ὅτι σπληρότεραι, αἱ μεγάλαι τρίγλαι, μὴ ἔχουσαί τι βρωμῶδες κατὰ τὴν γεῦσιν, μηδὲ εἰς τὰ ἐντόσθια τούτων ἔχουσαι βοτάνην. Μέσον δὲ εὐχύμων καὶ κακοχύμων εἰσὶ κιθαρχοί, καὶ βούγλωσσος, καὶ ψισίον, καὶ καθόλου τῶν ἰχθύων κάλλιστοι, ὅσοι μήτε γλισχρότητά τινα μήτε ἀηδίαν ἔχουσι κατὰ τὴν γεῦσιν. Τῶν δὲ πεζῶν ζώων αἱ σάρκες τῶν τρυφερῶν χοιριδίων, οἷον τὰ ἐνιαύσια καὶ μήπω τὴν δίαιταν πληρώσαντα καὶ τὰ μαστάρια καὶ οἱ πόδες [καὶ τὰ ὠτία]. Τούτων δὲ χείρονα αἱ ῥῖνες καὶ τὰ ὦτα. Τῶν ἀγρίων ζώων ἡ σὰρξ εὐχυμοτέρα τῆς τῶν ἡμέρων. Ἄρτος καθαρὸς καὶ καλῶς ἐσκευασμένος, χονδρός, ἤγουν σίτινος ἁδρομερῶς ἀληλεσμένος, κριθαὶ ἀπολεπισθεῖσαι καὶ καλῶς ἑψηθεῖσαι. Τῶν δὲ ὀσπρίων κύαμοι. Τῶν δὲ ὀπωρῶν σῦκα ὥριμα καὶ σταφυλαὶ ὥριμοι, κρεμασθεῖσαι ἐπ' ὀλίγον, ἰσχάδες ταχὺ μὲν πεφθεῖσαι εὔχυμοι, χρονίσασαι δὲ ἐν τῇ γαστρὶ κακόχυμοι γίνονται. Μετὰ δὲ καρύων ἐσθιόμεναι, κάλλισται. Ὅσοι δὲ μετά τινος ἄλλου τῶν ἐδεσμάτων ἐσθίουσι τὰ σῦκα καὶ τὰς ἰσχάδας ἰσχυρῶς βλάπτονται. κάστανα οὐ κακόχυμα· ἐκ διαλειμμάτων δὲ λαμβάνειν πιστάκια καὶ ἀμύγδαλα. Τῶν δὲ λαχάνων μαϊούλιον, καὶ μετ' αὐτὸ ἐντύβια, μαλάχη, κολόκυνθα ἐκζεστή, ὅταν μὴ ἀπεπτηθῇ. Τῶν δὲ οἴνων

οἱ εὐώδεις καὶ εὔποτοι. Ἐμφράξεως δὲ συμβαινούσης, λαμβάνειν δεῖ τοῦ ὑδρογάρου τὸν ζωμὸν καὶ τῶν οἴνων τοὺς λευκοὺς καὶ λεπτοὺς καὶ σκόρδα καὶ κρόμμυα ἐκζεστά, καὶ εἰσαρτύματα μάλιστα κατὰ χειμῶνα, πέπερι καὶ ὀρίγανον καὶ θρύμβον καὶ βλισκούνην καὶ σίνηπι εὔζωμον, σέλινα, πετροσέλινα, ῥεφάνια, ἡδύοσμον, πεντάρτυμα, ἄνηθον, κύμινον, ἄνισσον, δαυκία, πήγανον· ταῦτα πάντα ἀρτύματα ἔχει τῶν εἰρημένων τροφῶν.

### Κεφ. β'. Ὅσα εὔπεπτα.

Ἄρτοι καλῶς σκευασθέντες τουτέστιν οἱ καλῶς μαλαχθέντες ἐν τῇ ζυμώσει καὶ ὁμαλῶς ὀπτηθέντες καὶ ἁλῶν συμμέτρων δηλονότι αὐτοῖς ἐμβληθέντων. Τῶν ἰχθύων οἱ πετραῖοι πάντες, κωβίος, νάρκη, τρύγων· ἅπαν τὸ γένος τῶν πτηνῶν. Ὀρνίθων ἡ σάρξ, οἷον πέρδικος, ταγηναρίου, οὐ καλή· περιστερᾶς, ἀλεκτορίδων, καὶ ἀλεκτρυόνων μηκέτι φασιανῶν, τὰ πτερύγια τῶν χηνῶν, εὔπεπτα καὶ μᾶλλον τῶν ἀλεκτορίδων ἤγουν τῶν ὀρνίθων. Καὶ καθόλου κάλλιστα τὰ τῶν λιπαρῶν καὶ νέων πτερύγια, χείριστα δὲ τὰ τῶν ἰσχνῶν καὶ γεγηρακότων, τῶν σιτευθέντων διὰ τυρογάλακτος, χηναρίων τὸ ἧπαρ καὶ τῶν ὁμοίως τραφέντων τῶν πετεινῶν οἱ ὄρχεις. Κάλλιον δὲ τῶν βοῶν εἰσι τὰ μοσχάρια καὶ τῶν αἰγῶν τὰ ἐρίφια καὶ τούτων αὐτῶν ὅσα βόσκεται ἐν ξηροῖς τόποις, ὠὰ τρομητὰ καὶ ῥοφητά. Μαρούλλιον, ἴντυβα, μαλάχη, κολοκύνθα ἐκζεστή, ὅταν μὴ ἀπεπτηθῇ· τὸ κάρυον τοῦ λεπτοκαρίου εὐπεπτότερον καὶ οἱ γλυκύτεροι οἶνοι ἔμπροσθεν πινόμενοι παρὰ τοὺς αὐστηροὺς κάλλιον, ἥκιστα δὲ τὸ ἡδέως ἐσθιόμενον, εὐπεπτότερον τοῦ ἀνηδύντου.

### Κεφ. γ'. Ὅσα δύσπεπτα.

Αἴγεια, βόεια, ἐλάφεια κρέη, χεῖρον δὲ τούτων τὰ τράγεια, ἐφεξῆς δὲ τῶν κριῶν, εἶτα τῶν ταύρων. Καὶ τὰ παλαιὰ δὲ ζῷα δύσπεπτα πάντα, κοιλία δύσπεπτος, ἔντερα, μήτρα, καρδία, ἧπαρ, ὦτα, οὐραί, νεφροί, σπλάγχνα πάντα, ἐγκέφαλος, μυελοὶ καὶ τῶν τελείων ζῴων οἱ ὄρχεις, χῆνες πλὴν τῶν πτερυγίων, φάσσαι, κίσσαι, κίχλαι, κόσσι-

φοι, καὶ ἡ τῶν μικρῶν στρουθίων σὰρξ σκληροτέρα, καὶ ἔτι μᾶλλον τρυγόνος καὶ νήσσης, καὶ πλέον ἡ τοῦ ταῶνος καὶ ἡ τῶν ὠτίδων. Αἱ κοιλίαι πᾶσαι τῶν πτηνῶν δύσπεπτοι, κοχλιοί, ὀξύγαλα, τυρὸς παλαιός, κογχύλια, ἀστακοί, πάγουροι, καρκῖνοι, καραβίδες, καρίδες, ὀκταπόδια, σηπίαι, μοσχῖται, καλαμάρια, βάτοι, λειόβατοι, ῥῖναι, δράκοντες, κοχύλια, σκορπίδια, τρίγλαι, ὀρφοί, φαγρία, ὠὰ ἐκζεστὰ καὶ ὀπτὰ καὶ τηγανιστά, σιτάριον ἐκζεστόν, φάβα, αὖγος, λωβοὶ τῶν φασουλίων καὶ αὐτὰ τὰ φασούλια, λάθυροι, ἐρέβινθος, ὀρίζιν, λουπηνάρια, κεγχρίς, φακή, σισάμιον, κάστανα, μῆλα καὶ ἄπια καὶ σῦκα, σούρουβα, ἄγουρα, σταφυλὴ ὄξυνος, φοίνικες, ξυλοκέρατα, κίτρον πλὴν τοῦ φλοιοῦ, γόγγυλον ὠμότερον, βολβοὶ οἱ ὠμότεροι, δαυκὶς καὶ πᾶσαι αἱ ῥίζαι τῶν λαχάνων, καὶ αὐτὰ τὰ λάχανα, πλὴν μαρουλλίου καὶ ἰντιβίου. Τῶν οἴνων οἱ παχεῖς καὶ νέοι δύσπεπτοι, καὶ ὕδωρ πάνυ.

### Κεφ. δ'. Ὅσα εὐστόμαχα καὶ ῥωστικά.

Φοίνικες οἱ στυφότεροι, μῆλα, κυδώνια, ἐλαῖαι ἄσπραι, κολυμβάδες, καὶ πλέον τούτων αἱ μετὰ ὄξους συντιθέμεναι, σταφίδες αἱ στύφουσαι, σταφυλαὶ αἱ ἐν σταφύλοις ἀποτιθεμέναι, κάρυα μετὰ ἰσχάδων, κινάρα, σίνηπι, ῥεφάνια, γογγύλια ἐκζεστὰ ἰσχυρῶς ἑψημένα, κάρδαμα ἐλαιοδάφνια, βολβοί, οὗτοι δὲ καὶ ὄρεξιν ἐμποιοῦσιν, κάπαρις, τοῦ κίτρου τὸ δέρμα, ὡς βοήθημα λαμβανόμενον, οἶνος ὀστυφής, εἰς βοηθήματος δὲ λόγον παραλαμβάνεται, ὡς εὐστόμαχα, ἀψίνθιον καὶ ἀλόη.

### Κεφ. ε'. Ὅσα κακοστόμαχα.

Σεῦτλον ὡς καὶ δρασμὸν ἐμποιεῖν, ὅταν πλεῖον βρωθῇ, γογγύλιον ὠμότερον κακοστόμαχον, ὥσπερ τὸ καλῶς ἑψημένον εὐστόμαχον, βλῆτα, χρυσολάχανον, ἐὰν μὴ μετὰ ὄξους καὶ γάρου καὶ ἐλαίου φαγωθῇ, τήλη, σήσαμον, γάλα ψυχρόν. τοῖς μὲν ψυχρὸν ἔχουσι τὴν κοιλίαν ὀξύδα ποιεῖ. τοῖς δὲ θερμὴν κνισοῦται. βλαβερὸν δὲ καὶ τοῖς πυρέσσουσιν. πεπώνια μὴ καλῶς πεφθέντα χολερικοὺς ἀποτελεῖ. καὶ γὰρ καὶ πρὶν διαφθαρῆναι εἰς ἔμετον ἐπιτήδειά εἰσι καὶ πλείω

βρωθέντα, ἐὰν μή τις αὐτοῖς τι τῶν εὐχύμων ἐδεσμάτων ἐπιφάγῃ. ἐγκέφαλος πᾶς κακοστόμαχος καὶ εἰς ἔμετον παρορμῶν, ὥσπερ καὶ ὁ τῶν ὀστῶν μυελός. οἶνος ὁ μέλας καὶ στυφής, εὐκόλως ὀξίζει καὶ εἰς ἔμετον ὁρμᾷ, καὶ ὁ παλαιὸς καὶ ὁ νέος.

### Κεφ. ϛ΄. Ὅσα ῥύπτει, τέμνει καὶ ἐκφράττει.

Κριθή, τῆλις μηλοπέπων, σταφίδες γλυκεῖαι, φάβα, ἐρέβινθοι, καὶ μᾶλλον οἱ μέλανες, κάπαρις, καὶ μάλιστα δι' ὀξυμέλιτος ἢ ὀξελαίου ἔμπροσθεν ἐσθιομένη, σεύτλου ὁ χυλός, καὶ αὐτὸ τὸ σεῦτλον, ὅταν μετὰ σινάπεως ἢ ὄξους ἐσθίεται, λάπαθον, βολβοί, κρόμμυα καὶ σκόροδα καὶ πράσα καὶ ἀμπελόπρασα· ἑψηθέντα δὲ δὶς ἢ τρὶς ἀποτίθεται τὴν δριμύτητα, λεπτύνει δὲ ὁμοίως τυρόγαλα, σῦκα ῥύπτει· διὸ καὶ ψαμμώδη οὖρα πολλάκις τοῖς νεφριτικοῖς ἐσθίουσι ταῦτα ἐκκρίνεται, ἰσχάδαι, ἀμύγδαλα, πιστάκια, κράμβη, μέλι, ὀξύμελι, οἱ λεπτοὶ τῶν οἴνων, ἐὰν δὲ ψυχροὶ τυγχάνωσιν οἱ χυμοί, ἔστωσαν καὶ παλαιοὶ ὑδατώδεις οἶνοι.

### Κεφ. ζ΄. Ὅσα ἐμφράττει.

Γάλα τὸ ἔχον ὀλίγον τυρόγαλα οὐκ ἀσφαλές ἐστι τοῖς ἐν αὐτῷ πλεονάζουσιν ὡς βλάπτειν καὶ νεφροὺς καὶ λίθους ποιεῖν, ἐμφράττει δὲ καὶ τὸ ἧπαρ, ἰσχάδες καὶ σῦκα μετὰ τὴν τροφὴν λαμβανόμενα τῷ λόγῳ τῶν γλυκέων ἐπὶ τῇ τροφῇ λαμβανόμενα ἐμφράττει, μιγνύμενα δὲ ὑσσώπῳ ἢ ὀριγάνῳ ἢ πέπερι. καὶ ἔμπροσθεν ἐσθιόμενα οὐ μικρὸν ὄφελος ἔχουσιν. τὸ δὲ εὐκρατόμελι ἀνεπιτήδειον τοῖς κακοσπλάγχνοις, φοίνικες οἱ χλωροὶ καὶ ὅσα διὰ ἰτρίων καὶ σεμιδάλεως σκευάζεται, ἐμφρακτικὰ καὶ σπληνὸς αὐξητικὰ καὶ λίθων ποιητικά. ὁμοίως καὶ ἀλευραῖαι μετὰ γάλακτος καὶ οἶνος ὁ γλυκὺς ἐμφράττει καὶ τοὺς ὄγκους τῶν σπλάγχνων αὐξάνει.

### Κεφ. η΄. Ὅσα ὑπάγει γαστέρα.

Φακῆς τὸ πρῶτον ἀπόζεμα ἐν τῇ ἑψήσει, καὶ κράμβης ὁμοίως, καὶ μάλιστα ἀρτυόμενα δι' ἐλαίου καὶ γάρου.

τῶν ὀστρακοδέρμων ὁ ζωμὸς οἷον ἀστακῶν, καὶ παγούρων καὶ τῶν ὁμοίων. εἰ τὸ ἀφέψημα δι' ἐλαίου καὶ πεπέρεως καὶ γάρου ὡς εἴρηται πίοι, εὔλυτον ἕξει τὴν κοιλίαν. ἀλλὰ καὶ τῶν θαλασσίων ἐχίνων, καὶ τῶν κογχυλίων οἱ ζωμοί, καὶ τῶν παλαιῶν ἀλεκτρυόνων ὑπάγουσι τὴν κοιλίαν. ἄρτοι μηβαροὶ διὰ τὸ πλεῖστον μετέχειν πιτύρων. τήλεως ὁ ζωμὸς ἑψηθεὶς μετὰ μέλιτος, καὶ λαμβανόμενος, ἐπιτήδειός ἐστιν εἰς τὸ ὑπάγειν ἅπαντας τοὺς ἐν τοῖς ἐντέροις μοχθηροὺς χυμούς, ὀλίγον δὲ εἶναι χρὴ τὸ μιγνύμενον μέλι, ἵνα μὴ δακνῶδες γένηται· ἐλαῖαι κολυμβάδες μετὰ γάρου πρὸ τῶν σιτίων ἐσθιόμεναι, τυρόγαλα μετὰ μέλιτος καλλίστου ὀλίγου, εἰ δὲ ἡπατικοὺς βούλῃ ποιῆσαι τοὺς χολικούς, οὓς εἴπομεν, ἅλας περισσότερον ἔμβαλλε. τὰ νέα τῶν ζῴων κρέα τῶν παλαιῶν μᾶλλον ὑπάγει καὶ τὰ ἄκρη τῶν μελῶν. ἀπὸ δὲ τῶν ἰχθύων νάρκη καὶ τρυγὼν μετρίως ὑπάγει, σεῦτλον, λάπαθον, νεαρὸς τυρὸς μετὰ μέλιτος, χρυσολάχανον, βλῆτον, κολόκυνθα, πέπονες, σῦκα, ἰσχάδαι, σταφυλαὶ γλυκεῖαι, ὅταν ὦσιν ὑγραί, συκάμινα, καθαρὰ μὲν ἐμπεσόντα τῇ γαστρὶ καὶ πρῶτα ἐσθιόμενα, ὑπάγει τὴν γαστέρα. ἐσθιόμενα δὲ ὕστερον ἢ καὶ κακοχυμίαν εὑρόντα ἐν τῇ γαστρὶ διαφθείρεται. ὡσαύτως καὶ ἡ κολόκυνθα τοῦτο ποιεῖ, τὰ κάρυα τὰ χλωρὰ καὶ τῶν ξηρῶν τὰ ἀποβεβρεγμένα ἐν ὕδατι καὶ ἀπολεπισθέντα, δαμάσκηνα τὰ ὑγρὰ καὶ τῶν ξηρῶν τὰ εἰς εὐκρατόμελι ἀποβεβρεγμένα, πλέον ἔχουσι τοῦ μέλιτος, κἂν μόνα τις καταφάγῃ, κἂν δὲ ἐπιρροφήσῃ καὶ ἀπὸ τοῦ εὐκρατομέλιτος πλεὸν ὑπάγῃ, ἢ γλυκὺν οἶνον ἐπιπίῃ, καὶ μὴ εὐθέως ἀριστήσει [ἀλλὰ διαλιπεῖν τινα χρόνον]. κερύσια ἁπαλά, βερίκοκκα, ῥοδάκινα ἁπαλὰ καὶ πάντα τὰ ὑγρὰ καὶ ὑδατώδη πρὸς τὸν ἐπιτηδείως ἔχοντα τὴν γαστέρα εἰς τὴν κάτω διαχώρησιν. καὶ διὰ τοῦτο μέση πώς ἐστιν τῶν τοιούτων ἐδεσμάτων ἡ ὕλη, διὰ τὸ μηδεμίαν αὐτοῖς ὑπάρχειν δριμεῖαν ἢ νιτρώδη ποιότητα. μονατάριν, ἀλλὰ καὶ οἶνος γλυκὺς ἐπιτηδείως ἔχει πρὸς αὐτὰς ὅσα ἐπέχει γαστρός.

Κεφ. θ΄. Ὅσα ἐπέχει γαστέρα.

Φοίνικες οἱ στυφότεροι, σταφίδες αἱ στύφουσαι, συκάμινα τὰ ὥριμα, βάτζινα, ὁ δὲ τῆς λαγινίδος καρπὸς πλέον, μυρσινόκοκκα τὰ ἄγρια, προῦμνα, μῆλα τὰ στύφοντα, τὰ δὲ γλυκύτερα μετὰ δριμύτητος κινεῖ τὴν γαστέρα. ταῦτα καὶ ἐπὶ ῥοϊδίων, καὶ ἀπιδίων νόμιζε λέγεσθαι. τὸ γάλα ἐὰν τις αὐτὸ ἑψήσῃ ὡς δαπανηθῆναι τὸ τυρόγαλα, ἀστακοί, πάγουροι, καρίδαι, καραβίδες ἐὰν ἑψήσῃ, αὐτὰ καὶ κενώσῃ τὸ ὑγρὸν αὐτῶν, κρατεῖται τὴν κοιλίαν, ὥσπερ καὶ τῶν ὀστριδίων καὶ μυδίων καὶ τῶν ὁμοίων αὐτοῖς ἡ σάρξ. φακὴ δὲ καὶ κράμβη δὶς ἑψηθεῖσαι ἐπέχουσι τὴν κοιλίαν, ἵνα μετρίως μὲν ἑψηθῇ, εἶτα τὸ ὕδωρ ἀποχυθῇ, καὶ ἐμβάλῃς αὐτὰ ἐν ἑτέρῳ θερμῷ, καὶ ἰσχυρῶς ἑψήσας, ἕως ἁπαλὰ γένωνται, ἔλυμιν, ὀρίζιν, ἐλίμην, κέγχρος, τὰ τηγάνου, λαγωοῦ κρέατα, οἶνος στυφὸς καὶ ξανθός.

Κεφ. ι΄. Ὅσα κακόχυμα.

Τῆς κακοχυμίας οὐχ ἓν εἶδός ἐστιν. τὰ μὲν γὰρ φλεγματικώτερα τυγχάνει, τὰ δὲ χωλοδέστερα, καὶ ἄλλα μελαγχολικώτερα. ἀπέχεσθαι δὲ χρὴ πάντων τῶν κακοχύμων ἐδεσμάτων, κἂν εὔπεπτά τισιν ᾖ· ἐν τῷ χρόνῳ γὰρ κακοχυμία θησαυριζομένη ἐν ταῖς φλεψίν, ἐπειδὰν ἀφορμῆς ὀλίγης εἰς σῆψιν ἐπιλάβηται, πυρετοὺς χαλεποὺς ἀπεργάζεται. ἔστι δὲ κακόχυμα τὰ δέ· τῶν προβάτων ἡ σὰρξ καὶ τῶν αἰγῶν ὁμοίως μετὰ δριμύτητος, ἡ δὲ τῶν τράγων χειρίστη, ἐφεξῆς δὲ ἡ τῶν κριῶν, ἔπειτα τῶν ταύρων, ἐν πάσῃ δὲ παλαιὰ χείριστα. τῶν λαγωῶν ἡ σὰρξ αἵματος μὲν ἐστιν παχυτέρου γεννητική. βελτίονος δὲ εἰς εὐχυμίαν, βοὸς καὶ προβάτου· κακόχυμος δὲ καὶ ὁ τῶν ἐλάφων νεφρὸς καὶ οἱ ὄρχεις τῶν ἐπὶ πλέον ηὐξημένων ζώων πλὴν τῶν ἀλεκτρυόνων ἐγκέφαλος, ὁ τῆς ῥάχης μυελός, σπλήν, τὸ δὲ ἧπαρ ὀλίγον κακοχυμότερον τοῦ χοιρείου. πάντα τὰ σπλάγχνα τῶν ζώων κακόχυμα, ᾠὰ τὰ τηγανιστά, τυροὶ παλαιοὶ βολῖται, ἀμανῖται, τῆλις, φακή, τύφη, βρῶμος· ἡ δὲ ὄλυρα μέσον ἐστὶ σίτου καὶ τύφης καὶ βρώμου, ἐλίμην, κέγχρον καὶ ὅσα τοιαῦτα, οὐκ εὔχυμα. Τῶν δὲ ἰχθύων δρακόντιον κοκύλιον, γαλαιώνυμοι, σκορπίοι, ὀρφοί,

τρίγλαι αἱ τὰς καρίδας ἐσθίουσαι, καὶ οἱ μεγάλοι τῶν ἰχθύων καὶ τὰ ὀπωρινὰ πάντα. σῦκα δὲ ὀλίγον τῶν ἄλλων κακόχυμα, καὶ αἱ σταφυλαὶ ὁμοίως. κακόχυμοι δὲ καὶ ἰσχάδαι τοῖς ἐν αὐταῖς πλεονάζουσιν, ἀππίδια, ἄγουρα, κινάραι καὶ μᾶλλον ὅταν σκληρότεραι γένωνται, πεπώνια· ἡ δὲ κολόκυνθος τούτων μέν ἐστι κάλλιον, ἐὰν καλῶς πεφθῇ· ἐὰν δὲ ἀποπεφθῇ, κακόχυμος γίνεται. Τῶν δὲ λαχάνων οὐδέν ἐστιν εὔχυμον, μέσων δὲ τῶν εὐχύμων καὶ κακοχύμων ἐστὶν τὸ μαρούλιον καὶ τὰ ἴντιβα καὶ μετὰ ταῦτα μαλάχη, εἶτα χρυσολάχανον, καὶ χοιροβότανον, καὶ βλῆτον καὶ λάπαθον. αἱ δὲ ῥίζαι τῶν λαχανωδῶν φυτῶν κακόχυμοί εἰσιν. ὅσαι δριμεῖαι οἷον κρόμμυα καὶ πράσα καὶ σκόροδα, καὶ κραμβίου ὁ καυλός, καὶ δαυκία, γογγύλιον τὸ μὴ ἑψηθὲν καλῶς, κράμβη, βολβοὶ καὶ μὴ καλῶς ἑψηθέντες. τὰ κρόμμυα δὲ καὶ τὰ σκόροδα καὶ τὰ πράσα καὶ ἀμπελόπρασα; δὶς ἐκζεσθέντα ἀποτίθεται τὴν κακοχυμίαν· κακόχυμα δέ εἰσιν ἐσχάτως τὰ ἄγρια λάχανα ἤγουν ἀγριομαρούλλια, καὶ ζοχία, καὶ πικρίδες, καὶ τὰ ὅμοια τούτων τῶν οἴνων οἱ παχεῖς καὶ δυσώδεις καὶ αὐστηροί.

Κεφ. ιαʹ. Ὅσα φλέγμα γεννᾷ.

Τῶν ζώων τὰ νευρώδη μόρια ἤγουν τὰ ποδάρια, τὰ δερματα, ἐγκέφαλος, πνεύμων, τῆς ῥάχης ὁ μυελὸς καὶ τῶν ἀρνίων ἡ σάρξ, ἀμανιτάρις καὶ ἡ σὰρξ τῶν ὀστρακοδέρμων καὶ τῶν ἀπαλοσάρκων καὶ μῆλα ἄγουρα.

Κεφ. ιβʹ. Ὅσα μελαγχολικὸν χυμὸν γεννᾷ.

Κρέατα βόεια, αἴγεια, καὶ μᾶλλον τῶν ταύρων τε καὶ τράγων, λαγωοῦ σάρξ, ἀγριοχοίρεια, τὰ παστὰ κρέη τὰ τῶν τετραπόδων ζώων καὶ οἱ σπλῆνές τῶν ζώων. Τῶν δὲ θαλασσίων ἰχθύων κοχλίαι, τῶν δὲ λαχάνων κράμβαι καὶ τῶν δένδρων οἱ βλαστοὶ δι' ἅλμης ἢ καὶ ὀξάλμης συντιθέμενοι. τῶν δὲ ὀσπρίων ἡ φακή ἐστιν μελαγχολικώτερον ἔδεσμα καὶ μετὰ αὐτὴν οἱ πυρῖται τῶν ἄρτων καὶ οἱ ἐκ τῆς τύφης καὶ κέγχρου καὶ ἐλιμίου καὶ βύκου. τῶν δὲ οἴνων οἱ παχεῖς καὶ μέλανες.

### Κεφ. ιγ΄. Ὅσα χολὴν γεννᾷ.

Ξυλοκέρατα, καὶ κινάρια, καὶ τὸ μέλι ἐκχολοῦται εὐκόλως κατὰ τὰ θερμὰ σώματα, καὶ οἱ γλυκεῖς οἶνοι.

### Κεφ. ιδ΄. Ὅσα γλίσχρους χυμοὺς γεννᾷ.

Οἱ σεμιδαλῖται ἄρτοι καὶ αὐτὴ ἡ σεμίδαλις καὶ τὰ τραγανὰ μόρια τῶν ζώων, ὀστᾶ, ὠτία, καὶ τὰ μυτία καὶ περὶ τὰ χείλη, καὶ τὸ χοίρειον κρέας τὸ χλωρόν, καὶ τὸ τῶν ἀρνίων, τὸ σησάμιν καὶ οἱ βολβοὶ τὰ τετράγγουρα καὶ οἱ λιπαροὶ φοίνικες.

### Κεφ. ιε΄. Ὅσα ὠμοὺς χυμοὺς γεννᾷ.

Οἱ χλωροὶ φοίνικες, ῥίζα τοῦ γογγυλίου, ὅταν πλεονάσῃ τις ἐν αὐτῇ, ἡ σὰρξ τῶν ὀστρακοδέρμων τῶν σκληροσάρκων, ἀποβαλοῦσα τὸν ζωμὸν ἐκ τῆς πολλῆς ἑψήσεως, καὶ τὰ μαλάκια καλούμενα, οἷον ὀκταπόδια, σηπίαι, καλαμάρια, μοσχῖται, καὶ τὰ μεγάλα ὀψάρια, ὡς θύναι, σαυροί, ξιφίαι. τῶν δὲ ζώων τὰ μέρη, κοιλίαι, ἔντερα, μήτρα, ὀξύγαλα, τυροὶ ἁπαλοί, λουπηνάρια, σταφυλαί, ὅταν κρατήσῃ τὴν κοιλίαν, τὰ δὲ αὐτὰ καὶ τοὺς ψυχροὺς τίκτει χυμούς.

### Κεφ. ις΄. Ὅσα ἄφυσα.

Κύμινον, λιβυστικοῦ ῥίζα καὶ τὸ σπέρμα, λινόχοκκα, καναβόσπερμα, φάβα φρυκτόν, βολβοὶ δὶς ἑψηθέντες ἐν ἐλαίῳ καὶ γάρῳ καὶ μετ' ὄξους ἐσθιόμενα, μέλι τὸ ἀπαφρισθέν, ὀξύμελι, ὥστε καὶ πνεύματα καταρρήγνυσιν, ἄρτοι κρίθινοι.

### Κεφ. ιζ. Ὅσα φυσώδη.

Ἐρεβίνθια, λουμπηνάρια, φασούλια, αὖχος, κέγχρος, κύαμοι, οἱ χλωροὶ φοίνικες, γάλα, καὶ μάλιστα τὸ ψυχρόν, βολβοὶ οἱ ὠμότεροι, μέλι τὸ ἑψηθέν. τῶν οἴνων οἱ γλυκεῖς ἅμα καὶ αὐστηροί. σύκων δὲ καὶ μάλιστα τῶν ὡρίμων καὶ ἰσχάδες. ὀλιγοχρόνιος ἡ ἐμπνευμάτωσις.

*Κεφ. ιη΄. Ὅσα παχύχυμα. Ὅσα ὀξώδη χυμὸν γεννᾷ.*

Οἱ λειψανάβατοι ἄρτοι, αἱμονστόπιται, ἰτρίν, τὰ πλακούντια, οἱ λοβοὶ τῶν φασσουλίων, τὰ λουπηνάρια, φακή, φάβα φρυκτόν, σισάμην, οἱ κητνώδεις τῶν ἰχθύων, σηπίαι, ὀκτάποδες, ὀστρύδια, μύδια, κτένια, πίννες, κηρύκια, χηβάδες, σωλῆνες, ἐγχέλια, κοχλίδια, ἐλάφεια κρέη, αἴγεια, βόεια, λάγεια, χοίρεια, ἧπαρ, νεφροί, ὄρχεις, ἐγκέφαλος τουτέστι μυελὸς ὁ τῆς κεφάλης, μυελὸς τῆς ῥάχης, μαστάρια, γλῶσσαι, γάλα τὸ ἐπὶ πλέον ἑψηθέν, τυροὶ πάντες, ὀξύγαλα, ᾠὰ ἐκζεστά, μᾶλλον δὲ τὰ ὀπτὰ σκληρὰ γενόμενα, καὶ ἔτι μᾶλλον τὰ τυγανιστά, κάστανα, βαλάνια, βολβοί, γογγύλια, ὕδνα, κώνειον, σῦκα τὰ ἀγουρότερα, κίτρου σάρξ, ἀγγούρια καὶ τετράγγουρα, μῆλα τὰ μὴ ὥριμα. τῶν οἴνων οἱ γλυκεῖς καὶ μᾶλλον τὸ ἕψημα καὶ τὸ μουστάριον.

*Κεφ. ιθ΄. Ὅσα πολύτροφα.*

Χοίρεια κρέη, βοῶν ὁ ἐγκέφαλος, ὄρχεις, καρδία, τῆς ῥάχης ὁ μυελός, καὶ πᾶς μυελός. τὰ πτερύγια τῶν χηνῶν καὶ μᾶλλον τῶν ὀρνίθων καὶ παντοίων τῶν πετεινῶν αἱ κοιλίαι. τῶν ὀστρακοδέρμων τὸ σκληρόσαρκα, οἷον κηρύκια, κογχύλια, ἀστακοί, πάγουροι, καρίδαι, καραβίδες, ὀκτάποδες, σηπίαι, καλαμάρια καὶ τὰ τοιαῦτα, νάρκη, τρυγών, βάτοι καὶ λειοβάτοι, καὶ ῥίναι, καὶ τρίγλαι, ὁ σεμιδαλίτης ἄρτος, εἶτα ὁ καθαρὸς ἀλευρίτης, σιτάρην ἑψητόν, σεμίδαλις, κύαμοι, ἐρέβινθοι, φάσουλοι, αὖχος, τῆλη, λωβοί, λουπηνάρια, κάστανα, φακή, οἱ γλυκεῖς φοίνικες, σταφίδες γλυκεῖαι καὶ λιπαραί, βαλάγιον, γογγύλιον, βολβοὶ δὶς ἑψηθέντες, μέλι τὸ ἀπαφρισθὲν, καὶ εὐκρατόμελι τὸ καλῶς ἑψηθέν, οἱ παχεῖς τῶν οἴνων καὶ ῥούσιοι, πλέον δὲ οἱ μέλανες καὶ γλυκεῖς καὶ παχεῖς καὶ στύφοντες.

*Κεφ. κ΄. Ὅσα ὀλιγότροφα.*

Τὰ ἄκρα τῶν ζώων, μήτρα, κοιλία, ἔντερα, οὐρά, ὠτία, ἀξούγγιν, καθόλου πᾶν τὸ γένος τῶν ὀρνίθων ὀλιγοτροφότερά ἐστι τῶν τετραπόδων καὶ τῶν γεγηρακότων ζώων τῶν ἔτι αὐξανομένων. τῶν ἰχθύων ἡ τροφὴ αἵματος ἐστι λεπτοτέρου γεννητική, τῶν ὀστρακοδέρμων τὰ μαλα-

κόσαρκα, οἷον τὰ ὄστρεια, ἄρτοι κρίθινοι, ἄρτοι πιτυρῖται καὶ ῥυπαροί, ἀλλὰ καὶ οἱ πλυτοί, ἄμυλον, βρῶμος, κέγχρος καὶ μᾶλλον ἔλιμην, ὀρίζιν, φάβα χλωρόν, συκάμινα, ἀμύγδαλα, πιστάκια, δαμάσκηνα, ῥοδάκινα, μαζιζάνια, βερίκοκκα, ἐλαῖαι μαῦραι, λεπτυκάρυα καὶ μάλιστα τὰ μεγάλα, κάρυα, ζίνζιφα, κράνια, προῦμνα, κάπαρι, σεῦτλον, λάπαθον, ὀξυλάπαθον χοιροβότανον τὸ καὶ τραῦλον λεγόμενον, ῥάφανον, γογγύλιον, σινάπι, κάρδαμον καὶ οἱ ἀσπάραγοι πάντες, δαυκίν· κρόμμυα δὲ καὶ σκόροδα καὶ πράσα καὶ ἀμπελόπρασα ὠμὰ μὲν οὐδὲ ὅλως τροφὴν δίδουσι τῷ σώματι, ἑψηθέντα δὲ δὶς ἢ τρίς, ὀλιγίστην ῥοΐδια, ἄπια κολόκυνθος, σταφίδες αἱ στύφουσαι καὶ μὴ λιπαραί· τὰ σῦκα ἔχει τι πολυτροφώτερον, χαύνην δὲ ποιεῖ τὴν σάρκα, ὁμοίως ταῖς σταφυλαῖς· ἔλαττον δὲ αἱ σταφυλαὶ τῶν σύκων τρέφουσιν.

Κεφ. κα'. Ὅσα περιττωματικά.

Φάσσαι, χῆναι πλὴν τῶν πτερυγίων σπλάγχνα πάντα, ἢ ἧπαρ, σπλήν, νεφρός, ἔντερα, μήτρα, τῆς ῥάχης ὁ μυελός, τὰ ἐν ταῖς λίμναις καὶ τοῖς ἕλεσι βοσκόμενα ὄρνεα, ἐρέβινθοι, καὶ κύαμοι χλωροί, τὰ λακτέντα, τῶν προβάτων ἡ σὰρξ καὶ πάντων τῶν νέων ζώων καὶ τῶν ἀργῶς βιούντων, καὶ τῶν ἰχθύων οἱ ποτάμιοι καὶ λιμναῖοι καὶ οἱ ἐν πόλει διαιτώμενοι, καὶ πάντα τὰ κητώδη τῶν ἐν θαλάσσῃ ζώων.

Κεφ. κβ'. Ὅσα περιττά.

Τράχηλοι τῶν ζώων, οὐραί, πτερύγια, ἡ τῶν ἀγρίων ζώων σὰρξ καὶ τῶν ἐν ξηροῖς τόποις διαιτωμένων.

Κεφ. κγ'. Ὅσα λεπτύνει.

Σκόροδα, κρόμυα, κάρδαμα, πράσα, σινάπι, πέπερι, ὀρίγανον, ἡδύοσμον, ὕσσωπον, βλυσκούνιν, θύμος, θρύμβαι χλωραὶ προσφερόμεναι, εὔζωμα, σέλινα, πετροσέλινα, ῥεφάνια, κράμβη, σεῦτλα, σκώλιμον, μάλαθρον, πήγανον, ἄνηθον, κύμινον, κάππαρι, ἄνισον, δαυκίου σπέρμα, κριθαί, οἱ πετραῖοι τῶν ἰχθύων καὶ τῶν ὀρείων ὀρνέων τῶν

μικρῶν, καὶ τὰ ἐν τοῖς ὄρεσι διαιτώμενα τετράποδα, ὄψαροι, καὶ κίχλαι, καὶ κόσσυφοι, καὶ πέρδικες καὶ οἱ τρωγλῖται, καὶ τὰ ἐν ἀμπέλοις εὑρισκόμενα πτηνὰ καὶ αἱ περιστεραὶ αἱ διαιτώμεναι εἰς τοὺς πύργους. ἐκ δὲ τῶν σελαχίων ἡ νάρκη καὶ ἡ τρυγὼν τῆς αὐτῆς ἐστι δυνάμεως. τὰ βούγλωσσα καὶ τὰ ψισία, τὰ δὲ μεγάλα τῶν ζώων καὶ τὰ ὄρνεα, σφάξαντα μετὰ μίαν ἡμέραν ἐσθίειν, καὶ τὰ παστὰ ὅσα εἰσὶ μαλακά, καὶ τῶν ὀπώρων τὰς ὑγροτέρας καὶ εὐκοιλίους, ἰσχάδες μετὰ καρύων καὶ πιστακίων καὶ τῶν ἀμυγδάλων αἱ ὑπόπικροι, μέσαι δέ πως εἰσιν αἱ ἐλαῖαι· τῶν οἴνων οἱ λευκοὶ καὶ λεπτοί, καὶ τὸ τυρόγαλα. χρησιμώτερον δέ ἐστιν εἰς λεπτύνουσαν δίαιταν τὸ ὀξύμελι μάλιστα.

### Κεφ. κδ΄. Ὅσα θερμαίνει.

Σιτάριν ἐκζεστόν, καὶ οἱ ὑπ' αὐτῶν ἄρτοι, τῆλις, οἱ γλυκεῖς φοίνικες, μῆλα τὰ γλυκέα, σισάμην, κανάβεως σπέρμα, αἱ γλυκεῖαι τῶν σταφυλῶν, σέλινον, εὔζωμον, ῥάφανον, γογγύλιον, σίνηπι, κάρδαμον, δαῦκιν, σκόροδα, κρόμυον, πράσον, ἀμπελόπρασον, τυρὸς παλαιός, οἶνος γλυκύς, θερμότερος δὲ ὁ ξανθὸς οἶνος καὶ παλαιός.

### Κεφ. κε΄. Ὅσα ψύχει.

Κριθαὶ κατὰ πάντας τοὺς τρόπους τῆς ἑψήσεως, κίγχρος, ὕδνα, κολόκυνθος ἐκζεστή, πέπωνες, μηλοπέπωνες, ἀγγούρια, τετράγγουρα, κοκκίμηλα, συκόμορα, καὶ ὄξυναι σταφυλαί, καὶ αἱ στύφουσαι τῶν σταφίδων, τὰ στύφοντια μῆλα, ῥοΐδια ὄξυνα, μαρούλιον, ἰντύβια, χοιροβότανον, μυρσινόκοκκα, ὕδωρ, ὑδατώδης οἶνος, οἶνος ὁ λευκὸς καὶ αὐστηρὸς καὶ παχὺς καὶ νέος αἰσθητῶς ψύχει καὶ τὸ ὄξος. μέσα δὲ τῶν θερμαινόντων καὶ ψυχόντων εἰσὶν ἄρτοι πλυτοί, ἄμυλον, αἱ οἰνώδεις τῶν σταφυλῶν.

### Κεφ. κϛ΄. Ὅσα ξηραίνει.

Φακή, καὶ κράμβη, διὰ τοῦτο καὶ τὴν ὄψιν ἀμβλύνουσιν, πλὴν εἰ τύχει ὑγρότερων ὁ σύμπας ὀφθαλμός, ὀλιγώτερον δὲ τῆς κράμβης ὁ καυλὸς αὐτὴν ξηραίνει. τῶν δὲ ἄλλων λαχάνων ξηρότερος ὁ καυλός ἐστιν, ῥαφάνια, γογ-

γύλια, σίνηπι, λιγόκοκκον, ὄροβοι δὶς ἑψηθέντες καὶ ἀπογλυκανθέντες πολλάκις δι' ὕδατος ἔδεσμα ξηραντικὸν γίνεται, καλλίω δέ εἰσιν οἱ λευκοὶ καὶ ὅσα ὀπτᾶται καὶ τηγανίζεται· ξηροτέραν δίδωσι τροφὴν καὶ ὅσα ἀρτύεται διὰ οἴνου καὶ γάρου, ξηρότερα τῶν οὐκ ἐχόντων εἰσὶ καὶ ὅσα διὰ σπερμάτων σκευάζεται ἤγουν ἐν οἷς εἰσέρχεται πεντάρτυμα, καρναβάδιν, βλισκούνιν, καὶ ὅσα τοιαῦτα.

Κεφ. κζ'. Ὅσα ὑγραίνει.

Κριθάριν ἑψημένον, κολόκυνθα, πέπωνες, μηλοπέπωνες, ἀγγούρια, καὶ τετράγγουρα, καρύδια χλωρά, δαμάσκηνα, συκόμορα, συκάμινα, μαρούλλια, ἰντύβια, χοιροβότανον, μαλάχη, βλῆτα, χρυσολάχανον ὑγραίνει δὲ καὶ τὸ τοῦ μαρουλλίου καὶ τὸ τῆς κωδίας βλῦτα σπέρμα, φάβα, καὶ ἐρέβινθα χλωρά, ὕδωρ.

Κεφ. κη'. Ὅσα εὔφθαρτα.

Ῥοδάκινα, μαζιζάνια, βερίκοκκα καὶ πᾶσαι αἱ ὀπῶραι, ὅταν μὴ ταχέως διαχωρηθῶσιν, διόπερ προεσθίειν αὐτὰ χρὴ τῶν ἄλλων, οὕτως γὰρ αὐτά τε ταχέως ὑπέρχεται καὶ τοῖς ἄλλοις ὁδηγεῖ. ὕστερον δὲ βρωθέντα αὐτά τε διαφθείρεται, συνδιαφθείρει δὲ καὶ τὰ ἄλλα διαφθείρει.

Κεφ. κθ'. Ὅσα δύσφθαρτα.

Κογχύλια, κηρύκια, ἀστακοί, καραβίδες, πάγουροι, καρίδες, πίνναι, ταῦτα τοῖς διαφθείρουσι τὴν τροφὴν ὑπὸ κακοχυμίας γινόμενα. ἑψῶντες δὶς καὶ τρὶς ἐν ὕδατι καλλίστῳ, μετατιθέντες καθαρόν, ὅταν ἤδη τὸ πρότερον ἁλμυρὸν φαίνεται.

Κεφ. λ'. Ὅσα βραδύπορα.

Πάντα ὅσα δι' ἰτρίων καὶ σεμιδάλεως σκευάζεται βραδύπορα, φάβα φρασόμενον, οἱ καθαροὶ τῶν ἄρτων, φακὴ τοῦ λίπους ἀφῃρημένη, ἐγκέφαλος, τῆς ῥάχεως ὁ μυελός, ἧπαρ, συκώτιν, καρδία, ὀπτὰ ᾠά, ἐκζεστὰ καὶ ἔτι μᾶλλον τηγανιστά, λουπινάρια, φασούλια, σισάμην, βαλάνια, μῆλα,

καὶ ἀπίδια τὰ ἀγουρότερα, ξυλοκέρατα, οἶνος γλυκύς, καὶ μᾶλλον ὁ στρυφνὸς καὶ τὸ ὕδωρ.

Κεφ. λα'. Ὅσα κεφαλὴν βλάπτει.

Συκάμινα, βάτζινα, κεδρόκοκκα, κανναβάκοκκα, φοινίκια, εὔζωμα, τῆλις, λιγόκοκκον, ὁ ξανθὸς καὶ αὐστηρὸς οἶνος· καὶ οἱ εὐώδεις δὲ ἅπαντες οἶνοι τῆς κεφαλῆς καὶ τῶν νεύρων ἅπτονται, ὁ δὲ ὑδατώδης οὔτε κεφαλὴν οὔτε νεῦρον ἀδικεῖ, γάλα, δαμάσκηνα, κρόκος, κάρυα, ὁ νέος οἶνος, κάστανα, πράσα, κρόμμυνα, σκόροδα, ταρχὸς φουκάς.

Κεφ. λβ'. Περὶ πίστου.

Πίστος, ἡ κέγχρος ὀλιγότροφος καὶ ψυχρόν, ὑγραινομένην δὲ γαστέραν ξηραίνει. ἔχει δέ τι καὶ δύσπεπτον.

Κεφ. λγ'. Περὶ ὀρύζης.

Ὀρίζιν ἐπέχει δὲ τὴν γαστέρα, δυσπεπτότερον δέ ἐστιν τοῦ χόνδρου.

Κεφ. λδ'. Περὶ χόνδρου.

Ὃ λέγουσιν οἱ ἄγροικοι κουρκούτιν καὶ ἀτροφώτερον χόνδρος, τὸ κουρκούτην τροφιμόν ἐστιν, φλέγμα δὲ γεννᾷ, ἐὰν εἰς κόρον αὐτὸ φάγῃ τις, ἢ καὶ ἀπεπτήσῃ.

Κεφ. λε'. Περὶ φακῆς.

Στύφει τὸ λέπος αὐτῆς. ἡ δὲ σὰρξ αὐτῆς μελαγχολικὸν γεννᾷ χυμόν, βλάπτει δὲ καὶ τὸ φῶς εἰς τοὺς ξηροτέρους ἔχοντας ὀφθαλμούς.

Κεφ. λϛ'. Περὶ κυάμου.

Κύαμος τὸ λεγόμενον φάβα αἵματος λεπτοτέρου γεννητικόν. φυσῶδες δέ ἐστιν ἔδεσμα, χλωροὶ δὲ ἐσθιόμενοι ὑγραίνουσι τὰ σώματα.

Κεφ. λζ. Περὶ ἐρεβίνθων.

Οἱ ἐρέβινθοι φυσώδεις εἰσὶ καὶ αὐτοὶ καὶ τρόφιμοι,

ὥσπερ οἱ κύαμοι, ἐπεγείρουσι δὲ καὶ τὰς εἰς τὰς μίξεις κινήσεις, καὶ σπέρματός εἰσι γεννητικοί. θρύπτει δὲ τὸ ἀπόζεμα αὐτῶν τοὺς ἐν τοῖς νεφροῖς λίθους καὶ μάλιστα οἱ μαῦροι καὶ μικροί. ἐὰν δὲ φρυγῶσιν οἱ ἐρέβινθοι, ὥσπερ καὶ οἱ κύαμοι, καὶ τὴν κοιλίαν ἐπέχουσι καὶ τροφιμότεροι γίνονται. χλωροὶ δὲ καὶ αὐτοὶ ἐσθιόμενοι, ὑγρασίαν τοῖς σώμασι παρέχουσιν.

Κεφ. λη'. Περὶ λουπιναρίων.

Δύσπεπτόν ἐστι καὶ παχὺν γεννᾷ χυμόν, μέσον δέ ἐστιν λουπιναρίου εὐκοιλίου καὶ δυσκοιλίου.

Κεφ. λθ'. Περὶ τήλεως.

Ἀποβραχεῖσα καὶ ἀπογλυκανθεῖσα καὶ φυτρωθεῖσα ἡ τῆλις ὑπάγει γαστέρα, διὰ γάρου προεσθιομένος ὁ καρπὸς δηλονότι ἢ δι' ὄξους, καὶ γάρου ἢ δι' οἴνου καὶ γάρου καὶ ἐλαίου· κεφαλαλγὴς δέ ἐστιν ἡ διὰ γάρου μόνου ἐσθιομένη· ἐὰν δὲ μετὰ οἴνου καὶ γάρου καὶ ἐλαίου λάβῃ τις αὐτήν, οὐ γίνεται κεφαλαλγής. ὁ χυλὸς δὲ αὐτῆς ἑψηθεὶς καὶ μετὰ μέλιτος λαμβανόμενος ὑπάγει τοὺς ἐν τοῖς ἐντέροις μοχθηροὺς χυμούς. ἔστι δὲ καὶ εὐκοίλιος.

Κεφ. μ'. Περὶ φασουλίου.

Καὶ αὖχους καὶ ταῦτά τινες ἀποβρέχουσι μέχρι τοῦ φυῆσαι ῥίζαν καὶ ἐσθίουσιν πρὸ τῆς ἄλλης τροφῆς, ὑπαγωγῆς ἕνεκα γαστρός, καὶ ἐναποβάπτοντες γάροις. τρόφιμον γεννῶσι δὲ χυμὸν ὅταν καλῶς πεφθῶσι. καὶ πλέον τῆς τήλεως· εἰσὶ δὲ ταῦτα μέσα πως τῶν εὐχύμων καὶ κακοχύμων, εὐπέπτων τε καὶ δυσπέπτων, βραδυπόρων τε καὶ ταχυπόρων, ἀφύσων τε καὶ φυσωδῶν, ὀλιγοτρόφων τε καὶ πολυτρόφων.

Κεφ. μα'. Περὶ λαθύρων.

Οὗτοι τροφιμώτεροι τῶν φασουλίων καὶ αὖχους. τὰ δὲ ἄλλα ὅμοιοι· χορτάζει γὰρ τοὺς ἐσθίοντας ταχέως.

Κεφ. μβʹ. Περὶ σησάμου.

Σήσαμον ταχέως τοὺς ἐσθιόντας χορτάζει· ἔστι δὲ βραδύπορον, δύσπεπτον καὶ κακοστόμαχον καὶ παχύχυμον καὶ δυσῶδες.

Κεφ. μγʹ. Περὶ καναβοκόκκου.

Δύσπεπτον καὶ κακοστόμαχόν ἐστι, καὶ κεφαλαλγές τε καὶ κακόχυμον. θερμαίνει δὲ ἱκανῶς.

Κεφ. μδʹ. Περὶ κολοκύνθης.

Ὑγρὰν δίδωσι καὶ ψυχρὰν τροφὴν τῷ σώματι καὶ ὀλίγην καὶ εὐκοίλιον. ἐὰν δὲ ψυγῇ ὥσπερ κόπτουσι καὶ ξηραίνουσι αὐτὴν καὶ ξηρὰν ἐσθίουσιν ἐν χειμῶνι ὠμῶν χυμῶν ἐστι γεννητική.

Κεφ. μεʹ. Περὶ πεπόνων.

Ψυχροί εἰσι καὶ ὑγροί· ἔχουσι δέ τι καὶ καθαρτικόν· διὸ καὶ κινοῦσιν οὖρα καὶ ὑγραίνουσι τὴν κοιλίαν, πλέον τῆς κολοκύνθης, καὶ τῶν μηλοπεπόνων, πλέον δὲ τῆς σαρκὸς αὐτῶν οὐροῦσι, κινεῖ τὸ σπέρμα. κακοχυμίαν δὲ ποιοῦσι ἐν τῷ σώματι, καὶ μάλιστα ὅταν μὴ πεφθῶσι καλῶς. τηνικαῦτα δὲ καὶ χολερικοὺς ἀποτελοῦσι, καὶ πρὶν ἀπεπτηθῶσι, πρὸς ἔμετον ἐπιτήδειοί εἰσι, καὶ μάλιστα, εἰ πλέον βρωθῶσι.

Κεφ. μϛʹ. Περὶ μηλοπεπόνων.

Οἱ μηλοπέπονες οὐ τοσοῦτόν εἰσιν ὑγροὶ ἢ κακόχυμοι ὅσον οἱ πέπονες, οὐκ εἰσὶ δὲ οὕτως οὐρητικοί, οὐδὲ εὐκοίλιοι, οὐδὲ εἰς ἔμετον ὁμοίως ἐκείνοις ἐξορμῶσιν· ἀπολειπόμενοι δὲ τῶν εὐστομάχων ὀπωρῶν τῶν ἄλλων οὐκ ἔχουσι τῶν πεπόνων τὸ κακοστόμαχον.

Κεφ. μζʹ. Περὶ ἀγγούρων καὶ τετραγγουρίων.

Ἔχουσιν οὐρητικόν τι καὶ αὐτοί, περισσῶς δὲ ἐσθιόμενοι ἐν τῷ χρόνῳ παχὺν χυμὸν γεννῶσι, μὴ δυνάμενον εἰς αἷμα μεταβληθῆναι.

### Κεφ. μη΄. Περὶ σύκων.

Κακόχυμα μέν εἰσιν, ὡς αἱ λοιπαὶ ὀπῶραι, πλὴν ὀλιγώτερον ἐκείνων, ἔχουσι δὲ καὶ ἀγαθὰ ταῦτα. εὔκοιλα γάρ εἰσι καὶ ῥυπτικὰ ἤγουν καθαρτικόν τι ἔχουσι, τροφὴν δὲ πλείονα τῶν ἄλλων ὀπωρῶν δίδωσι τῷ σώματι. τὴν δὲ σάρκα τῶν ἐσθιόντων, οὐκ ἐσφιγμένην καὶ ἰσχυρὰν ἐργάζεται, ἀλλ' ὑπόσομφον, τουτέστιν ὑπόζογγον. ποιεῖ δὲ ἐμπνευμάτωσιν, ἀλλ' ὅμως ὀλιγοχρόνιον, ἐσθίειν δὲ δεῖ τὰ πάνυ ὥριμα.

### Κεφ. μθ΄. Περὶ ἰσχαδίων.

Τὰ ἰσχάδια κακόχυμά εἰσιν, ὅθεν καὶ φθειρῶν πλῆθος γεννῶσι. δύναμιν δὲ ἔχουσι λεπτυντικήν τε καὶ τμητικήν, δι' ἣν εἰσι καὶ εὐκοίλια καὶ καθαρτικὰ τῶν νεφρῶν· ἥπατι δὲ καὶ σπληνὶ φλεγμαίνουσι βλαβερὰ καθάπερ καὶ τὰ σῦκα καθὼς πάντα τὰ γλυκέα· ἐμπεφραγμένοις δὲ καὶ σκληρουμένοις ἤγουν σκληροῖς τοῖς σπλάγχνοις μετὰ ὑσσώπου ἢ βλισκουνίου ἐσθιόμενα μεγάλως ὠφελοῦσι. ὅσοι δὲ αὐτὰ ἐσθίουσιν μετὰ ἄλλων βρωμάτων, μεγάλως βλάπτονται, ἀλλὰ καὶ τρέφουσιν ἱκανῶς, καθὼς τὸ παλαιὸν τοῖς ἀθληταῖς ἐδίδοντο.

### Κεφ. ν΄. Περὶ σύκου καὶ σταφυλῆς.

Κεφαλαί εἰσιν αὗται τῶν ὀπωρῶν. εἰσὶ δὲ καὶ πασῶν τροφιμώτερα καὶ μάλιστα τὰ σῦκα καὶ ὀλίγον εἰσὶ κακόχυμα, ὅταν εἰσὶν ἀκριβῶς ὥριμα. ὀλιγώτερον δὲ τῶν σύκων αἱ σταφυλαὶ τρέφουσιν. ἀγαθὸν δὲ αὐταῖς ὑπάρχει τὸ ταχέως διαχωρεῖσθαι. διὸ κἂν ἐπισχεθῶσί ποτε, βλάπτουσιν ἱκανῶς, οὐκ ἐχόντων τοῦτο τῶν σύκων· ἐκεῖνα γὰρ κἂν μὴ διαχωρισθῇ, ἀβλαβῆ τροφὴν δίδωσι τῷ σώματι. αἱ δὲ σταφυλαὶ μὴ τὴν κοιλίαν κινοῦσαι οὐδὲ χονεύονται καλῶς καὶ ὠμὸν χυμὸν γεννῶσι μὴ δυνάμενον εὐκόλως εἰς αἷμα μεταβληθῆναι. ἐσθίειν δὲ αὐτὰς χρὴ χωρὶς τῶν γιγάρτων καὶ τῶν σταφυλῶν. ἄπεπτα γὰρ ὑπάρχουσι ταῦτα. τὰ δὲ γίγαρτα καὶ στύφει, καὶ ἀχόνευτα μένει· αἱ μὲν οὖν γλυκεῖαι τῶν σταφυλῶν, θερμότερον ἔχουσι τὸν χυλόν, αἱ δὲ αὐστηραὶ ψυχρότερον.

Κεφ. να'. Περὶ ἀσταφίδων.

Αἱ μὲν οὖν αὐστηραὶ τῶν ἀσταφίδων ψυχρότεραι, ῥωννύουσαι δὲ τὸν στόμαχον καὶ τὴν κοιλίαν ξηραίνουσιν. αἱ δὲ γλυκεῖαι θερμότεραι. καὶ μέσαι πως εἰσιν εὐστόμαχοι καὶ δυσκοίλιοι. ἔχουσι δέ τι καὶ ῥυπτικόν, καὶ τὰς μικρὰς τοῦ στομάχου θεραπεύουσι δήξεις. τροφὴ δὲ ἐκ τῶν ἀσταφίδων ἀναδίδοται, οἷα καὶ ἀπὸ τῶν σταφυλῶν.

Κεφ. νβ'. Περὶ μήλων.

Ὅσα μὲν στύφῃ τῶν μήλων, ψυχρὸν ἔχει καὶ γεώδη χυμόν, τουτέστι παχύν. ὅσα δὲ ὄξυνα, ψυχρὸν καὶ λεπτομερῆ. μέσης δὲ ὑπάρχει κράσεως, τὰ γλυκέα πρὸς τὸ θερμότερον ἀποκρίνονται τὰ δὲ ἄπια ψυχρὰ καὶ ὑδατώδη καὶ διὰ τοῦτο τὰ μὲν στυφέα ἐπέχει τὴν γαστέρα. τὰ δὲ ὄξυνα χυμὸν εὑρόντα καὶ τοῦτον τέμνοντα ὑπάγει τὴν κοιλίαν. καθαρὰ δὲ εὑρόντα ἐπέχει. τὰ δὲ ἄπια, τουτέστιν τὰ μήτε γλυκέα μήτε ὄξυνα, μήτε στυφέα χείριστα πάντων.

Κεφ. νγ'. Περὶ κυδωνίων καὶ στρουθομήλων.

Τὰ κυδώνια στύψιν ἔχει πολλὴν καὶ εἴ τις ἑψήσας αὐτῶν τὸν χυλὸν μετὰ μέλιτος ἀποτίθησιν, φυλάττονται. τῶν δὲ ἄλλων μήλων ὁ χυλὸς ὀξύζει. τῶν δὲ στρουθομήλων καὶ αὐτὸς ὁμοίως τοῖς κυδωνίοις σώζεται.

Κεφ. νδ'. Περὶ ἀπίων καὶ ῥοϊδίων.

Ἀμφότερα στύφουσι, ὀλιγοτροφώτερα δὲ τὰ ῥοΐδια.

Κεφ. νε'. Περὶ μεσπίλων καὶ σουρούβων.

Ἀμφότερα στύφουσι καὶ τὴν γαστέρα ῥέουσαν ἱστῶσιν. εἰσὶ δὲ τὰ σούρουβα στυπτικώτερα καὶ ἡδονὴν ἔχοντα πλείονα.

Κεφ. νς'. Περὶ φοινίκων.

Τῶν φοινίκων οἱ μὲν γλυκεῖς εἰσιν, οἱ δὲ στύφοντες, εὐστόμαχοι καὶ γαστρὸς ἐφεκτικοί. ἅπαντες δὲ οἱ φοίνικες

*δύσπεπτοί τε εἰσι καὶ τὴν κοιλίαν κρατοῦντες, πλείονες βρωθέντες.*

*Κεφ. νζ΄. Περὶ ἐλαιῶν.*

*Ὀλιγότροφοί εἰσι καὶ μάλιστα αἱ μαῦραι. αἱ δὲ ἄσπραι αἵτινες γίνονται κολυμβάδαι, διὰ τὴν στύψιν εὐστόμαχοί εἰσιν, ἐπεγείρουσαι καὶ τὴν ὄρεξιν. ἐπιτηδειόταται δέ εἰσιν αἱ δι' ὄξους συντιθέμεναι.*

*Κεφ. νη΄. Περὶ καρύων.*

*Ὀλιγότροφά εἰσι τά τε κάρυα καὶ τὰ λεπτοκάρυα. τὰ δὲ χλωρὰ ὑδατώδη δύναμιν ἔχει, εὐπεπτότερον δέ ἐστι καὶ εὐστομαχώτερον τὸ κάρυον τοῦ λεπτοκαρύου καὶ μάλιστα μετὰ ἰσχάδων ἐσθιόμενα. τὸ δὲ ξηρὸν κάρυον βρεχόμενον καὶ ἐκλεπιζόμενον ἴσον δύναται τοῦ χλωροῦ.*

*Κεφ. νθ΄. Περὶ ἀμυγδάλων.*

*Ὀλιγότροφα [δέ] ἐστι. ἐπικρατεῖ δὲ ἐν αὐτοῖς ἡ λεπτυντική τε καὶ ῥυπτικὴ δύναμις. τὰ δὲ πικρὰ πολλὴν ἔχει τὴν τμητικὴν τῶν παχέων καὶ γλίσχρων χυμῶν δύναμιν.*

*Κεφ. ξ΄. Περὶ ζινζίφων.*

*Ὀλιγότροφα καὶ ταῦτα ἥπατι δὲ ὠφέλιμα.*

*Κεφ. ξα΄. Περὶ πιστακίων.*

*Ὀλιγότροφα καὶ ταῦτα, ἥπατι δὲ ὠφέλιμα, ὀλιγότροφα καὶ δύσπεπτά ἐστι καὶ κακοστόμαχα.*

*Κεφ. ξβ΄. Περὶ ξυλοκεράτων.*

*Κακόχυμά ἐστι καὶ χολώδη καὶ δύσπεπτα καὶ κρατυντικὰ τῆς κοιλίας.*

*Κεφ. ξγ΄. Περὶ καπάρεως.*

*Ἀπορρίπτει τὸ ἐν τῇ γαστρὶ φλέγμα καὶ ἐμφράττει τὰ σπλάγχνα πρὸ τῶν ἄλλων σιτίων, δι' ὀξυμέλιτος ἢ ἐξ ἐλαίου.*

Κεφ. ξδ'. Περὶ κίτρου.

Τὸ μὲν ὀξῶδες αὐτοῦ ἄχρηστον, ἡ δὲ σὰρξ αὐτοῦ δύσπεπτος. ἀλφοὺς συνεργεῖ εἰς πέψιν καὶ εἰς ῥύσιν στομάχου, ὥσπερ φάρμακον ὀλίγον ληφθέν.

Κεφ. ξε'. Περὶ ἀγριολαχάνων.

Τὰ ἀγριολάχανα ἐσχάτως εἰσὶ κακόχυμα.

Κεφ. ξϛ'. Περὶ μαρουλλίων.

Πάντων τῶν λαχάνων ὀλίγιστον καὶ κακόχυμον αἷμα γεννώντων, τὸ μαρούλλιον ἧττόν ἐστι κακόχυμον, καὶ ὀλιγότροφον.

Κεφ. ξζ'. Περὶ ἰντίβων.

Δεύτερόν ἐστι μετὰ τὸ μαρούλλιον· γλίσχρον γὰρ καὶ διὰ τοῦτο εὐκοίλιον μετ' ἐλαίου καὶ γάρου ἐσθιόμενον καὶ μετρίως ἐστὶν εὔπεπτον.

Κεφ. ξη'. Περὶ σεύτλου.

Κακοστόμαχόν ἐστι πλείων βρωθέν, ῥυπτικὸν δέ ἐστιν καὶ διὰ τοῦτο εὐκοίλιον. χρήσιμον δὲ εἰς τὰς τοῦ ἥπατος καὶ σπληνὸς ἐμφράξεις, καὶ μάλιστα, ὅταν μετ' ὄξους ἢ σινάπεως ἐσθίηται.

Κεφ. ξθ'. Περὶ σελίνου.

Οὐρητικόν ἐστι καὶ εὐστομαχώτερον τῶν ἄλλων λαχάνων· ἐστὶν ὅτε καὶ ἡδονὴν ἐμποτοῦντα ὠμὰ ἐσθιόμενα.

Κεφ. ο'. Περὶ εὐζώμου.

Θερμαίνει σαφῶς τοῦτο τὸ λάχανον. γεννᾷ δὲ καὶ σπέρμα καὶ πρὸς συνουσίας ἐπεγείρει, κεφαλαλγικὸν δέ ἐστι.

Κεφ. οα'. Περὶ ἀσπαράγων.

Πάντες εἰσὶν εὐστόμαχοι καὶ διουρητικοὶ καὶ βραχύ τι τρόφιμον ἔχοντες.

*Κεφ. οβ΄. Περὶ βολβῶν.*

*Οἱ βολβοὶ εὐστόμαχοί εἰσι καὶ μάλιστα δι᾽ ὄξους ἅμα ἐλαίῳ καὶ γάρῳ ἐσθιόμενοι.*

*Κεφ. ογ΄. Περὶ δαυκίου.*

*Διουρητικόν ἐστιν πλὴν δύσπεπτον.*

*Κεφ. οδ΄. Περὶ ὕδνων.*

*Ἄποιά εἰσι καὶ ὑδατώδη κατὰ τὴν γεῦσιν. εἰσὶ δὲ παραπλήσια τοῖς ἀμανίταις. φλεγματώδης δέ ἐστιν ἡ ἐξ αὐτῶν τροφὴ καὶ ψυχρά, καὶ εἰ πλεονάσει τις ἐν αὐτοῖς κακόχυμος.*

*Κεφ. οε΄. Περὶ ῥαφάνων.*

*Λεπτυντικῆς ἐστι μετὰ τοῦ θερμαίνειν δυνάμεως. ἐπικρατεῖ δὲ ἡ δριμεῖα ποιότης ἐν αὐτοῖς, ὁμοίως καὶ τὰ πράσα καὶ τὰ σκόροδα καὶ τὰ ἀμπελόπρασα.*

*Περὶ τῆς ἐκ τῶν ζώων τροφῆς.*

*Αἱ σάρκες τῶν ζώων αἵματός εἰσιν ἀρίστου γεννητικοῦ καὶ μάλιστα τῶν εὐχύμων, ὁποῖόν ἐστι τὸ ὕειον· τὰ δὲ νευρώδη φλεγματικωτέρου εἰσὶν αἵματος γεννητικά. πάντων οὖν τῶν ἐδωδῶν κρεῖττόν ἐστι τὸ ὕειον κρέας, τὰ δὲ βόεια παχυτέρου καὶ μελαγχολικωτέρου καὶ παχυτέρου αἵματος γεννητικὰ καὶ βλαβερά, μάλιστα τοῖς μελαγχολικοῖς. Μόσχια δὲ καὶ ἐρίφεια τῶν βοείων καὶ αἰγείων ἀμείνω· τὰ δὲ ἄρνεια ὑγρότερον αἷμα καὶ φλεγματικώτερον γεννῶσι. Τῶν δὲ προβάτων ἡ σὰρξ κακόχυμος καὶ περιττωματική, καὶ ἡ τῶν αἰγῶν ὡσαύτως μετὰ δριμύτητος· ἡ δὲ τῶν τράγων χειρίστη πρὸς ἀχυμίαν καὶ πρὸς πέψιν. Ἐφεξῆς δὲ ἡ τῶν κριῶν καὶ μετὰ ταῦτα ἡ τῶν ταύρων. Ἐν πᾶσι δὲ τούτοις τὰ τῶν εὐνουχισθέντων κρείττονα. Χείριστα δὲ τὰ παλαιὰ πρὸς πέψιν καὶ εὐχυμίαν καὶ θρέψιν. Τοῦ δὲ λαγωοῦ αἵματός ἐστι παχυτέρου γεννητική. Κρεῖττον δὲ εἰς ἀχυμίαν βοὸς καὶ προβάτου. Κακόχυμος δὲ ἡ τῶν ἐλάφων καὶ σκληρὰ καὶ δύσπεπτος.*

*Περὶ τῶν ἐν τοῖς πεζοῖς ζώοις μορίων. Οἱ πόδες τῶν χοίρων ἐπιτήδειοι, δεύτερον δὲ τὰ ῥύγχη, καὶ*

τρίτον τὰ ὠτία. τὴν δὲ γλῶσσαν χαύνην τε καὶ ὀλίγαιμον, οἱ δὲ ὄρχεις κακόχυμοι, χονδρώδη καὶ δύσπεπτα τὰ μυτία.

*Περὶ γλώσσης.* Χαύνη καὶ ἄνεμος καὶ ὀλιγότροφος καὶ ὀλίγαιμος.

*Περὶ νεφρῶν καὶ ὄρχεων.* Βρωμώδη καὶ δύσπεπτα, πλὴν τῶν ἀλεκτρυόνων, ὄρχεις καὶ νεφροί, κακόχυμα καὶ ἄπεπτα. ἔχουσι δὲ καὶ δυσῶδες.

*Περὶ μασταρίων.* Τὰ δὲ μαστάρια εὔχυμά εἰσιν, εἰ καλῶς πεφθῶσιν, αἷμα γεννῶσι καλόν· ἀπεφθηθέντα δὲ ὠμὸν καὶ φλεγματώδη χυμόν.

*Περὶ ἐγκεφάλων.* Τοὺς δ' ἐγκεφάλους κακοχύμους φαμέν, ὡς βραδύπορον ἔδεσμα καὶ δύσπεπτον καὶ κακοστόμαχον καὶ ναυτίας ποιητικὸν καὶ περιττωματικόν. ὁ δ' ἐν τοῖς ὀστοῖς μυελὸς γλυκύτερος καὶ ἡδονικώτερος· ναυτιώδεις δὲ καὶ οὗτοι καὶ εἰς ἔμετον ὁρμῶντες. Εἰ δὲ καλῶς πεφθῶσι, τρόφιμοι καὶ αὐτοί.

*Περὶ σπλάγχνων.* Τὸ ἧπαρ ἁπάντων τῶν ζώων παχύχυμόν τε καὶ δύσπεπτον καὶ βραδύπορον. Κάλλιον δὲ παρὰ πᾶσι τὸ τοῦ χοίρου, πλὴν δὲ κακόχυμον καὶ μελάγχολον. Ὁ δὲ σπλὴν μελαγχολικοῦ γεννητικός ἐστι αἵματος καὶ βλαπτικός. Εὐπεπτότερος δὲ ὁ πνεύμων ὡς χαῦνος, πλὴν ὀλιγότροφος καὶ φλεγματικός. Ἡ δὲ καρδία σκληρὰ μέν ἐστι καὶ δύσπεπτος· εἰ δὲ πεφθῇ, τρόφιμός ἐστι καὶ οὐ κακόχυμος γίνεται. Κοιλία δὲ καὶ μήτρα καὶ ἔντερα σκληρὰ καὶ δύσπεπτα καὶ φλέγματα γεννητικά. κἂν καλῶς πεφθῶσι, οὐκ ἀκριβὲς αἷμα ἀπογεννῶσι, ἀλλὰ ψυχρότερον καὶ ὠμότερον ἐργάζεται, καὶ χρόνου δεόμενον πρὸς κατάστασιν τοῦ ἀρίστου αἵματος.

*Περὶ τῆς τῶν ἡμέρων ζώων καὶ τῶν ἀγρίων διαφορᾶς.* Τὰ ἥμερα τῶν ζώων ὑγρότερά ἐστι τῶν ἀγρίων· τὰ δὲ ἄγρια ξηρότερα τῶν ἡμέρων, ὥστε τῶν μὲν ἀγρίων ἀπέριττος ἡ τροφή, τῶν δὲ ἡμέρων περιττωματική.

*Περὶ τῆς ἀπὸ τῶν πτηνῶν ζώων τροφῆς.* Τὸ γένος ἅπαν τῶν πτηνῶν ὀρνίθων ὀλιγοτροφότερόν ἐστι τῶν τετραπόδων. εὐπεπτότερα δέ ἐστι τὰ τῶν ὀρνί-

θων, καὶ μάλιστα περδίκων, ταγηναρίων, περιστερᾶς. Ξηρότερα δὲ τούτων κίχλαι, κόσσυφοι, καὶ στρουθία, τούτων δὲ πλέον τρυγὼν καὶ φάσσα καὶ νῆσσα. Ὅμοιοι δὲ τῶν ὀρνίθων εἰσὶν οἱ φασιανοὶ εἰς πέψιν καὶ τροφήν, πλὴν ἡδύτερα τὰ τῶν φασιανῶν. Σκληρότερα δὲ καὶ δυσπεπτότερα πάντων τὰ τῶν ταώνων. Χῆνες δὲ περιττωματικώτεραί τε καὶ δυσπεπτότεραι πάντων πτηνῶν ζώων, πλὴν τῶν πτερυγίων. Καλλίονα δὲ τὰ αὐξανόμενα τῶν νεογνῶν καὶ γεγηρακότων.

Περὶ σπλάγχνων πτηνῶν. Αἱ δὲ κοιλίαι τῶν χήνων τρόφιμαι καὶ ἡδύτεραι· ἐφεξῆς δὲ τῶν σιτευθέντων ὀρνίθων. Τὰ πτερύγια τῶν πτηνῶν ἐπιτήδεια πεφθῆναι καὶ θρέψαι καὶ οἱ παχεῖς τῶν ἀλεκτρυόνων ἄριστοι.

Περὶ ἰχθύων. Κέφαλος βλαβερὸς ἱκανῶς, ὡς περιττωματικὸς ἐκ πηλοῦ τρεφόμενος. κρεῖττον δὲ ὁ ἐν πελάγει τρεφόμενος. ἔτι δὲ χείρονες οἱ ἐν ταῖς λίμναις· οἱ δὲ ἐν τοῖς ποταμοῖς γινόμενοι καλλίονες καὶ μάλιστα οἱ κατὰ τοὺς ὀξυρρέοντας· οἱ δὲ λιπαροὶ χείρους πεφθῆναι. εἰσὶ δὲ καὶ κακοστόμαχοι καὶ κακόχυμοι.

Περὶ λαυρακίων. Αἵματός ἐστι λεπτοτέρου γεννητικός, καθάπερ καὶ οἱ λοιποὶ ἰχθύες· οὐδὲν δὲ ἕτερον φαῦλον ἔχει.

Περὶ τρίγλης. Ἡ τρίγλη σκληροτέραν καὶ εὔθρυπτον ἔχει τὴν σάρκα καὶ διὰ τοῦτο τρέφει μᾶλλον τῶν ἄλλων ἰχθύων, ὅταν πεφθῇ καλῶς· εἰσὶ γὰρ καὶ καλαὶ τρίγλαι αἱ ἐν καθαρῷ διαιτώμεναί τε χωρίῳ, ἔνθα οὐκ ἔστι βοτάνη.

Περὶ πετραίων ἰχθύων. Οἱ πετραῖοι δὲ τῶν ἰχθύων τροφὴν ὑγιεινοτάτην καὶ εὔπεπτον παρέχουσι τοῖς μεταλαμβάνουσιν. Τούτων οὐ φαῦλον γὰρ ὡς ἕτερος καὶ λοιποί, ἀλλὰ σύμμετρον καὶ καλὸν αἷμα γεννῶντες.

Περὶ κωβίων. Ὁ δὲ κωβίος ἀριστότερός ἐστι· ἡδονικὸς γὰρ καὶ πρὸς πέψιν ἐπιτήδειος, ἀνάδοσίν τε καὶ εὐχυμίαν. Ὁ κατὰ τὰς ψαμμώδεις αἰγιαλοὺς ἢ τὰς πετρώδεις ἀκτάς. Βλαβερὸς δέ ἐστιν ὁ ἐν ταῖς λίμναις καὶ οὗτος ἐν τοῖς στομίοις τῶν ποταμῶν ἢ λιμνοθαλάσσης,

καὶ μάλιστα ἐὰν ἐκεῖσε βάλλονται κάραβοι. Ὁμοίως καὶ πάντες οἱ ἰχθύες φαῦλοι οἱ ἐν τοιούτοις διαιτώμενοι ὕδασι.

Περὶ σκληροσάρκων ἰχθύων. Οἱ δὲ σκληρόσαρκοι τῶν ἰχθύων δύσπεπτοι, οὐ μόνον ἐν τῇ γαστρί, ἀλλὰ καὶ κατὰ τὰς φλέβας καὶ καθ' ἕκαστον μόριον δηλονότι. Παχυμώτεροι δὲ μαλακοσάρκων εἰσὶ δράκαινα, κοκκύγια, σκορπίος, ὀρφοὶ καὶ τρίγλαι μεγάλαι.

Περὶ τῶν ὀστρακοδέρμων. Κοινόν ἐστι τούτοις ἁλυκὸν χυμὸν ἔχειν ἐν τῇ σαρκί, ὑπακτικὸν τῆς γαστρός· ἔχουσι δὲ τὰ μὲν πλέον, τὰ δὲ ἔλαττον. Καὶ γὰρ ὀστρύδια μαλακωτέραν ἔχει τὴν σάρκα τῶν ἄλλων, ἐπειδὴ λοιπὸν τὰ μὲν σκληρόσαρκα καὶ δυσπεπτότερα πάντα. Καὶ διὰ τοῦτο μᾶλλον αἱρετέον αὐτὰ πρὸς τοὺς διαφθείροντας τὴν τροφὴν ὑπὸ κακοχύμου ἐν τῇ γαστρὶ ἢ ἐν αὐτῇ τικτομένου ἢ ἐξ ἥπατος καταρρέοντος. Γεννᾶται δὲ ἐξ αὐτῶν ὁ καλούμενος ὠμὸς χυμὸς πάμπολυς. Ἐκ δὲ τῶν μαλακοσάρκων ἑψηθέντων τὸν πολὺν ἀποτίθεται ἁλυκὸν χυμὸν καὶ γίνεται τῶν τοιούτων ἡ σὰρξ δύσφθαρτος καὶ γαστρὸς ἐφεκτική. Τὸν δὲ ζωμὸν ὅς τις ἐκπίῃ, τὴν κοιλίαν προτρέπει. Εἰσὶ δὲ ταῦτα ὀστρύδια, μύδια, κογχλίοι, κογχύλαι καὶ κτένια.

Περὶ τῶν σκληροσάρκων. Τὰ σκληρόσαρκα δύσπεπτα καὶ αὐτά· εἰσὶ δὲ καὶ τρόφιμα· ἑψηθέντα δέ, καθάπερ τὰ ὄστρεα, ἐπέχει τὴν κοιλίαν, καὶ γίνεται ὅμοια τοῖς σκληροῖς τῶν ὀστρακοδέρμων. Ἐστὶ δὲ ταῦτα ἀστακοί, πάγουροι ποτάμιοι καὶ θαλάσσιοι, καρκῖνοι, καραβίδες, καρίδες, καὶ ὅσα ἄλλα. τὸ περιέχον αὐτοῖς λεπτὸν ὄστρακον.

Περὶ τῶν μαλακίων. Τὰ δὲ μαλάκια σκληρόσαρκά τε καὶ δύσπεπτα, πεφθέντα δὲ πολύτροφα γίνεται. Πλεῖστον δὲ καὶ ταῦτα γεννᾷ τὸν ὠμὸν χυμόν. Ἔστι δὲ ταῦτα ὀκταπόδια, σηπίαι, καλαμάρια, μοσχῖται, καὶ τὰ τοιαῦτα.

Περὶ τῶν σελαγίων. Γλυκεῖαν ἔχει τὴν σάρκα καὶ μαλακὴν καὶ εὐκοίλιον καὶ εὔπεπτον καὶ τρόφιμον μέσως, οἷον νάρκαι τε καὶ τρυγόνες. βάτοι δὲ καὶ λειοβάτοι, καὶ

*ρίναι δυσπεπτότερα. τροφὴν δὲ πλείονα παρέχοντα, νάρκης καὶ τρυγόνος.*

*Περὶ τῶν κταπόδων.* *Πλὴν τῆς ὕσκας, θύννας οὐχ ἕτερον τῇ χρήσει τῇ καθ' ἡμᾶς· εἰσὶ δὲ πάντα κακόχυμα καὶ περιστωματικά. ταριχεύοντας δὲ ἤγουν πάσσοντας δεῖ ἐσθίειν. —*

### *Κοινὰ βοηθήματα πρὸς τὰς τῶν ἰοβόλων πληγάς.*

*Προφυλάττεσθαι μὲν οὖν χρὴ διὰ τὸ προειρμένον μοι παραπεσεῖν τινα κακοποιῷ θηρίῳ. εἰ δὲ ἄρα συμβῇ ὑπὸ ἰοβόλων τινῶν θηρίων πληγῆναι, κοινὸν τοιοῦτον χρηστέον· κουφοτέρας μὲν οὔσης τῆς πληγῆς, ἢ τοῦ δήγματος, καταντλεῖν μὲν ὀξύκρατον θερμὸν καὶ ἐκμυζᾶν τὸν τόπον οὕτως, διὰ κλυσαμένου τὸ στόμα πρότερον, ἐψεώμενον ἐκμυζᾶν πρὸς τὸ μὴ βλάπτεσθαι. οὕτως προβάλλειν τὸ στόμα τῷ πλήγματι ἐκμυζᾶν καὶ ἐν παύσει τὴν ὀδύνην. δεῖ δὲ μὴ ἑλκόμενον ἔχειν τὸ στόμα ἢ τὸ παρίσθμιον ἢ ὅλως ἐμπαθὲς ἔχειν. μετὰ δὲ ταῦτα τέφραν ὄξει φυράσας κατάπλασσε· μάλιστα δὲ συκίνου ξύλου ἢ ἀμπελίνου. εἰ δὲ μή, τοῖς παροῦσι χρηστέων σπουδάζων, μάλιστα δὲ ποιοῦσιν ἐπιτιθέμενα τῇ πληγῇ. εὐθέως ἐξ ἀρχῆς μετὰ συκιασμόν· ἀπότεμνε ζῶα μικρὰ ἔνθερμα, οἷον ὄρνις, ἐρίφια, ἀρνοί, δέλφακες, καὶ τὰ ἐμοὶ κατὰ πάντα πλάσματα, οἷον σκόρδα λεῖα μετὰ μέλιτος, κρόμυα μεθ' ἁλῶν, πήγανον μεθ' ἁλῶν, σύλφιον ἐπιπαττόμενον, γάσαρ, σκόρδα, ἀρνόγλωσσον μεθ' ἁλῶν, μελισσόφυλον, συασκρίμενες μετὰ μέλιτος, γῆς ἄφοδος ὄξει ἑφθή, καλαμινθον καταπλασσόμενον λίαν ὠφελεῖ, σπυράνθιον αἰγὸς μετ' ὄξους. ἄκρως δὲ ποιεῖ πρὸς πᾶσαν ἰοβόλων πληγὴν χωρὶς ἀσπιδίου· ἄσβεστος μετ' ἐλαίου καὶ μέλιτος, ὡς κηρὸν τὸ πάχος ἔχειν ἐπιτιθεμένη.*

## VII.

## * ΠΕΡΙ ΛΥΚΑΝΘΡΩΠΙΑΣ.

---

*Εἶδος μανίας ἐστὶν ἡ λυκανθρωπία, καὶ νυκτὸς ἐξίασι τὰ πάντα καὶ τάφους διατρίβουσι. γνωριεῖς δὲ τοὺς οὕτω πάσχοντας. τοῖς δὲ ὠχροὶ τυγχάνουσιν καὶ ὁρῶσιν ἀδρανὲς καὶ ξηροὺς τοὺς ὀφθαλμοὺς ἔχουσι, οὔτε δακρύουσιν οὔτε ὑγραίνονται. θεάσῃ δὲ αὐτῶν καὶ κοίλους τοὺς ὀφθαλμοὺς καὶ τὸ πρόσωπον ὑγρὸν καὶ τὴν γλῶτταν ξηροτάτην καὶ σιέλον οὐδ' ὅλως προχωρῶν αὐτοῖς. εἰσὶ δὲ καὶ διψώδεις ξηροὶ καὶ τὰς κνήμας, διὰ τὸ πολλάκις προςπίπτειν ἀνία αὐτοὺς καὶ ἑλκομένας ἔχουσιν. ἴδια δὲ σημεῖα τῶν μελαγχολικῶν τότε κατισχναίνειν τὸ σῶμα καὶ μελαγχολικὸν εἶναι τῇ φύσει, ἢ καὶ ἐξεπήκτη [?] τὸν διά τινος φροντίδος ἢ ἀγρυπνίας ἢ μοχθηρῶν σιτίων ἢ προφορᾶς ἢ ἐπίσχεσιν αἱμορροΐδων καὶ καταμηνίων γυναικῶν. τοιαῦτα μὲν δεῖ συμβαίνειν καὶ τὰ τῆς λυκανθρωπίας σημεῖα.*

*Πῶς οὖν θεραπεύσεις. Κατὰ μὲν οὖν τὸν πρῶτον χρόνον τῆς ἐπισημασίας τέμνω φλέβα τὴν ἐξ ἀγκώνων καὶ κενῶ τοῦ αἵματος ἄχρι λειποθυμίας καὶ διαίτησιν τὸν κάμνοντα ταῖς εὐχύμοις τροφαῖς· καὶ χρῆσθαι λουτροῖς γλυκέσι ἢ ὀρρῷ γάλακτος χρησάμενος ἐπὶ τρίτην ἡμέραν. καὶ καθαίρων δὲ τῇ διὰ τῆς κολοκυνθίδος ἱερᾷ καὶ β' καὶ γ' καὶ μετὰ τὰς καθάρσεις τῇ διὰ τῶν ἐχιδνῶν θηριακῇ χρήσομαι καὶ τὰ ἄλλα παραλήψομαι ὅσα ἐπὶ τῆς μελαγχολίας εἴρηται καὶ τὰς αἱμορροΐδας ἀναστομῶσαι καὶ καταμήνια γυναικῶν προπέσθαι κελεύω διὰ τὴν τούτων ἐπίσχεσιν, τὴν γεγεννημένην εἰς τὸ πάθος· ἀγαθὰ δὲ καὶ αἱ διουρητικαὶ δυνάμεις καὶ τῶν ἱδρώτων κάθαρσις.*

---

# VIII.

# * ΣΥΜΕΩΝ ΜΑΓΙΣΤΡΟΥ ΚΑΙ ΦΙΛΟΣΟΦΟΥ ΣΗΘ ΤΟΥ ΑΝΤΙΟΧΕΩΣ ΦΙΛΟΣΟΦΙΚΑ ΚΑΙ ΙΑΤΡΙΚΑ.

---

## 1. *Περὶ ὀσφρήσεως.*

*Τῆς ὁράσεως διὰ πυρώδους φύσεως γινομένης, τῆς δὲ ἀκοῆς δι' ἀερώδους, ἡ ὄσφρησις γίνεται διὰ μέσης τινὸς φύσεως, τοῦ γε ὕδατος καὶ τοῦ ἀέρος ἤτοι ἀτμώδους. τὴν δὲ αἴσθησιν ταύτην οὐκ ἔχομεν οἱ ἄνθρωποι ἀκριβῆ, ἀλλὰ χείρονα πολλῶν ζώων. φαύλως γὰρ ὁ ἄνθρωπος ὀσμᾶται καὶ οὐδενὸς ὀσφραίνεται τῶν ὀσφραντῶν ἄνευ τοῦ λυπηροῦ ἢ τοῦ ἡδέος. οὐχ ὥσπερ γὰρ ὁρῶμεν, οὕτω καὶ ὀσφραινόμεθα. ὁρᾷ γὰρ ὁ ἄνθρωπος καὶ κατανοεῖ τὰ μήτε εὐφραίνοντα μήτε λυποῦντα καὶ ἀκούει ὁμοίως. οὐχ οὕτω δὲ καὶ ὀσφραίνεται. αἴτιον δὲ τούτου τὸ μὴ ἀκριβὲς εἶναι τὸ αἰσθητήριον. πάνυ δὲ ἀκριβῶς παρείκασε τοῦτο Ἀριστοτέλης τοῖς σκληροφθάλμοις, οἳ οὐκ αἰσθάνονται τὰς διαφορὰς τῶν χρωμάτων, πλὴν τῷ φοβερῷ καὶ ἀφόβῳ. διὰ τοῦτο δὲ καὶ ἀπὸ τῶν γεύσεων εἴληφε τὰ ὀσφραντὰ ὀνόματα· λέγωμεν γὰρ γλυκεῖαν ὀσμὴν καὶ δριμεῖαν διὰ τὸ μὴ σφόδρα ταύτην τὴν αἴσθησιν εἶναι διάδηλον. θαυμαστὸν δὲ καὶ τοῦτο, ὅτι ὁ μὲν ἄνθρωπος μὴ ἀναπνείων, ἀλλὰ κατέχων τὸ πνεῦμα οὐκ ὀσφραίνεται οὔτε ἔγγυθεν οὔτε πόρρωθεν. πολλὰ δὲ ζῷα ὀσμᾶται ἄνευ τοῦ ἀναπνεῖν. καὶ γὰρ τὰ ἐν τοῖς ὕδασιν ὀσφραίνεται καὶ τὰ ἀναίματα τῶν ζώων. διὰ τοῦτο ἀναπνέοντα οὐκ ὀσμᾶται ἐν τῷ ὑγρῷ.*

II. *Περὶ γεύσεως καὶ ἁφῆς.*

Ἡ δὲ γεῦσις γίνεται διὰ φύσεως ὑδατώδους. ἔστι δὲ εἴδη γεύσεως ὀκτώ· τὸ γλυκύ, τὸ πικρόν, τὸ δριμύ, τὸ ὀξύ, τὸ ἁλυκόν, τὸ αὐστηρόν, τὸ στρυφνόν, τὸ λιπαρόν. ἁπλᾶ δέ εἰσι τὰ ἐναντία τό τε γλυκὺ καὶ τὸ πικρόν. ἐχόμενα γλυκέος τὸ λιπαρόν, τοῦ δὲ πικροῦ τὸ ἁλυκόν. μεταξὺ δὲ τούτων τὰ λοιπά. τὸ μὲν οὖν πικρὸν ῥύπτει τὴν γλῶσσαν σφόδρα, ὥστε καὶ ξέειν. τὸ δὲ αὐτὸ πάθος περὶ αὐτὴν ἁλυκὸν τοιοῦτον ἐργάζεται περὶ αὐτὴν πάθος, πλὴν ἔλαττον. τὸ δὲ αὐστηρὸν καὶ στρυφνὸν πυκνοῦσι ταύτην καὶ συνάγουσιν, ἐπὶ πλέον μὲν τὸ στρυφνόν, ἐπ' ἔλαττον δὲ τὸ αὐστηρόν. τὸ δὲ δριμὺ καὶ τὸ ὀξὺ δάκνουσιν ἄμφω τὴν γλῶτταν. διεισδύνει δὲ τὸ ὀξὺ ἐπὶ πλεῖστον, τὸ δὲ γλυκὺ καὶ λιπαρὸν λιπαίνουσι τὸ τοιοῦτον αἰσθητήριον. τούτων θερμὰ μὲν τότε πικρὸν καὶ δριμὺ καὶ τὸ ἁλυκὸν καὶ τὸ λιπαρόν. ψυχρά δὲ τότε ὀξύ, τὸ στρυφνὸν καὶ τὸ αὐστηρόν. ἔστι δὲ ἡ γεῦσις ἁφή τις, ἔχουσα ταύτης πλεῖον τὸ αἰσθάνεσθαι τῶν γευστῶν. ἡ δὲ ἁφὴ ἀναγκαιοτέρα ἐστὶ τοῖς ζῴοις τῶν λοιπῶν αἰσθήσεων. ἄνευ γὰρ ταύτης οὐδὲ ζῷον ὅλως ἐστί. καὶ δύναται μὲν χωρισθῆναι τῶν ἄλλων αἰσθήσεων ὡς ἐπὶ τῶν ζῳοφύτων. ταῦτα γὰρ μόνην τὴν ἁφὴν ἔχει. αἱ δὲ λοιπαὶ αἰσθήσεις ἄνευ ταύτης οὐχ ὑφίστανται. ἐν μὲν γὰρ τῷ νοητῷ κόσμῳ τὰ πρῶτα τῶν ἐσχάτων οὐ δέονται πρὸς ὑπόστασιν· ἐν δὲ τῷ ἐν γενέσει καὶ φθορᾷ δέονται τὰ τιμιώτερα τῶν ἡττόνων πρὸς σύστασιν· ὅσα γὰρ ἔχει τὴν λογικὴν ψυχήν, ἔχει καὶ τὴν ζωτικὴν καὶ τὴν φυσικήν· οὐ μὴν ὅσα ἔχει τι τῶν ὑποδεεστέρων, ἤδη κέκτηται καὶ τὸ κρεῖττον. τὸ αὐτὸ δὲ καὶ ἐπὶ τῶν αἰσθήσεων· ὅσα γὰρ ἔχει τὸ τούτων τιμιώτερον, τὴν ὄψιν, ἔχει καὶ τὰς λοιπὰς τέσσαρας, καὶ ὅσα ἀκοήν, δευτέραν οὖσαν τῆς ὄψεως τῇ τιμιότητι, ἔχει καὶ τὴν ὄσφρησιν καὶ τὴν γεῦσιν καὶ τὴν ἁφήν· καὶ οἷς πρόσεστιν ὄσφρησις, τούτων καὶ γεῦσις καὶ ἁφή, καὶ ἃ μέτεσχε γεύσεως, ἤδη καὶ ἁφῆς, οὐ μὴν ἀντιστρόφως. αἰσθάνεται δὲ ἡ ἁφὴ πολλῶν ἐναντιοτήτων ἤτοι θερμοῦ, ψυχροῦ, καὶ ὑγροῦ, ξηροῦ, σκληροῦ, μαλακοῦ, τραχέος, λείου, γλίσχρου καὶ αὔρου, βαρέος καὶ κούφου· ἀποροῦσι δέ τινες, εἰ τὸ βαρὺ καὶ τὸ

κοῦφον τῇ ἁφῇ διαγινώσκεται, διὰ τὸ μὴ δύνασθαι ἡμᾶς διὰ μόνου τοῦ προκειμένου σώματος τοῦ ἅπτεσθαι γνῶναι, εἰ βαρὺ ἢ κοῦφόν ἐστι. καὶ λέγομεν, ὅτι αὕτη μόνη τῶν αἰσθήσεων διαγινώσκεται· ἐπεὶ οὐδεμία τῶν λοιπῶν τεσσάρων διακρῖναι τὸ βάρος δύναται καὶ τὴν κουφότητα. αἴτιον δὲ τοῦ μὴ ἐκ μόνου τοῦ ἅπτεσθαι διαγνῶναι ἡμᾶς τὴν τοιαύτην αἰτίαν, μᾶλλον δὲ ἐναντιότητα, ὡς αἱ αἰσθήσεις οὐ πρότεροι ἀντιλαμβάνονται τῶν αἰσθητῶν, πρὶν ἂν πάθωσιν ὑπ' αὐτῶν· πρὶν δὲ ἆραι τὸ βαρὺ καὶ τὸ κοῦφον, οὐ πάσχει τι ἡ τοιαύτη αἴσθησις ὑπ' αὐτῶν. ἔστι δὲ διεσπαρμένη καὶ ἐν παντὶ τῷ σώματι καὶ οὐχ ὥσπερ αἱ λοιπαὶ αἰσθήσεις ἐν ἑνὶ τόπῳ, εἰ καὶ ἐν τῷ θέναρι τῆς χειρὸς ἐστι πλεῖον. διὸ καὶ ἄτριχον ἐδημιουργήθη.

# IX.

## * Περὶ οὔρων πραγματεία ἀρίστη τοῦ σοφωτάτου παρὰ μὲν Ἰνδοῖς Ἄλλη Ἔμπνι τοῦ Σινᾶ ἤτοι Ἄλλη υἱοῦ τοῦ Σινᾶ, παρὰ δὲ Ἰταλοῖς Ἀβιτζιανοῦ.

---

### *Περὶ ἐπιπολάζοντος ὕδατος.*

*Τὸ κατὰ τὴν ἐπιφάνειαν φαινόμενον ὕδωρ ὃ καὶ πρώτη στεφάνη λέγεται καὶ δυσθεώρητόν ἐστι τοῖς λήθην πάσχουσιν, ἀπὸ φλέγματός ἐστι καὶ τοῖς ληθαργικοῖς. βαφὲν δὲ ὑπὸ ξανθῆς χολῆς θάνατον σημαίνει.*

### *Κεφ. α΄. Περὶ κιρρότητος φαινομένης τῷ ἐπιπολάζοντι ὕδατι.*

*Κιρροῦ γεγονότος τοῦ τοιούτου ὕδατος ἐπὶ κοκκίνῳ χύματι ἢ κιρρῷ φρενῖτις θανάσιμος φαίνεται ἢ πλευρῖτις μετὰ κεφαλικοῦ νοσήματος· φανέντος τούτου τοῦ σημείου, ἐὰν ἀναισθητήσῃ ὁ νοσῶν, εἰς τὴν η΄ην ἀποθνήσκει. ἐὰν δὲ εἰς τὴν ὀγδόην ἀναισθητήσῃ, εἰς τὴν ι΄ (ἢ εἰς τὴν ιβ΄ην) ἀποθνήσκει. ἐὰν δὲ φανῇ τὸ σημεῖον τοῦτο κατὰ κρίσιμον ἡμέραν καὶ μετὰ τὴν κρίσιμον ἀλλοιωθῇ, ἀγαθόν. εἰ δὲ οὐ λυθείη μετὰ τὴν κρίσιμον τῆς ζ΄ τῆς ιδ΄ην ἐστὶ σημεῖον οὐκ ἀγαθόν.*

### *Κεφ. β΄. Περὶ τῆς φαινομένης ἀράχνης, ἔτι δὲ καὶ λίπους τῷ ἐπιπολάζοντι ὕδατι.*

*Ἀράχνης φαινομένης κατὰ τὸ τοιοῦτον οὖρον χαύνωσις τοῦ ἐγκεφάλου δηλοῦται καὶ καταρροὴ καὶ πόνος τῆς*

κεφαλῆς, πολλάκις καὶ βηχεῖον παλαιὸν καὶ ἑκτικόν. εἰ τὸ σημεῖον τοῦτο φανείη τοῖς ἑκτικοῖς καὶ ἡ τρίτη στεφάνη κοκκινόχρους γένηται καὶ ἐναιωρηθείη τὸ παρυφιστάμενον, ἐγγὺς ὁ θάνατος, εἰ δὲ κατὰ μικρὸν ἐκλείποι, ἐλπίς ἐστι ζωῆς. εἰ δὲ λίπος φανείη περὶ ταύτην τὴν ἐπιφάνειαν καὶ τὸ οὖρον ὀλίγον ἐξέρχοιτο, δυσεντερία δηλοῦται καὶ εἰ οὐ πυρέττοι, ὁ νοσῶν ἐλπίδα ἔχει ζωῆς· εἰ δ' οὖν, δυσχερῶς ζήσεται.

Κεφ. γ'. Περὶ τῆς κατὰ τὸ κοινὸν συνδρομένης, τῆς $β^{ας}$ καὶ $δ^{ης}$ στεφάνης.

Πολλάκις ἡ $β^{α}$, καὶ ἡ $δ^{η}$ στεφάνη ὁμοῦ φαίνονται κιρραί. ἔστι δὲ ὅτε ἡ $δ^{η}$ φαίνεται λεπτοτέρα ἐν χύμασι λευκοῖς καὶ δηλοῦται νόσημα ἐντέρου τοῦ ἀπευθυσμένου οἷον ἐξωχάδες, ἐσωχάδες, ῥαγάδες καὶ συκάμινον καὶ διατρήσεις εἰς τὸν τόπον τοῦτον καὶ δυσεντερία. καὶ εἰ μὲν ἀδρότερα φανείη τὰ γνωρίσματα, νεαρόν ἐστι τὸ νόσημα. εἰ δὲ λεπτά, παλαιόν, φαινομένης ὡς εἴρηται τῆς $δ^{ης}$ στεφάνης λεπτοτέρας τῆς $β^{ης}$, δηλοῦται ὅτι ἀπὸ τῶν ῥινῶν αἷμα ἐξῆλθεν ἢ μέλλει ἐξελθεῖν ἀναντιρρήτως.

Κεφ. δ'. Περὶ κοκκινότητος τῆς $β^{ας}$ στεφάνης.

Κοκκίνου γεγονυίας τῆς $β^{ης}$ στεφάνης, ἀφανεῖς γίνονται αἱ ἕτεραι ἄνευ τοῦ ὕδατος τοῦ ἐπιπολάζοντος καὶ σημαίνεται κεφαλαλγία ἀπὸ αἵματος καὶ ὀφθαλμοπονία ἢ οὖσα ἢ μέλλουσα. εἰ καὶ τὸ χῦμα λευκόν ἐστι καὶ εἰ διαμείνειε τὸ σημεῖον τοῦτο, φλεγμονὴ τοῦ ἐγκεφάλου μελετᾶται. χρεία οὖν καθάρσεως αἵματος εἰς ὅλον τὸ σῶμα καὶ εἰς τὴν κεφαλήν, εἰ καὶ τὸ οὖρον λευκόν ἐστιν.

Κεφ. ε'. Περὶ τῆς κιρρότητος τῆς $β^{ας}$ στεφάνης καὶ διαφόρων χρωμάτων τοῦ χύματος.

Εἰ ἡ $β^{α}$ στεφάνη κιρρὰ ἢ πράσινος φαίνοιτο, τὸ δὲ χῦμα κόκκινον ἢ οἰνόχρουν ἢ οἱονεὶ ζωμὸς τυροῦ, μέσον δὲ τῆς στεφάνης ὡσανεὶ πίτυρον, αὕτη δὲ ἡ στεφάνη παχυτέρα καὶ πιτυρώδης πρὸς τὸ χῦμα, θάνατον δηλοῖ· φλεγμονὴ γὰρ τοῦ ἐγκεφάλου ἀπὸ αἵματος ὑπεμφαίνεται·

διὰ γὰρ τοῦτο καὶ παραφροσύνη γίνεται ἀπὸ τῆς τρίτης ἡμέρας καὶ ἀναισθησία καὶ καταφορά. σημεῖον δὲ εἰς τὸ πρόσωπον θανάτου οὐ φαίνεται. σφυγμοὶ δὲ ταχεῖς καὶ εἰ μένοι τὰ οὖρα ἀπὸ τῆς ἀρχῆς κόκκινα καὶ λεπτά. ἕως δὲ τῆς δ΄ παχυνθείη, ἐλπίς ἐστι ζωῆς. εἰ δέ ἐστι ταῦτα ἀπὸ τῆς ἀρχῆς θολερά, ἄρξεται δὲ ἀπὸ τῆς τρίτης ἢ τῆς τετάρτης λεπτύνεσθαι οὐχὶ εἰς λευκόν, ἀλλ' εἰς ἐρυθρὸν θολερόν, εἰς τὴν ἕκτην ἢ εἰς τὴν ζ΄ ην κίνδυνος γίνεται. εἰ δὲ τὸ χῦμα ὅμοιόν ἐστι ζωμῷ τυροῦ εἰς τὴν ὀγδόην ἢ εἰς τὴν ιβ΄ ην κίνδυνος γίνεται· εἰ δὲ λιπῶδες τὸ χῦμα πολλάκις φανείη οἷον φαίνεται ἐνίοτε τὸ ὕδωρ, περὶ οὗ εἴρηται καὶ τοῦτο τὸ χῦμα κατὰ τὴν ἀρχὴν λεπτὸν ἕως τῆς ἕκτης. ἀπὸ δὲ τῆς ἕκτης παχύνεται εἰς τὸ χρῶμα τὸ προρρηθέν. ἡ δὲ στεφάνη αὕτη μέλαινα καὶ στενὴ καὶ διὰ τὴν στενότητα μηδὲ ῥαδίως φαινομένη, μηδὲ ἄνευ ἀφροῦ, κίνδυνος δηλοῦται. εἰ δὲ μεταλλαγὴ γένοιτο, ἐλπίς ἐστι ζωῆς. εἰ δὲ διαμείνειε εἰς τὴν δεκάτην ἕκτην, κίνδυνος δηλοῦται.

*Κεφ. ς΄. Περὶ μελανίας τῆς β΄ στεφάνης καὶ διαφόρων χρωμάτων τοῦ χύματος.*

Μέλαινα, ἄλλη στεφάνη οὐδὲν φαίνεται. εἰ οὖν ἐστι τὸ χῦμα λευκὸν καὶ λεπτὸν καὶ ἡ στεφάνη τοιαύτη, μελαγχολία δηλοῦται καὶ ἐπιληψία καὶ λογισμοὶ κακοί. εἰ φαίνεται δὲ τὸ ὕδωρ τὸ ἐπιπολάζον πλεὸν καὶ λιθιασμὸς ὑπεμφαίνεται καὶ δειλία εἰς τὴν καρδίαν. εἰ δέ ἐστι τὸ χῦμα κόκκινον, φλεγμονὴ τοῦ ἐγκεφάλου δηλοῦται ἀπὸ αἵματος καὶ μελαίνης χολῆς. εἰ δέ ἐστι κατ' ἀρχὰς κόκκινον, προϊόντος δὲ τοῦ καιροῦ λευκαίνεται καὶ ὁ νοσῶν ἀναισθητεῖ, φλεγμονὴ δηλοῦται τῆς ὀπῆς τῆς παχείας, ἥτις ἐστὶν ὑποκάτω τοῦ ὀστέου τῆς σιαγόνος. ἔστι δὲ ἐλπὶς ἀγαθή· ὅμως ἡ μακροτονία τοῦ νοσήματος. τὰ τοιαῦτα οὖρα οὐ ποιεῖ ὑπόστασιν, εἰ μὴ ὅταν ἄρξηται πεπαίνεσθαι ἡ ὕλη, εἰ δὲ γένοιτο κρίσις, καὶ μετὰ τὴν κρίσιν οὐ φανείη, ὑπόστασις ἐστὶ κακὸν τοῦτο σημεῖον. φαίνονται γὰρ καὶ ἕτερα σημεῖα εἰς τὸ πρόσωπον, οἱ ὀφθαλμοὶ αἱματώδεις, τὸ πρόσωπον εὔχρουν, ἡ γλῶσσα ἐρυθρά, οἱ σφυγμοὶ πεπληρωμένοι καὶ ταχεῖς. ὅταν ἡ οὕτως ἔχουσα

αὕτη στεφάνη φανῇ στενὴ καὶ τὸ χῦμα οὔτε κίτρινον οὔτε ἐρυθρόν, δηλοῦται καρυβαρία καὶ σκότωσις εἰς τοὺς ὀφθαλμοὺς καὶ ἀγρυπνία καὶ ὁ νοσῶν φωνῆς μεγάλης ἀκούων βαρύνεται καὶ πρὸς τὸ φῶς ἄχθεται. εἰ τὸ τοιοῦτον οὖρον εἰς τὴν ε'ην ἢ εἰς τὴν σ'ην παχυνθείη, καὶ κρίσις ἐλπίζεται δι' ἱδρῶτος ἄνευ λόγου. πολλάκις τοῦ χύματος ἀχυρόχρου φανέντος καὶ τῆς στεφάνης μελαίνης ἠναισθήτησεν ὁ νοσῶν, ὅμως δὲ ἐλπίδα ἔχει ζωῆς πλὴν μετὰ μακρονοσίας.

### Κεφ. ζ. Περὶ πομφολύγων φαινομένων κατὰ τὴν βην στεφάνην πολλῶν καὶ λεπτῶν.

Κατὰ τὴν β' στεφάνην κύκλῳ φαινομένων πομφολύγων πολλῶν καὶ λεπτῶν, κεφαλαλγία δηλοῦται χρόνιος ἀπὸ πνευμάτων. εἰ δέ εἰσιν αἱ πομφόλυγες κιρραί, ἀπὸ χολῆς, εἰ δέ εἰσιν ἐρυθραί, ἀπο αἵματος, εἰ δὲ ἐπίμικτοι, ἀπὸ ἐπιμίκτων χυμῶν πλεονάζοντος τοῦ χύματος τοῦ μᾶλλον φαινομένου τῇ ἐπιμίξει, τὰ τοιαῦτα οὖρα ὑπόστασιν οὐκ ἔχει λείαν, εἰ μὴ ἐσκορπισμένην ἀεί. πολλάκις παχύνεται τὸ χῦμα, κεφαλαλγοῦσι δὲ καὶ ὀδονταλγοῦσι οἱ νοσοῦντες, τῶν τοιούτων πομφολύγων κύκλῳ τῆς στεφάνης φαινομένων ὅλη ἡ κεφαλὴ ἀλγεῖ. κατὰ τὸ ἥμισυ δὲ ταύτης φαινομένων, τὸ ἥμισυ μέρος ταύτης κεφαλῆς ἀλγεῖ. καὶ εἰ μέν ἐστι χρωματισμένον τὸ χῦμα, τὸ δεξιὸν τῆς κεφαλῆς μέρος ἀλγεῖ. εἰ δὲ λεπτὸν καὶ λευκόν, τὸ ἀριστερὸν πάσχει καὶ εἰ μὲν αἱ πομφόλυγες λίαν εἰσὶ λεπταί, τὸ νόσημα παλαιόν ἐστι, εἰ δὲ ἁδραί, νέον.

### Κεφ. η'. Περὶ πομφολύγων ἁδρῶν καὶ ὀλίγων φαινομένων κατὰ τὴν β' στεφάνην.

Κατὰ τὴν β' στεφάνην εἰ φανεῖεν πομφόλυγες ἁδραὶ καὶ ἀραιαὶ καὶ ἐσκορπισμέναι ἀνερχόμεναι πρὸς τὸ ἄνω μέρος ταραττομένου τοῦ οὔρου, κεφαλαλγία δηλοῦται ἀπὸ ῥεύματος ψυχροτέρου ἢ ἀπὸ πολυποσίας, καὶ εἰ φανεῖεν αἱ πομφόλυγες εἰς τὸ κάτω μέρος τῆς στεφάνης λεπταί, δηλοῦται παλαιότης τούτου τοῦ νοσήματος καὶ ἀνακαίνισις καὶ καραβαρία καὶ σκότωσις καὶ ῥῖγος περὶ τὴν κεφαλὴν καὶ πτῶσις τριχῶν καὶ ἀνορεξία. καὶ ἐὰν φανῇ τὸ

ἄνω καὶ τὸ κάτω τῆς στεφάνης κίτρινον, ἐποχὴ τῆς γαστρὸς δηλοῦται ἐξ ἀτονίας τῆς ἕδρας.

Κεφ. θ'. Περὶ πομφολύγων διαφορᾶς φαινομένων κατὰ τὴν δευτέραν στεφάνην.

Τῶν πομφολύγων φαινομένων κατὰ τὸ ἥμισυ τῆς β' στεφάνης, ὕπνος δηλοῦται ἡμισείας νυκτός. εἰ δὲ ὀλίγαι εἰσὶν αἱ πομφόλυγες εἰς ἓν μέρος τῆς στεφάνης, ὀλίγαι δὲ εἰς ἕτερον, δεύτερος ἐξυπνισμὸς δηλοῦται καὶ ἀγρυπνία ἀπὸ τροφῶν πολλάκις δυσπέπτων καὶ φυσωδῶν. εἰ δὲ διόλου εἰς ἓν μέρος αἱ πομφόλυγες φαίνονται, ἡμικρανία δηλοῦται καὶ ὠταλγία καὶ τοῦ ἑνὸς μέρους τοῦ λευκοῦ ὀδύνη, πολλάκις καὶ τοῦ ὀφθαλμοῦ, καὶ εἰ μὲν ἐστι τὸ χύμα λευκὸν καὶ λεπτὸν καὶ στίλβον, τὸ ἀριστερὸν μέρος νοσεῖ· εἰ δὲ ποσῶς κεχρωματισμένον, τὸ δεξιόν.

Κεφ. ι'. Περὶ ἀφρῶν φαινομένων εἰς ὅλην τὴν δευτέραν στεφάνην.

Εἰς ὅλην τὴν β' στεφάνην εἰ φανεῖεν ἀφροὶ σμικρότατοι καὶ ἀμυδρότατοι, κεφαλαλγία δηλοῦται χρονία, καὶ ζάλη περὶ τὴν κεφαλὴν καὶ καρηβαρία καὶ σκότωσις τῶν ὀφθαλμῶν καὶ βάρος ὅλου τοῦ σώματος. καὶ τὸ τοιοῦτον σημεῖον πλέον εἰς τὰ τῶν γυναικῶν οὖρα φαίνεται, ἐν οἷς οὐδὲ ὑπόστασις φαίνεται. εἰ δὲ καὶ φανείη, ὀλίγη φαίνεται καὶ λεπτή, δι' οὗ σημείου δηλοῦται καὶ παλμὸς εἰς τὴν καρδίαν καὶ λήθη καὶ ἐποχὴ τῶν αὐτῶν συνήθων.

Κεφ. ια'. Περὶ ἀφρῶν λεπτῶν καὶ ἁδρῶν φαινομένων εἰς ὅλην τὴν δ' στεφάνην.

Πολὺς ἀφρὸς πολυποσίαν δηλοῖ καὶ ἀπεψίαν, ὁ δὲ ὀλίγος πλησμονὴν πνευμάτων τοῦ ὅλου σώματος διὰ συνήθειαν τροφῶν ὑγροτέρων καὶ ὀπωρῶν. ἔστι δὲ ὁ πολυποσίας σημαντικὸς καὶ ἀνδρὸς καὶ ἐν ἀνυποστάτοις οὔροις φαίνεται. φαίνονται δὲ καὶ ἀμφότερα εἰς ὅλην τὴν στεφάνην μηδεμιᾶς ἄλλης στεφάνης φαινομένης, καὶ εἰ ἀχυρόχρους φαίνοιτο, ἰσότητα τῶν χυμῶν δηλοῖ καὶ καθαρὰν ὑγείαν. ἔχει δὲ καὶ ὑπόστασιν ὀλίγην· εἰ δὲ ὅμοιος ὕδατι, ἀτονίαν τοῦ ἥπατος δηλοῖ καὶ ὑγρότητα καὶ ἀτονίαν τοῦ

στόματος τοῦ στομάχου καὶ ἀρμοπονίαν καὶ ἐν τοῖς παροξυσμοῖς τοῖς ἀπὸ φλέγματος. τοιοῦτον οὖρον φαίνεται καὶ τοῖς παιδίοις διὰ ὑγρότητα τῆς κράσεως καὶ ἀδδηφαγίας, φαίνεται διὰ ξηρότητα καὶ μεσαιπολίαν τοιαῦτα οὖρα. ἡ ὀλιγότης τῶν τοιούτων ἀφρῶν στενότητα δηλοῖ τῶν πόρων τῶν πνευμάτων διὰ γλισχρότητα τῶν χυμῶν.

*Κεφ. ιβʹ. Περὶ ἀφρῶν ὀλίγων φαινομένων διαφόρῳ χρώματι τοῦ παρυφισταμένου τῇ δευτέρᾳ στεφάνῃ.*

Εἰ ἀφροὶ ὀλίγοι εἰσὶ περὶ τὴν βʹ στεφάνην, τοῦ ἡμίσεος τῆς κεφαλῆς ὀδύνη δηλοῦται καὶ τῆς τοῦ ὠτὸς ῥίζης, καὶ εἰ μέν εἰσιν οἱ ἀφροὶ ἀδροί, τὸ πάθος νεόν ἐστίν. εἰ δὲ λεπτοὶ παλαιόν, τοῦ τοιούτου οὔρου κεχρωματισμένου ὄντος σὺν ὑποστάσει λεπτῇ καὶ ἀκροεσκορπισμένῃ, ἀτονία δηλοῦται τοῦ στομάχου καὶ τῶν γονάτων καὶ ἔμφραξις τοῦ σπληνὸς καὶ ὀδύνη τοῦ τραχήλου καὶ αἴσθησις ψύξεως κατὰ τὴν κεφαλήν.

*Κεφ. ιγʹ. Περὶ κιτρίνων ἀφρῶν φαινομένων τῇ βʹ στεφάνῃ.*

Εἰ ἡ βʹ στεφάνη φαίνεται ὅλη κιτρίνους ἀφροὺς ἔχουσα οὔτε λίαν ἀδροὺς οὔτε λίαν λεπτούς, τὸ χῦμα δὲ ἐρυθρὸν καὶ θολερὸν καὶ ἀνυπόστατον, ἴκτερος δηλοῦται ἀπὸ σπληνὸς ἢ ἀπὸ τοῦ ἥπατος, καὶ εἰ μὲν εἴη ἀπὸ τοῦ ἥπατος, ἀφροὶ φαίνονται ἀεὶ καὶ δίψα καὶ θέρμη καὶ βῆξα. εἰ δὲ ἀπὸ τοῦ σπληνός, ἀφροὶ οὐ φαίνονται ἢ ὀλίγοι.

*Κεφ. ιδʹ. Περὶ μελανίας τῆς δευτέρας στεφάνης καὶ χρωμάτων διαφόρων τοῦ χύματος.*

Εἰ μὲν μέλαινα φαίνεται ἡ βʹ ὅλη στεφάνη ἄνευ ἀφρῶν, τὸ χῦμα δὲ λευκόν ἐστι, μελαγχολία δηλοῦται καὶ μανία καὶ σκότωσις τῶν ὀφθαλμῶν. εἰ δὲ κεχρωματισμένον ἐστὶ τὸ χῦμα ἤτοι ἐρυθρὸν ἢ κίτρινον ἢ ἐπίμικτον, ἐπιληψία δηλοῦται καὶ μανία καὶ μελαγχολία καὶ καρδιακὰ πάθη μετὰ φόβου. φαίνεται καὶ τοῖς τεταρταίοις τοιαῦτα οὖρα.

### Κεφ. ιε΄. Περὶ μελανίας τῆς δ΄ στεφάνης καὶ χρώματος τοῦ παρυφισταμένου.

Δ΄ στεφάνη χωρὶς τοῦ ἄνω ὕδατος τρίτη καταλέγεται. εἰ δ' ἔστιν ὅλη ἡ τοιαύτη στεφάνη μέλαινα, τὸ δὲ χῦμα λεπτόν, ἐπιληψία δηλοῦται καὶ καρηβαρία καὶ λογισμοὶ κακοὶ καὶ λήθη καὶ ἀτονία στομάχου καὶ νεύρων τὸ τοιοῦτον σημεῖον ἄνευ ἀφρῶν φαίνεται.

### Κεφ. ις΄. Περὶ τοῦ φαινομένου κονιορτοῦ τῇ δ΄ στεφάνῃ.

Εἰς τὴν τοιαύτην τετάρτην στεφάνην εἰ φαίνεται ὡς δῆθεν κονιορτός, χαύνωσις τοῦ ἐγκεφάλου δηλοῦται καὶ πύκνωσις ἐγγυτάτη καὶ βὴξ παλαιὰ ἀπὸ καταρροῆς. ἐὰν ἡ τοιαύτη στεφάνη κεχρωματισμένη εἴη, οὐ λείπει αἴσθησις ψύξεως, πολλάκις γίνεται καὶ ὀδύνη εἰς τὰ ὦτα.

### Κεφ. ιζ΄. Περὶ τῶν φαινομένων πιτύρων τῇ δ΄ στεφάνῃ.

Εἰ δ' ὡς δῆθεν πίτυρα φαίνοιτο τῇ δ΄ στεφάνῃ, εἰ πράσινος αὕτη εἴη, φλεγμονὴ τῷ ἐγκεφάλῳ δηλοῦται καὶ φρενῖτις πολλάκις βωβαίνεται καὶ ὁ νοσῶν καὶ εἰς τὴν $ϛ^{ην}$ ἢ εἰς τὴν $ζ^{ην}$ ἀποθνήσκει.

### Κεφ. ιη΄. Περὶ παρυφισταμένου.

Φαίνεται τὸ παρυφιστάμενον τοῦ ἐν ὅλῳ τῷ σώματι ὑγροῦ διήθημα καὶ περίττωμα εἶναι. οὐ γὰρ ἂν διὰ τούτου νεύρων καὶ δέρματος ἐδηλοῦτο διάθεσις, ἔτι δὲ καὶ τῶν μορίων τῶν ἐντὸς πάντων. εἰ μὲν οὖν ἐστι τοῦτο λευκόν, τὸ σῶμα πρὸς τὸ ὑγρότερον νεύει, εἰ δὲ ἀχυρόχρουν, πρὸς τὸ ξηρότερον καὶ εἴ ἐστιν ὀλίγον, ὁ στόμαχος ἰσχυρός, ἔστιν καὶ ἡ πέψις καλή. εἰ δέ ἐστι πολύ, ὁ στόμαχος ὑγρός ἐστι καὶ καλός, εἰ πέττοι καλῶς, εἴ τι πεπεμμένον βαρύ ἐστι. εἴ τι δὲ ἄπεπτον, ἐλαφρὸν καὶ δηλοῦται τῷ τόπῳ τῆς ἀμίδος.

### Κεφ. ιθ΄. Περὶ ἐναιωρήσεως τοῦ παρυφισταμένου καὶ χρώματος τοῦ χύματος.

Ἐναιωρουμένου τοῦ παρυφισταμένου καὶ μὴ ὄντος περιττώματος περὶ οὗ αἰωρηθήσεται καὶ τοῦ οὔρου ἀκροκε-

χρωματισμένου ὄντος, πλήρωσις δηλοῦται ὅλου τοῦ σώματος καὶ ἀτονία τῶν ἀλλοιωτικῶν καὶ ἀποκριτικῶν δυνάμεων, μελετᾶται οὖν νόσημα. εἰ δέ ἐστι τὸ οὖρον λευκὸν καὶ ἡ ὑπόστασις αὐτοῦ τοιαύτη, πολυφαγία ὑπεμφαίνεται ἢ πολυποσία, καὶ ἐκ τῶν ἀγρυπνία. εἰ δὲ ὀλιγοτροφία γέγονε καὶ ὕπνος, ἀτονία δείκνυται τοῦ στομάχου καὶ τῶν γονάτων καὶ νεφρῶν βάρος καὶ νωθρότης τοῦ σώματος ὅλου τοῦ ἑνὸς μορίου ἀγανάκτησις.

### Κεφ. κ'. Περὶ τῆς ἐν ἑνὶ μέρει νεύσεως τοῦ παρυφισταμένου

Εἰ ἡ ὑπόστασις εἰς μέρος ἵσταται τῆς ἀμίδος, δηλοῦται πάθος τοῦ μέρους τοῦ σώματος τῆς ἀμίδος ἐκείνου εἴτε ἄνω εἴτε κάτω. ῥηθήσεται δὲ περὶ τούτου τρανότερον καὶ εἰ μέν ἐστι τὸ οὖρον ἀκροκεχρωματισμένον, κατὰ μέρος τὸ δεξιόν ἐστιν ἡ ἀγανάκτησις. εἰ δὲ λευκὸν κατὰ τὸ ἀριστερόν, ἐκ ποίας δὲ ὕλης δείκνυται τὸ νόσημα, ἀπὸ τοῦ χρώματος δείκνυται.

### Κεφ. κα'. Περὶ τοῦ ὑπὸ τὴν στεφάνην παρυφισταμένην διάφορον ἔχουσαν τὴν σύστασιν.

Παρυφισταμένου ὑπὸ τὴν δ' στεφάνην ὄντος, ποτὲ μὲν παχεῖα φαινομένη, ποτὲ δὲ λεπτὴ δίκην παχέος κονιορτοῦ, εἰ ἐρυθρὰ ἡ στεφάνη φαίνεται, δηλοῦται καταρροὴ ἐκ τῆς κεφαλῆς εἰς τὸ στῆθος καὶ βὴξ καὶ φθίσις καὶ πυρετὸς ἐμφολεύων. εἰ τὸ χῦμα λευκόν ἐστι καὶ ἀνορεξία δηλοῦται καὶ εἰ μέν ἐστι διόλου τὸ παρυφιστάμενον παχύ, τὸ νόσημα ἀπὸ ψυχρότητος γέγονεν, εἰ δὲ διόλου λεπτὸν ἀπὸ θερμότητος, καὶ εἰ πολλάκις φθείρεται τὸ οὖρον, ἀπόσκημμα δηλοῦται εἰς τὸ στῆθος καὶ βηχικὸν πάθος φαίνεται καὶ ἐμπνικοῖς τοιαῦτα οὖρα ἄνευ βηχίου καὶ ἡπατικοῖς. πολλάκις ἀπὸ πυκνώσεως ἢ θέρμης τοῦ ἥπατος βήττουσί τινες, ὧν ὑπόστασιν οὐκ ἔχει τὰ οὖρα. ἔτι δὲ καὶ τὸ χρῶμα τούτων ἐρυθρόν.

Κεφ. κβ΄. Περὶ μεταβολῆς τοῦ παρυφισταμένου καὶ τοῦ χρώματος τῆς στεφάνης.

Τοῖς ἐκτικῶς πυρέττουσιν ἀπὸ λεπτότητος εἰς πάχος μεταβληθείη ἡ ὑπόστασις, πλησίον ὁ θάνατος, εἰ ἡ στεφάνη ὅλη ἐρυθρὰ ἢ ὅλη μέλαινα, ἡ ὑπόστασις δὲ λευκὴ καὶ παχεῖα καὶ πολλὴ καὶ ὑπὸ τὸν πυθμένα τῆς ἀτμίδος, πλήρωσις δηλοῦται τοῦ στομάχου καὶ τῶν ἄλλων φλεβῶν ἀπὸ φλεγμάτων παχέων καὶ ὄκνος καὶ βάρος εἰς ὅλον τὸ σῶμα καὶ ἀναπνοὴ δύσκολος καὶ καρηβαρία καὶ καταφορὰ πολλὴ οὐ καθ' ὕπνον φυσικόν. τὸ τοιοῦτον οὖρον ταῖς γυναιξὶ πλέον συμβαίνει διὰ τὴν ἐξ ὑγροῦ πλήρωσιν τῆς μήτρας, πλὴν ἐπ' ἐκείνων οὐκ ἔστιν ὑπόστασις τὸ φαινόμενον, εἰ καὶ φαντάζει, ἀλλὰ περίττωμα τῆς μήτρας, ὅθεν καὶ μικρὸν μετεωρίζεται.

Κεφ. κγ΄. Περὶ λευκότητος τοῦ παρυφισταμένου.

Τὸ λευκὸν παρυφιστάμενον ἔνδειαν τοῦ ἐμφύτου θερμοῦ ἀναγγέλλει λευκὸν παρυφισταμένον ἢ μακρὰν ἀρρωστίαν ἢ ῥεῦσιν αἵματος πολλοῦ ἢ ξηρότητα κράσεως ἢ γῆρας καὶ ἀτονίαν τῶν δυνάμεων καὶ μετὰ πολλὴν κίνησιν τῶν ἀφροδισίων τοιοῦτον οὖρον φαίνεται· καὶ εἰ μὲν ἔνι φαινόμενον ἐπὶ ἡμέρας μὲν τοιοῦτο, ἐπὶ ἡμέρας δὲ ἀλλοῖον, ἀτονία δηλοῦται τοῦ στομάχου καὶ τοῦ ἥπατος.

Κεφ. κδ΄. Περὶ μεταβολῆς τῆς ἀπὸ λευκότητος εἰς ἕτερα χρώματα τοῦ παρυφισταμένου.

Λευκότης τῷ παρυφισταμένῳ φυσική ἐστι, ὅτι περίττωμά ἐστι τοῦ φυσικοῦ ὑγροῦ καὶ τὸ φυσικὸν ὑγρὸν λευκόν ἐστι. ὅταν οὖν μεταβληθείη ἀπὸ λευκότητος, ἀρρωστία δηλοῦται· ὑγιοῦς γὰρ ἕξεως ὑπόστασις λευκὴ καὶ λεία καὶ ὁμαλὴ καὶ καταμένουσα. πρὸς τὴν ποσότητα δὲ τῆς ἕξεως καὶ ἡ ποσότης αὐτή, ἐκλείπουσι δὲ καὶ αἱ κίτριναι δύο στεφάναι αἱ φαινόμεναι κατὰ τὰ νοσήματα τῆς ἕδρας. εἰ δὲ φανεῖεν, οὐκ ἐστὶ δηλωτικὸν τὸ τοιοῦτον οὖρον ἀκραιφνοῦς ὑγείας, πολλάκις ὑπόστασις τοιούτου χρώματος, καὶ κιτρίνου ἢ ἐρυθροῦ ὄντος τοῦ τοιούτου χύματος, οὐκ ἐμφαίνει ἀρρωστίαν ὅλου τοῦ σώματος, ἀλλὰ τοῦ ἥπατος ἢ τῶν

*νεφρῶν καὶ εἰ μέν ἐστι λευκὸν τὸ οὖρον ἄνευ τῶν στεφανῶν προρρηθεισῶν, ἡ ὑπόστασις δὲ λευκὴ καὶ λεία καὶ ὁμαλὴ καὶ κάτω τοῦ σώματος πυθμένος ὑγεία δηλοῦται. εἰ δέ ἐστιν ἐρυθρόν, ἐνδέχεται, ὄντος τοῦ σώματος εὐκράτου, τοῦ δὲ ἥπατος θερμοῦ ἀπὸ ἀτονίας τοῦ στομάχου, θερμαίνεσθαι τὸ ἧπαρ καὶ χρωματίζειν τὸ οὖρον.*

### *Κεφ. κε΄. Περὶ ἐρυθρότητος χύματος παρυφισταμένου καὶ στεφάνης.*

*Οὖρον ἐρυθρότερον κοκκίνην ἔχον ὑπόστασιν καὶ στεφάνας ὁμοίας οὐκ ἂν συμβαίη. εἰ δὲ οὖν, θανάσιμον. εἰ μὲν ἔνι ἡ στεφάνη ἐρυθροτέρα ἡ ὕλη πρὸς τὴν κεφαλὴν ὥρμησεν, εἰ δὲ ἡ ὑπόστασις ἐρυθροτέρα, εἰς τὰ βάθη καὶ εἰς ὅλον τὸ σῶμά ἐστιν. εἰ δέ ἐστι τὸ χῦμα ἐρυθρότερον, εἰς τὸ ἧπάρ ἐστιν ἡ ὕλη ἢ εἰς τοὺς νεφρούς. εἰ λείπει τὸ σημεῖον τὸ κατὰ τὴν ἐπιφάνειαν ἤτοι ἡ κιρρότης τοῦ ὕδατος, ζωῆς ἐστιν ἐλπίς. εἰ δὲ οὖν, κατὰ τὴν πρώτην ἀρρωστῶν θνήσκει. τὸ τοιοῦτον οὖρον ἐὰν ἀπὸ τῆς ἑβδόμης καὶ ἔμπροσθεν ἄρξηται παχύνεσθαι καὶ τῆς κιρρότητος ἐξανίστασθαι, ἐλπίς ἐστι ζωῆς. τὸ δύσκολον καὶ ἐπίφοβον τοῦ τοιούτου τοῦ νοσήματος ἡ ὀγδοὴ ἔχει καὶ ἡ δεκάτη καὶ ἡ δωδεκάτη. ἐὰν παχυνθῇ τὸ οὖρον πρὸ τούτων τῶν ἡμερῶν ἐλπίς ἐστι ζωῆς.*

### *Κεφ. κϛ΄. Περὶ κιρρότητος παρυφισταμένου καὶ στεφάνης καὶ λευκότητος τοῦ χύματος.*

*Εἰ κιρρὸν τὸ παρυφιστάμενον, τὸ χῦμα δὲ λευκότερον καὶ ἡ στεφάνη κιρρά, πυρετὸς δηλοῦται διηνεκὴς καὶ ἀναισθησία καὶ μαρασμός. τοιοῦτον οὖρον πλειστάκις φαίνεται εἰς ἐκτικοὺς πυρετοὺς ἐγγύτατα τοῦ θανάτου καὶ εἰς φρενιτικοὺς ἐγγύτατα τοῦ θανάτου. κατὰ τὴν ὀγδόην δὲ ἢ τὴν δεκάτην ἢ τὴν δωδεκάτην θνήσκει ὁ νοσῶν. σπανίως δὲ φαίνεται τοιαῦτα οὖρα. Φαίνεται τοιαῦτα οὖρα καὶ εἰς περιπνευμονικοὺς ἀπὸ ξανθῆς χολῆς καὶ εἰς τοὺς ἔχοντας ἀπόστημα πλησίον τοῦ πνεύμονος· μόνον δὲ ἐπὶ τούτων φαίνεται καὶ ἐρυθρότερον τὸ χῦμα καὶ ὁ ἀρρωστῶν δυσπνοεῖ. ὅτε δὲ ἄρξεται δυσπνοεῖν, κακὰς ἐλπίδας ἔχει.*

Κεφ. κζ΄. Περὶ λευκότητος τοῦ χύματος καὶ μελανίας τοῦ παρυφισταμένου.

Οὖρον λεπτὸν καὶ λευκόν, μέλαιναν ἔχον ὑπόστασιν, ὕδερον δηλοῖ ἀνασάρκα ἢ μᾶλλον θάνατον ἐξ ὑδεροῦ· οὖρα εἴδομεν πολλάκις μέλανα, εἰς ἰκτερικοὺς ἀπὸ μελαίνης χολῆς καὶ ἀπὸ τῶν νεφρῶν καὶ πάντα ἦσαν ἀκίνδυνα.

Κεφ. κη΄. Περὶ τῶν φαινομένων κατὰ τὸ παρυφιστάμενον στιγμῶν.

Εἰ περὶ τὸ παρυφιστάμενον φαίνονται στιγμαὶ δίκην σπέρματος μήκωνος ἔμφραξις καὶ ὀδύνη δηλοῦται τῶν νεφρῶν καὶ ἀτονία τοῦ ἥπατος καὶ βάρος καὶ νωθρότης περὶ τὴν κίνησιν. ἔστι δὲ ταῦτα καὶ προοίμια τοῦ ψαμμίου καὶ εἴπερ οὐ γένοιτο ἐπιμελεία, μέλλει συστῆναι λίθος τὸ τοιοῦτον οὖρον καὶ ἰσχίασιν δηλοῖ. γίνεται δὲ πρῶτον βάρος καὶ ἀγανάκτησις εἰς τοὺς νεφροὺς ἔκτοτε καὶ ῥευματισμὸς εἰς τὸν ἕνα πόδα κατὰ τὸ ἔξω μέρος τοῦ μηροῦ τὸ καλούμενον ἰδιοτικῶς σαίτα ἕως κάτω τοῦ γόνατος καὶ ὅταν ἰσχυροποιηθῇ τὸ κακὸν κάτεισι καὶ μέχρι τοῦ ἀστραγάλου. θερμῶν δὲ ὄντων καταπολὺ τῶν νεφρῶν, πρωματίζεται καὶ τὸ οὖρον εἰς τὸ ἐρυθρὸν καὶ πολλάκις αἱ φαινόμεναι στιγμαὶ αὗται κύκλῳ τῆς ὑέλου εἰσὶ καὶ δηλοῦσι ἔνδειαν καὶ ἀτονίαν πολλὴν τῶν νεφρῶν.

Κεφ. κθ΄. Περὶ τῶν κατὰ τὸ παρυφιστάμενον φαινομένων στιγμῶν λευκῶν.

Εἰ ἔνδον τοῦ παρυφισταμένου λευκόταται φαίνονται στιγμαί, δηλοῦται ψώρα καὶ κνησμονή, διότι περίττωμά εἰσι, τοῦ ἁλυκοῦ ὑγροῦ τοῦ ὑποκάτω τοῦ χρώματος. τὸ τοιοῦτον γὰρ περίττωμα εἰ μὲν κατὰ πολὺ δριμύ ἐστι, ποιεῖ πληγὰς καὶ ψώρας. εἰ δὲ ἁλυκόν, ποιεῖ πλησμονὴν καὶ εἰ μὲν αἱ στιγμαὶ πολλαὶ φαίνονται, ἡ κνησμονὴ καὶ ἡ ψώρα εἰς ὅλον τὸ σῶμα δηλοῦται εἶναι. εἰ δέ εἰσιν ἄχρι τῶν δέκα μέχρι τῶν μηρῶν καὶ τῶν ὑποχονδρίων ἐστὶν ἡ κνησμονή. εἰ δὲ πέντε ἢ κάτω τῶν ε΄ εἰς τοὺς ὄρχεις καὶ τὴν ἕδραν μόνην ἔρχεται ἡ κνησμονὴ ἄνευ λόγου καὶ εἰ οὐ φαίνεται, μέλλει φανῆναι.

*Κεφ. λ΄. Περὶ τῶν φαινομένων κατὰ τὸ παρυφιστάμενον στιγμῶν κιτρίνων.*

*Εἰ φαίνονται κατὰ τὸ παρυφιστάμενον στιγμαὶ κίτρινοι βαρεῖαι κατὰ τὸν πυθμένα τῆς ἀμίδος πλεονασμὸς ἐμφαίνεται ξανθῆς χολῆς εἰς τοὺς νεφροὺς καὶ εἰ τὸ χῦμα φαίνεται λευκὸν ἢ ἀχυρόχρουν, αὕτη ἡ ἀκολουθία καὶ ἐπὶ τῶν φαινομένων κιτρίνων ψαμμίων.*

*Κεφ. λα΄. Περὶ τῶν φαινομένων κατὰ παρυφιστάμενον ὡς δῆθεν σκωλήκων μικρῶν καὶ τῆς τούτων ποσότητος.*

*Εἰ φαίνονται κατὰ τὸ παρυφιστάμενον ὡσανεὶ σκωλήκια μικρὰ οἷα εἰς τὸ ὄξος γεννᾶται, ἀγανάκτησις τῶν ἁρμονιῶν τῆς ῥάχεως δηλοῦται καὶ εἰ μέν εἰσι πολλὰ τῶν ἁρμονιῶν ἁπασῶν ἡ ἀγανάκτησίς ἐστιν, εἰ δὲ ὀλίγα καὶ μικρά, ψύξις δηλοῦται ἢ πλεονασμὸς ὑγροῦ καὶ ἀτονία ἀπὸ πολλῆς ἀῤῥωστίας ἢ ἐνδείας πολλῆς τοῦ ἐμφύτου θερμοῦ ἢ ἀπὸ ἐμφράξεως γλίσχρου χυμοῦ καὶ ἐνδεία τῆς θέρμης καὶ εἰ μεγαλότερα φαίνονται τὰ φαινόμενα, δευτέρα δὲ ἢ τριττὴ σημαίνεται σπάσμα ἢ προγεγονὸς ἢ μέλλον γενέσθαι. εἰ δὲ ἓν μόνον καὶ μεγαλότερον καὶ δεδιπλωμένον ὥσπερ σκώληξ, δηλοῦται τοῦ ἑνὸς ὄρχεος ἀγανάκτησις ἢ τοῦ δεσμοῦ τῶν ὄρχεων ἢ γεγονυῖα ἢ μέλλουσα γενέσθαι καὶ εἴ ἐστι τὸ οὖρον λευκὸν τοῦ ἀριστεροῦ μέρους ἡ ἀγανάκτησις ὑπεμφαίνεται. εἰ δὲ κεχρωματισμένον, τοῦ δεξιοῦ· εἰ δὲ τὸ φαινόμενον κατὰ κρίκον φαίνοιτο θώρακος κεκλωσμένον, γόνατος δηλοῖ ἀγανάκτησιν καὶ εἰ μὲν ἔνι κάτω τοῦ κάτω μέρους τοῦ γόνατος, εἰ δὲ ἄνω τοῦ ἄνω ταῦτα τὰ οὖρα οὐκ ἄνευ ἀφρῶν φαίνονται.*

*Κεφ. λβ΄. Περὶ τοῦ ὡς δῆθεν κονιορτοῦ παρυφισταμένου ὑπὸ τὴν στεφάνην.*

*Παρυφισταμένου ἐσκορπισμένου δίκην κονιορτοῦ ἄνω τῆς ἀμίδος ὄντος ὑπὸ τὴν στεφάνην· φαίνεται δὲ τοῦτο ἐπὶ τῶν χρωμάτων ἁπάντων, τοῦ στομάχου καὶ τοῦ ἥπατος ἀτονία δηλοῦται. οὐκ ἔστι παρυφιστάμενον φυσικόν. ὁ τὸ τοιοῦτο οὖρον ἔχων, εἴ τι προςφέρει, ἐξεμεῖ τοῦτο*

καὶ ἄνευ ἐγγύου γυναικὸς ἐπὶ τῶν ἄλλων τὰ τοιαῦτα οὖρα κεχρωματισμένα φαίνονται ἐπὶ τοῦ ἐξεμοῦντος τὴν τροφήν. τοιούτων οὔρων φαινομένων, παραληπτέον εὔκρατον δίαιταν.

Κεφ. λγ'. Περὶ τῶν φαινομένων κατὰ τὸ παρυφισταμένον ὡσανεὶ πτερῶν μυίας.

Εἰ φαίνονται ὡσανεὶ πτερὰ μυίας ἔνδον τοῦ παρυφισταμένου, φαίνονται δὲ ὡς ἐπὶ τὸ πλεῖστον ἐν χύμασι λευκοῖς, εἴ ἐστι τὸ οὖρον γυναικεῖον καὶ νοσήματος ἀρθρητικοῦ ἔξω, σύλληψις δηλοῦται καὶ εἴ ἐστι λευκὸν ὡς ὕδωρ, θήλεος παιδός. χρεία δὲ πολλῆς προσοχῆς ὅτι τὸ τοιοῦτον οὖρον ἐπὶ τῶν ἀρθρητικῶν μᾶλλον φαίνεται διὰ τὰς ἀπεψίας. φαίνεται δὲ καὶ ἐπὶ τῶν ὑγροτέρᾳ τροφῇ χρωμένων καὶ ἐπὶ τῶν πολυποσίᾳ καὶ ἐπὶ τῶν συχνάκις ἀφροδισιαζόντων, πλὴν ἐπὶ τῶν ὑγροτέρᾳ τροφῇ χρωμένων μετὰ ἀφρῶν φαίνονται, ἐπὶ δὲ τῶν ἄλλων χωρὶς ἀφρῶν ἢ μετὰ ὀλίγων καὶ ἐπὶ τῶν γερόντων τοιαῦτα οὖρα φαίνονται.

Κεφ. λδ'. Περὶ τῶν φαινομένων κατὰ τὸ χῦμα ὡσανεὶ πτερῶν μυίας.

Εἰ φαίνοιτο ἅπαν τὸ χῦμα πεπληρωμένον τοιούτων σημείων, δηλοῦται ἀγανάκτησις εἰς ὅλους τοὺς ἁρμούς. πολλάκις καὶ ἄνευ τῶν τοιούτων σημείων λεπτοῦ ὄντος τοῦ χύματος καὶ ὑδατώδους, οἱ ἁρμοὶ ὅλοι τοῦ χύματος ἀργοῦσιν ὡς παραλελυμένοι καὶ ἐπὶ τῶν γυναικῶν τῶν ἐγγύων τῶν ἀπὸ φύσεως ὑγρὸν ἐχουσῶν τὸν στόμαχον καὶ ἄτονον, τοιαῦτα οὖρα φαίνεται καὶ ἐπὶ τῶν γραιῶν γυναικῶν καὶ καταρχὰς ἐπὶ τῶν ὑδροπικῶν τοιαῦτα οὖρα φαίνονται καὶ ἐπὶ τοῦ παροξυσμοῦ τοῦ ἀπὸ φλέγματος· χρεία οὖν πολλῆς προσοχῆς τῷ ἀποφαινομένῳ.

Κεφ. λε'. Περὶ ὀλιγότητος φαινομένων κατὰ τὸ χῦμα μυίας πτερῶν.

Εἰ φαίνεται κατὰ τὸ οὖρον πτερὸν μυίας ἓν ἢ δύο ὑποκάτω τῆς στεφάνης, δηλοῦται τοῦ πλατέος τοῦ ὤμου

ἀγανάκτησις ἢ τῆς ψόας καὶ εἴ ἐστι τοῦ πλατέος ὤμου, λεπτότερον φαίνεται τὸ φαινόμενον, εἰ δὲ τῆς ψόας, παχύτερον.

### Κεφ. λϛ'. Περὶ τοῦ φαινομένου κατὰ τὸ χῦμα ὡς γόνου λεπτοῦ ᾠοῦ.

Ὡς γόνου λεπτοῦ τοῦ ᾠοῦ φαινομένου ἐν τῷ χύματι κατὰ τὸ μέσον τῆς ἀμίδος, δηλοῦται ἀσθένεια κατὰ τὸ στόμα τῆς κύστεως καὶ ἀγανάκτησις τοῦ γόνατος, ἔτι δὲ καὶ τοῦ πλάτεος τοῦ ὤμου, πλὴν τὸ μὲν σημεῖον τῆς νόσου τοῦ γόνους ὥσπερ ὁ γόνος τοῦ λεπτοῦ τοῦ ᾠοῦ μέσου πεπηγμένος ἐστί, κύκλῳ δὲ λεπτότερος· οὕτω καὶ τοῦτο τὸ σημεῖον τῆς νόσου τοῦ γόννος; τὸ δὲ τοῦ πλατέος τοῦ ὤμου λεπτότερον καὶ λεῖον καὶ ἄνω εἰς τὴν ἀμίδα φαίνεται καὶ τὸ μὲν σημεῖον τῆς νόσου τοῦ γόνατος εἰς τὸ μέσον ἔχει παχύτητα. τὸ δὲ σημεῖον τῆς νόσου τοῦ πλατέος τοῦ ὤμου λεῖόν ἐστιν, ἐλλειπουσῶν τῶν στιγμῶν καὶ ἑτέρων τινῶν, εἰ πολλῶν.

### Κεφ. λζ'. Περὶ ὡς δῆθεν κονιορτοῦ φαινομένου ἐν τῷ χύματι.

Εἰ τὸ ὅλον χῦμα ὡς κονιορτοῦ φαίνεται πεπληρωμένον, φαίνεται δὲ οὗτος ὁ κονιορτὸς ἐν πᾶσι τοῖς χρώμασι, ἀτονία δείκνυται τοῦ στόματος τοῦ στομάχου, καὶ εἰ μὲν τὸ χῦμα λευκόν ἐστι, δηλοῦται ὅτι ἡ ὕλη ὠμὴ καὶ ἄπεπτός ἐστιν ἐντὸς τῶν φλεβῶν. εἰ δὲ παχὺ δηλοῦται ὅτι πεπεμμένον ἐστὶ καὶ κενοῦνται αἱ φλέβες, καὶ εἰ μὲν ὑπῆρξε τὸ πάθος ἀπὸ χολῆς, ἀποφχραχθείσης τῆς χοληδόχου κύστεως, ἐλαττωθήσεται ἡ χολὴ καὶ κινηθήσεται πρὸς τὸ σύνηθες. εἰ δὲ ἀπὸ τῆς πληρώσεως τῶν φλεβῶν καὶ τῆς ὕλης ἐστί, κενῶσθαι χρὴ τὰς φλέβας. ἂν δὲ ἀπὸ συνηθείας τοῦ μακροῦ χρόνου καὶ ἀτονίας, δεῖ τονοῦν τὸν στόμαχον.

*Κεφ. λη'. Περὶ τοῦ φαινομένου κατὰ τὸν πυθμένα ὡσανεὶ παρυφισταμένου ὀλίγου καὶ περὶ τῆς ὡς δῆθεν κονιορτοῦ φαινομένου ὑπὸ τὴν στεφάνην.*

*Εἰ φαίνοιτο εἰς τὸν πυθμένα τῆς ἀμίδος ὥσπερ ὑπόστασις ὀλίγη καὶ κατὰ τὴν ἐπιφάνειαν ἐπὶ τὴν στεφάνην οἷα κονιορτὸς λευκός, εἰ γυναικός ἐστι τὸ οὖρον, σύλληψις δηλοῦται ἄρρενος παιδός, ὁποῖον ἂν εἴη τὸ χρῶμα. πολλάκις δὲ συμβαίνει διὰ τὴν ἰσχὺν τοῦ στομάχου καὶ φαίνεται διεσκορπισμένον τὸ κονιορτῶδες ἐκεῖνο. καὶ λοιπὸν οὐκ οὐκέτι ὡς κονιορτὸς φαίνεται, ἀλλ' ὥσπερ στύλος ἱστάμενος μέσον τῆς ἀμίδος.*

*Κεφ. λθ'. Περὶ τῶν κατὰ τὸ χῦμα φαινομένων ὡς δῆθεν πιτύρων.*

*Εἰ φαίνοιτο τὸ χῦμα ὅλον πεπλησμένον ὡσανεὶ πιτύρων, ἐλεφαντιασμὸς σημαίνεται. ἔστι δὲ τὸ σημεῖον τοῦτο ἐξομοιούμενον τῷ σημείῳ τῆς κνησμονῆς πλὴν ὅτι ἐκεῖνο στρογγύλα ἔχει τὰ περιττώματα, τοῦτο δὲ ὡς πίτυρα. φαίνεται δὲ καὶ ἡ στεφάνη ἐνταῦθα κιρρά.*

*Κεφ. μ'. Περὶ τοῦ φαινομένου ὡς δῆθεν ἄμμου κοκκίνου.*

*Φαινομένου ὡς ἄμμου ἀδρᾶς κοκκίνης ἐν τῇ ἀμίδι, δυσουρία σημαίνεται, ἥτις καὶ πρὸ τοῦ πληγωθῆναι τὴν κύστιν θεραπεύεται, μετὰ δὲ τὸ πληγωθῆναι οὐ θεραπεύεται.*

*Κεφ. μα'. Περὶ τῶν φαινομένων ὡς ἄμμων λευκῶν.*

*Φαινομένων ὡσανεὶ κατὰ τὴν ἀμίδα ἄμμων λευκῶν, τὸ αὐτὸ νόσημα σημαίνεται ἀπ' ἄλλης αἰτίας βαπτομένης τῆς κοκκίνου ἄμμου. ὀδύνη δὲ γίνεται σφοδρὰ τοῖς τῷ νοσήματι τούτῳ ἑαλωκόσιν, ὡς καί τινας οἴεσθαι κωλικὸν νόσημα εἶναι.*

*Κεφ. μβ'. Περὶ τῶν φαινομένων κατὰ τὸν πυθμένα ὡσανεὶ τμημάτων ὀνύχων.*

*Φαινομένων εἰς τὸν πυθμένα τῆς ἀμίδος ὡς τμημάτων ὀνύχων ἀνθρώπου ἐπὶ λευκοῖς χύμασι θολεροῖς,*

δυσουρίαν δηλοῦται ἀνθρώπων προσφερομένων διόλου δίαιταν ψυχρὰν καὶ γλίσχραν, ἥτις ἐστὶ καὶ ἀθεράπευτος.

Κεφ. μγʹ. Περὶ τοῦ φαινομένου κατὰ τὸ χῦμα ὡσανεὶ λεπτοῦ ᾠοῦ πολλοῦ καὶ παχέος.

Εἰ φαίνεται κατὰ τὸ οὖρον ὥσπερ λεπτὸν ᾠοῦ πολὺ καὶ παχύ, καὶ πολλάκις πλέον ἢ τὸ χῦμα καὶ τοῦτο δὴ τὸ χῦμα διόλου λευκὸν καὶ εἰ ἡ οὔρησις συχνάκις γίνεται μετ' ὀδύνης, ἐξ ἁλυκοῦ χυμοῦ τὸ πάθος ἐστὶ καὶ δύναται ὑπὸ τούτου ἡ κύστις καὶ ὑπὸ τῆς παχύτητος τούτου καὶ γλισχρότητος οὐκ ἐξέρχεται ῥαδίως τὸ οὖρον καὶ διὰ τοῦ συνεχοῦς ὠθισμοῦ συνεκκενοῦται τῷ ὄρρῳ ἅπαν τὸ τοῦ σώματος ὑγρόν. καὶ στερούμεναι αἱ δυνάμεις ἀτονοῦσι καὶ ἔστι δυσθεράπευτον τοῦτο τὸ νόσημα καὶ μάλιστα τοῖς διουρητικοῖς δυσθεράπευτον. κινοῦσι γὰρ ταῦτα πλέον τὸ τοῦ σώματος ὑγρὸν καὶ τούτῳ τῷ τρόπῳ καταβλάπτουσιν. εἰ ἀντιστραφείη δὴ μᾶλλον ἀπὸ φύσεως τὸ τοῦ οὔρου ὑγρὸν καὶ τὴν ὁδὸν σχοίη τὴν διὰ τῆς ἕδρας, ῥαΐσεται ὁ νοσῶν. εἰ δὲ τοῦτο οὐ γένοιτο, τελευταῖον αἵματος ἐξουρουμένου θνήσκει ὁ νοσῶν.

Κεφ. μδʹ. Περὶ τοῦ κατὰ τὸν πυθμένα φαινομένου μυξώδους ὀλίγου τε καὶ λεπτοῦ.

Πολλάκις φαίνεται κατὰ τὸν πυθμένα τῆς ἀμίδος μυξῶδές τι ὀλίγον λεπτόν, ὅ τινες ἐξαπατώμενοι ὑπόστασιν εἶναι λογίζονται. φαίνεται δὲ ἐπὶ χύμασι λευκοῖς καὶ λεπτοῖς καὶ δηλοῖ ἀγανάκτησιν τῶν πελμάτων, καὶ εἰ μὲν ὅλον τὸν πυθμένα τῆς ἀμίδος κατέχει, τὰ πέλματα καὶ ἀμφοτέρων τῶν ποδῶν, ἀγανακτεῖ ὁ νοσῶν. εἰ δέ ἐστιν εἰς μέρος τῆς ἀμίδος, τὸ τοῦ ἑνὸς ποδὸς πέλμα ἀγανακτεῖ καὶ ταῦτα ὅτε ἵσταται καὶ κοπιᾷ πολλὰ ἢ ὅτε ψυχρότητος αἴσθεται, εἴρηται ὅτι τὰ τῶν ἐλαφροτέρων μερῶν τοῦ σώματος σημεῖα ἤτοι χειρῶν καὶ ὤμων ἀνωφερέστατά εἰσι, τὰ δὲ τῶν βαρυτέρων ἤτοι τῶν ποδῶν καὶ τῶν πελμάτων βαρύτερα καὶ τὸν κάτω τόπον ἔχει.

### *Κεφ. με΄. Περὶ τοῦ κατὰ τὸ χῦμα φαινομένου ὡς δῆθεν ξύσματος κεκλωσμένου τοῦ ἀπὸ βέλους.*

*Φαινομένου κατὰ τὸ οὖρον ὁμοίου τινὸς κεκλωσμένῳ ξύσματι τῷ ξυομένῳ τοῦ βέλους ἐνεργουμένου, φαίνεται δὲ ὡς ἐπὶ τὸ πλεῖστον λευκοῖς οὔροις καὶ ἀνυποστάτοις, ἀγανάκτησις τῶν ἁρμονιῶν δηλοῦται τῆς ῥάχεως καὶ εἴ ἐστι παχύτερον, χαύνωσις δηλοῦται τῆς γονοδόχου κύστεως. ὁ ἔχων οὖρον τοιοῦτον χαῦνός ἐστιν εἰς τὴν τῶν ἀφροδισίων κίνησιν, εἰ καὶ νέος ἐστίν.*

### *Κεφ. μϛ΄. Περὶ τοῦ φαινομένου κατὰ τὸ χῦμα ὡσανεὶ εἰ γόνου ᾠοῦ σμικροτάτου καὶ λεπτοτάτου.*

*Φαινομένου κατὰ τὸ οὖρον ὡσανεὶ γόνου ᾠοῦ μικροτάτου καὶ λεπτοτάτου καὶ κατὰ οὖρον ἀνδρὸς καὶ γυναικός, τεινεσμὸς δηλοῦται καὶ τῷ ἀνδρὶ καὶ τῇ γυναικί. δηλοῦται δὲ ἰδία τῇ γυναικὶ καὶ κνησμονὴ εἰς τὴν μήτραν καὶ γαργαλισμὸς εἰς τὸ στόμα τῆς μήτρας, ἔτι δὲ καὶ ἀτονία εἰς τοὺς πόδας. τοιοῦτον οὖρον ταῖς γυναιξὶν πλέον φαίνεται.*

# X.

## * ΕΚ ΣΥΡΙΚΟΥ ΒΙΒΛΙΟΥ.

---

### Περὶ οὔρων.

I. *Οὖρον ῥούσιον καὶ παχὺ ἔχον ἀφρόν ἐστιν ἀπὸ αἵματος, αὔξει δὲ τὸ αἷμα ἀπὸ τῆς κακῆς τοῦ Μαρτίου μηνὸς ἕως τῆς κδ´ης τοῦ Ἰουνίου. δηλοῖ δὲ πλησμονὴν πνευμάτων καὶ νυγμὸν καὶ βῆχα καὶ στένωσιν καὶ νυγμὸν λαγόνων καὶ βάρος πλατῶν καὶ σφυγμὸν καρδίας. εἰ οὖν ἔστι νέος ὁ τὸ τοιοῦτον οὖρον ἔχων, γενέσθω κένωσις αἵματος κάτωθεν τῶν ἑπτὰ ἡμερῶν ἐὰν ἔχῃ δύναμιν. εἰ δὲ διαβιβάσει τὰς ζ´ ἡμέρας, οὐκ ἐνδέχεται διὰ τὴν ἀδυναμίαν τοῦ σώματος. πιέτω δὲ τὴν διὰ κρόκου ἢ μάννα μετὰ ὕδατος ἢ φοίνικας ἰνδικὰς καὶ τὰς βιόλας τὰς συνθέτους ἢ τὸ χεράβιν τῶν βιόλων καὶ εἰ ἔαρ ἐστὶ κἂν γέρων ὑπάρχῃ, κενωσάτω αἷμα διότι πλησμονὴ αἵματός ἐστιν.*

II. *Τὸ ῥούσιον καὶ λεπτὸν οὖρον δηλοῖ ξανθὴν χολήν. ἔστι δὲ ἡ ξανθὴ χολὴ θερμὴ καὶ ξηρά, καὶ δηλοῖ τὸ τοιοῦτον οὖρον πυρετὸν καὶ φρίκην καὶ καταπλασμὸν καὶ πικρότητα στόματος καὶ σκότος εἰς τὴν κεφαλὴν καὶ πόνον εἰς τὴν ῥάχιν καὶ τὰς λαγόνας καὶ δίψαν. ἐνδέχεται οὖν, ἵνα γίνηται κάθαρσις μετὰ μυροβαλάνου τῶν ξανθῶν καὶ τοῦ χεράβιν τῶν δαμασκηνῶν καὶ τῶν ῥόδων καὶ τοῦ χεράβιν τοῦ ῥοδοστάγματος.*

III. *Τὸ λευκὸν οὖρον καὶ λεπτὸν δηλοῖ μέλαιναν χολήν, ἡ δὲ μέλαινα χολὴ αὔξει ἀπὸ τῆς κα´ τοῦ Αὐγούστου ἕως καὶ τῆς κ´ τοῦ Νοεμβρίου. δηλοῖ δὲ τὸ τοιοῦτον οὖρον βάρος εἰς λήθαργον καὶ πόνον λαγόνων καὶ ὀκνίαν καὶ*

*ἀγρυπνίαν καὶ ὁρώματα κακὰ καὶ κτύπον καρδίας καὶ φόβον. ἐνδέχεται οὖν ἵνα πίῃ τὴν Θεοδώρητον καὶ τὴν Λογαδίου καὶ τὸ μοναχικὸν καὶ τὴν εὐλογίαν καὶ τὸ χεράβιν τοῦ βουγλώσσου καὶ τοῦ καπνοῦ τῆς γῆς.*

IV. *Οὖρον λευκὸν καὶ παχὺ ἐστιν ἀπὸ ὑγρότητος καὶ χυμοῦ φλεγματικοῦ, αὔξει δὲ ὁ τοιοῦτος χυμὸς ἀπὸ τῆς κ΄ Νοεμβρίου ἕως κ΄ Μαρτίου. δηλοῖ δὲ τὸ τοιοῦτον οὖρον βάρος εἰς τὴν κεφαλὴν καὶ δάκρυα καὶ κώφωσιν καὶ ἔμφραξιν εἰς τὰ ὦτα καὶ πόνον ῥάχεως καὶ κακοστομαχίαν καὶ πληθυσμὸν συέλου καὶ ὀκνίαν καὶ βῆχα καὶ στένωσιν καὶ κτύπον καρδίας. ἐνδέχεται οὖν ἵνα γένηται κάθαρσις μετὰ τῶν κόκκων γαληνοῦ καὶ ἵνα πίῃ ὁ νοσῶν τὴν πικρὰν καὶ τὸ μοναχικὸν καὶ τὴν Θεοδώρητον καὶ τὴν Λογαδίου καὶ τὴν Ῥούφου καὶ τὴν Συγκέλου, εἴ ἐστι δυνατός. εἰ δὲ μήγε, πιέτω τὸ χεράβιν τῶν ζινζίφων καὶ τὴν ἀχοριστον καὶ τὴν ἀθανασίαν καὶ τὴν διὰ λιβάνου, καὶ αἵματος κένωσις μὴ γενέσθω.*

V. *Οὖρον λευκὸν μὴ ἔχον ὑπόστασιν ἀπεψίαν δηλοῖ καὶ δυσουρίαν.*

*Οὖρον ἐν πυρετῷ μέλαν ἐοικὸς οἴνῳ αὐστηρῷ ἡπατικὸν νόσημα σημαίνει.*

*Οὖρον τεθολωμένον ἐοικὸς ἐλαίῳ θάνατον σημαίνει.*

*Οὖρον ὠχρὸν παχύτατον ποδαλγίαν σημαίνει.*

*Οὖρον ἐρυθρὸν μὴ ἔχον ἐναλλαγὴν ἐλεφαντίασιν σημαίνει.*

*Οὖρον κροκῶδες μὴ ἐναλλάσσον πνευμόνειν καὶ βηχικὸν νόσημα σημαίνει.*

*Οὖρον μελάντερον στίλβον κωλικὸν νόσημα σημαίνει.*

*Οὖρον μέλαν πελιδνὸν ἄνευ πυρετοῦ καὶ ἱδρώτων κεφαλαλγίαν σημαίνει.*

*Οὖρον κρυσταλλῶδες μὴ ἔχον ἐναλλαγὴν ὕδρωπα σημαίνει.*

*Οὖρον ἐν τριταίῳ πυρετῷ μὴ ἔχον ὑπόστασιν μαρασμὸν σημαίνει.*

## XI.

## * ΣΥΝΟΨΙΣ ΑΚΡΙΒΕΣΤΑΤΗ ΠΕΡΙ ΟΥΡΩΝ ΕΡΜΗΝΕΥΘΕΙΣΑ ΕΚ ΤΗΣ ΙΑΤΡΙΚΗΣ ΤΕΧΝΗΣ ΤΩΝ ΠΕΡΣΩΝ.

---

*Δεῖ γινώσκειν ὅτι ὅταν ᾖ τὸ οὖρον ἐρυθρὸν καὶ θολόν, δηλοῖ ὅτι ἀπὸ αἵματός ἐστιν. ἐρυθρότης θερμασίαν σημαίνει, ἡ δὲ θολότης τὴν ὑγρότητα. τὸ γὰρ αἷμα θερμόν ἐστι καὶ ὑγρόν· ὅτε δὲ πάλιν ἐστὶ τὸ οὖρον ἐρυθρὸν καθαρόν, λεπτὸν ἤγουν ἐκστιλβον, δεῖ γινώσκειν ὅτι ἡ ξανθὴ χολὴ ὑπερέχει. ἡ μὲν γὰρ ἐρυθρότης δηλοῖ τὴν θερμασίαν, ἡ δὲ λεπτότης τὴν ξηρότητα. ἡ γὰρ ξανθὴ χολὴ θερμή ἐστι καὶ ξηρά. ὅταν δὲ τὸ οὖρον λευκὸν καὶ θολόν, δηλοῖ τὸ μὲν θολῶδες ὑγρότητα, τὸ δὲ λευκὸν τὴν ψυχρότητα. σημαίνει οὖν τὸ τοιοῦτον ἐπικρατεῖν τὴν φλεγματικὴν διάθεσιν. τὸ γὰρ φλέγμα ψυχρὸν καὶ ὑγρόν ἐστιν. ὅταν δὲ τὸ οὖρον λεπτὸν καθαρόν ἐστι καὶ λευκόν, δεῖ γινώσκειν ὑπερνικᾶν τὴν ξηρότητα. ἡ γὰρ λευκότης τὴν ψυχρότητα δηλοῖ, ἡ δὲ καθαρότης τὴν ξηρότητα. καὶ γὰρ ἡ μέλαινα χολὴ ψυχρά ἐστι καὶ ξηρά. ὅταν δὲ τὸ οὖρον βεβαμμένον ᾖ, γίνωσκε ὅτι ἀρρωστίαν καὶ νόσον καὶ ταραχὴν δηλοῖ. ἔστι δὲ τὸ τοιοῦτον οὖρον ὅμοιον κόνει πρωτοστάκτῳ φαινομένῃ πρασοειδεῖ. ὅταν γὰρ ἀναμιχθῇ τὸ ὀρρῶδες περίττωμα τῇ μελαίνῃ χολῇ, τοιαύτην ἰδέαν τοῦ οὔρου πρασοειδῆ ἀπεργάζεται. ὅταν δὲ ἀναμιχθῇ μετὰ τοῦ προειρημένου, γίνεται τὴν χροιὰν ὡς κρόκος. δηλοῖ οὖν ὅτι ἡ ξανθὴ χολὴ*

*ἀνεμίχθη μετὰ τῆς προειρημένης ὑγρότητος καὶ διὰ τοῦτο γέγονε τὸ οὖρον ὡς κροκοειδές, ἤτοι ὡς ὅταν τις ἐμβαλὼν ἐν ὕδατι κρόκον καὶ τρίψας ἀποθλίψη καὶ χρῶμα τοιοῦτον ἀποτελέσῃ, ὅταν ἀναμιχθῇ ἡ ξανθὴ χολὴ μετὰ τῆς μελαίνης καὶ θολωθῇ. γίνεται τὸ τοιοῦτον οὖρον μελανοξανθίζον παρόμοιον κνίκῳ μεμιγμένῳ αἵματι καί ἐστιν ἐξ ἐπιμιξίας χολῆς ξανθῆς καὶ μελαίνης. δεῖ δὲ εἰδέναι, ὅτι τὸ οὖρον τῶν νέων ἤτοι τῶν ἀκμαζόντων παρόμοιόν ἐστι τῷ κίτρῳ. ἔστιν οὖν ποσῶς ἐρυθραινόμενον καὶ καθιστάμενον, τῶν δὲ καθεστηκότων λευκότερον τοῦ προειρημένου καὶ λεπτότερον. τὸ δὲ τῶν γερόντων παρόμοιον τῷ τῶν παιδῶν. ἔστι δὲ καὶ τὸ γυναικεῖον οὖρον λευκότερον τοῦ ἀνδρῴου, ἡ δὲ ὑπόστασις αὐτοῦ εἰς τὸν πυθμένα ἐγκάθηται καὶ εἰ κινῆσαι βουληθείης, οὐ σκορπίζεται. ἐποχεῖται δὲ καὶ ἀφρὸς τῷ τοιούτῳ οὔρῳ. ὅταν οὖν ἴδῃς ἐν τῷ τοιούτῳ οὔρῳ ὥσπερ ῥαμμάτια εἰς τὸν ἀφρόν, δηλοῖ συνουσιασμόν. ὅταν δὲ ὀφθείη σοι τὰ οὖρα ὡς λευκὴ νεφέλη, δηλοῖ ὡς ἔγκυός ἐστιν ἡ γυνή, καὶ ὅτι ἂν ὑπόστασιν βενετίζουσαν ἔχει, δηλοῖ ἀρχὴν ἔχειν τὸ ἐγγάστριον. εἰ δὲ οὐ βενετίζει, τέλειον εἶναι σημαίνει.*

## XII.

## * ΣΥΝΟΨΙΣ ΠΕΡΙ ΟΥΡΩΝ.

---

Τῶν μὲν οὔρων πολλαὶ μὲν κατὰ γένος διαφοραί, πολλαὶ δὲ καὶ κατὰ γένος εἰδέαι. καὶ πρῶται μὲν καὶ γενικώταται δύο χῦμά τε καὶ παρυφιστάμενον. καὶ χῦμα μὲν καλεῖται αὐτὸ τὸ ὅλον οὖρον παρὰ τὸ κεχύσθαι, παρυφιστάμενον δὲ τὸ ἐν ἑαυτῷ ἕτερόν τι ἐμφαῖνον. ἐν τούτῳ δὲ τῷ χύματι, δύο θεωροῦνται ἐν συγκρίσει διαφοραί, σύστασις καὶ χροιά. ἑκατέρα δὲ τούτων εἰς ἕτερα διαιρεῖται καὶ ὑποδιαιρεῖται. ἡ μὲν γὰρ σύστασις εἰς λεπτότητα καὶ παχύτητα καὶ ἐξ ἀμφοτέρων σύμμετρον. ὅπερ δὴ κατὰ φύσιν ὑπάρχει ἀδιαίρετος, φέρων φορὰν θεωρεῖται. τὸ δὲ λεπτὸν καὶ τὸ παχὺ τέμνεται διχῇ. εἰ γὰρ ἐξουρεῖται λεπτὸν καὶ μένῃ λεπτόν, ἢ οὐρεῖται μὲν λεπτόν, ἀναθολοῦται δὲ καὶ γίνεται παχὺ καὶ τὸ ἀνάπαλιν, ἢ οὐρεῖται παχὺ καὶ μένει παχύ, ἢ οὐρεῖται μὲν παχὺ καὶ ὕστερον ἀποκαθίσταται, καὶ τὸ μὲν ἐξουρούμενον λεπτὸν καὶ μένον λεπτὸν δηλοῖ ἐσχάτην ἀπεψίαν τοῦ φλεβώδους γένους. οὐ γὰρ ἐνεχείρησεν ἡ φύσις ὅλως ἐπαναστῆναι πρὸς ἄμηναν τοῦ ἐπισωρευθέντος καὶ πλεονεκτοῦντος ἐν φλεψὶ χυμοῦ. τὸ δὲ ἐξουρούμενον λεπτὸν καὶ ὕστερον ἀναθολούμενον δηλοῖ τὴν φύσιν ἐπαναστᾶσαν. ἄρχεται δὲ κενεῖν καὶ ἐκμοχλεύειν τὴν ὑποκειμένην καὶ πλεονάζουσαν ἐν φλεψὶν ὕλην. πάλιν τὸ ἐξουρούμενον παχὺ καὶ μένον παχὺ δηλοῖ τὴν ἀκμάζουσαν τῶν παχέων πνευμάτων καὶ χυμῶν ζύμωσιν, τὸ δὲ ἐξουρούμενον πολὺ καὶ ὕστερον ἀποκαθιστάμενον δηλοῖ, παύεσθαι μὲν τὴν τῶν παλαιῶν χυμῶν

ζύμωσιν, ἄρχεσθαι δὲ τὴν διάκρισιν γίγνεσθαι. αἱ δὲ ἐν συστάσει τοῦ χύματος θεωρούμεναι διαφοραὶ τῆς πέψεως καὶ τῆς ἀπεψίας τῶν χυμῶν δηλοῦται. αἱ δὲ ἐν χρώματι διαφοραὶ πολλαὶ μέν, ἐν συντόμῳ δὲ εἰπεῖν, εἰς ἓξ ταύτας παραστήσομεν ὡς οἷον λευκόν, ὠχρόν, ξανθόν, πυρρόν, ἐρυθρὸν καὶ μέλαν. καὶ τὸ μὲν λευκὸν πολλὰ σημαίνει. εἰ γὰρ ἀσθένειαν δυνάμεως καθάπερ ἐπὶ τῶν γερόντων καὶ τῶν χρονίων νοσημάτων ἢ δι' ἔμφραξιν τῶν ἀγγείων ἢ διὰ πολυποσίαν. εἰ δὲ πάχος ἔχει τὸ λευκόν, σῆψιν ὠμῶν χυμῶν ἐν φλεψὶ κειμένην δηλοῖ. πάλιν τὸ ὠχρὸν ἀσθένειαν φύσεως δηλοῖ μὴ δυναμένης δεόντως ἀλυῶσαι καὶ πέψαι τὸ χῦμα τὸ ἐν φλεψί. τὸ δὲ ξανθὸν οὖρον ἔνδειαν ὕλης σημαίνει, ὡς δηλοῖ νεώτερος, ἀσιτήσας ἢ ἀγρυπνήσας ἢ θερμότητα ἐν τῷ βάθει ἐναποκειμένην ἔχων ὡς ἐπὶ τοῦ τριταίου. τὸ δὲ πυρρὸν ἄπεπτον ὑπάρχον κατὰ τὴν σύστασιν, ξηρότητα πολλὴν σημαίνει· εἰ δὲ καὶ πάχος ἔχει καὶ πυρετόν, τὰ δὲ πολλὰ τῶν οὔρων εὐχερῶς χρώννυνται ὑπὸ χολῆς * * * * πλὴν τὸ ἐρυθρὸν οὖρον ἀπὸ πλείστου αἵματος γίνεται. οἱ γὰρ ἰχῶρες τοῦ αἵματος καταβάπτουσι τὸ οὖρον. τοῦτο δὲ γίνεται καὶ ἐπὶ τῶν φλεγμονῶν. τὸ δὲ μέλαν οὖρον ἢ διὰ τὸ ἐκκαθαίρεσθαι καὶ ἐκκρίπτεσθαι τὸν μελαγχολικὸν χυμὸν ἢ διὰ ὑπερόπτησιν τοῦ αἵματος. ταῦτα δὲ πάντα τὴν διάθεσιν τῶν ἐν φλεψὶ κειμένων χυμῶν σημαίνουσι. τὸ μὲν κατὰ φύσιν οὖρον ἐν συμμετρίᾳ τῶν προειρημένων ποιοτήτων θεωρεῖται, κατὰ μὲν τὴν σύστασιν μήτε λεπτὸν μήτε πολύ, κατὰ δὲ τὸ χρῶμα ξανθόν τε καὶ ὑπόπυρρον, λευκὴν λείην καὶ ὁμαλὴν ἔχων ὑπόστασιν καὶ ἐν τῷ πυθμένι τοῦ κολοκίου ἀποκαθισταμένην. τοῦτο κυρίως λέγεται κατὰ φύσιν. εἰρηκότες τοίνυν τὰς ἐν συστάσει καὶ κατὰ χροιὰν διαφορὰς ζητήσωμεν ὁμοίως καὶ τοῦ παρυφισταμένου τὰς διαφοράς, ἀλλὰ πρότερον μάθωμεν τί ἐστι παρυφιστάμενον. παρυφιστάμενον λέγεται τῷ ἐν αὐτῷ τὸ οὖρον ἕτερόν τι ἐμφαῖνον ἢ ὑποφαινόμενον καὶ οἱονεί μετεωριζόμενον ἢ καὶ ὑφιζάμενον. καὶ ἐν τούτῳ δὲ τοῦ παρυφισταμένου δ' τινα θεωροῦνται πρὸς ἀκριβῆ γνῶσιν, σύστασις, τόπος, χρόνος καὶ χροιά. καὶ σύστασις μὲν ὁμαλὴ ἢ ἀνωμάλως καὶ λικμὴ τραχέα.

*χροιά, εἰ κατὰ φύσιν, ἔστι λευκή, μὴ καταβαφεῖσα ὑπὸ χυμῶν τινος ἢ ἄλλως πως πλεονεκτήσαντος καὶ ἐπιχρώσαντος αὐτήν. καὶ ταῦτα μὲν ἐπὶ τῶν κατὰ σύστασιν καὶ χροιάν. τοῦ δὲ τόπου τρεῖς εἶναι λέγομεν διαφοράς, ἀνωτέραν, μέσην καὶ κατωτέραν καὶ εἰ μὲν ἐν τῷ οὔρῳ ἄνω κεκρέμαται τὸ παρυφιστάμενον, καλεῖται νεφέλιον. εἰ δὲ ἐν τῷ μέσῳ μετεωρίζεται, καλεῖται ἐναιώρημα. εἰ δὲ πάλιν ἐν τῷ πυθμένι τοῦ κοχίου καθυφιζάνει καὶ ἀποκαθίσταται, καλεῖται ὑπόστασις. καὶ πάλιν τὸ μὲν διεσπασμένον καὶ μετέωρον ἐν τῷ οὔρῳ φαινόμενον ἄνω, ὅπερ λέγεται νεφέλη, σημαίνει πλῆθος πνευμάτων παχέων ἀποκλεισθέντων ἐν τῷ βάθει καὶ μὴ δυναμένων ἐκλεπτυνθῆναι. τὸ δὲ ὑποκατελθὸν καὶ κατὰ τὴν μέσην χῶραν μεῖναν, ὅπερ ἐνεώρημα καλεῖται, πέψιν μὲν τῶν χυμῶν σημαίνει, ἀλλ' οὐ τέλειαν. ὑπόστασις μὲν γὰρ τῇ φύσει γνωρίζεται τῷ τόπῳ καὶ τῇ θέσει, καταλλαττομένη τὸν δὲ τόπον ἀμείβη ἡ τοῦ πνεύματος περιουσία τοῦτο τὸ πνεῦμα ὑπὸ τῆς κατὰ μέρος πέψεως λεπτύνεται καὶ διαφορεῖται καὶ ἡ μὲν τέλεια ἡ πέψις γίνεται ὑπὸ τῆς φύσεως. τοῦτο πνεῦμα λεπτυνθὲν καὶ τελείως διαπνευσθὲν τὸ ἐναιώρημα φαίνεται κάτω καὶ ποιεῖ τὴν ὑπόστασιν· τότε δηλοῦνται τελεία ἡ πέψις ἐκ τούτων τῶν τριῶν, λέγω δὴ συστάσεως χρώματος καὶ τόπου. καὶ ὁ χρόνος τοῦ νοσήματος μετρηθήσεται. ἡ μὲν γὰρ ἄνω ἐπιπολάζει ἡ λεγομένη νεφέλη, ἀρχὴν δείκνυσι τοῦ νοσήματος, εἰ δὲ ἐν τῷ μέσῳ ἐναιωρεῖται, μεσάζουσαν τὴν πέψιν δηλοῖ τοῦ ὅλου νοσήματος, εἰ δὲ κάτω ὑποκαταστήσεται, τὴν τέλειαν καὶ ἀσφαλῆ πέψιν δηλοῖ τοῦ ὅλου νοσήματος, ὅσον λεπτύνεται τὸ πνεῦμα καὶ ὑποκαταβαίνει τοῦ ὕψους, τὸ παρυφιστάμενον τοσοῦτον τὰ νοσήματα καὶ συμπτώματα πρᾳότερα ἑαυτῶν γινήσονται, ἐν τούτοις θεωρεῖται ὁ χρόνος τοῦ νοσήματος ἐκ τῶν μέτρων τῆς πέψεως καὶ τῆς ἀπεψίας. οὖρα πονηρά ἐστι ταῦτα χλωρά, πελιδνά, μέλανα, αἱματώδη, καὶ λίαν παχέα τὰ πυρρά, λίαν ἀνάκρατα τὰ ὠμὰ καὶ λεπτὰ καὶ μηδεμίαν ἔχοντα ὑπόστασιν. μοχθηρὰ δὲ τὰ δυσώδη καινὰ δὲ τὰ λιπαρὰ καὶ ἐλαιώδη. φαῦλα δέ ἐστι τὰ λεπτὰ καὶ ὑδατώδη καὶ ὑπερβάλλοντα τὸ πλῆθος τοῦ πινομένου, νεφέλαι δὲ καὶ*

ὑποστάσεις πονηραὶ καὶ πελιδναί, μέλαιναι καὶ ζοφώδεις, ποικίλαι διεσπασμέναι καὶ κρυμνώδεις. αἱ μὲν πυρετώδεις καὶ χλωραί, φλεγματώδεις καὶ δυσώδεις, τὰ δὲ ἀνυπόστατα πάντα πονηρά. καὶ ταῦτα μὲν τὰ εἴδη τῶν οὔρων σημαίνουσι πλῆθος αἰτιῶν καὶ διαφοραὶ νοσημάτων καὶ αὔξησιν τούτων καὶ μείωσιν, διάκρισίν τε καὶ κρίσιν, πέψιν τε καὶ ἀπεψίαν καὶ τρόπους κινδύνων γεννησομένων. * * *. σκοπεῖν δὲ δεῖ τὸν ἰατρὸν ἐπὶ τούτων ἁπάντων τὸ πλῆθος καὶ τὴν δύναμιν τῶν αἰτιῶν καὶ τὴν ὑπεροχὴν εἰς τὸ διαμάρτητον φυλαχθῆναι τὰ πολλὰ τούτων τῆς διακρίσεως ἤγουν διαγνώσεως καὶ τῆς γεννησομένης προρρήσεως. ὡς ἐκ τῶν οὔρων θεωρία.

### Περὶ τῶν κατὰ φύσιν ἀρίστων οὔρων.

Ἐπὶ τῶν πυρεκτικῶν νοσημάτων ἡ ἐκ τῶν οὔρων σημείωσις χρησιμωτάτη καθέστηκε. ἐπειδὴ δὲ πᾶν τὸ παρὰ φύσιν ἐκ τοῦ κατὰ φύσιν εὑρίσκεται, ἀπὸ τῶν κατὰ φύσιν ἀρξώμεθα. οὖρον μὲν οὖν ἄριστόν ἐστι ἐπὶ τῶν ἐν ὑγείᾳ καὶ εὐεξίᾳ διακειμένων ἀνθρώπων ὑπόπυρρον, ὑπόξανθον καὶ τῷ πάχει σύμμετρον καὶ μένον τοιοῦτον τῇ χρόᾳ, ὁποῖον ἀπουρηθῇ, λείαν τε καὶ ὁμαλὴν καὶ λευκὴν ἔχον ὑπόστασιν παρὰ πάντα τὸν χρόνον. πλῆθος δὲ πρὸς λόγον τοῦ πινομένου, ἐπὶ δὲ τῶν γυναικῶν τὸ κατὰ φύσιν οὖρον τῇ χρόᾳ λευκότερον τοῦ ἀνδρὸς εἶναι χρὴ καὶ ὑπόστασιν ἔχειν πλείονα. ἐπὶ δὲ τῆς παιδικῆς ἡλικίας ἱκανῶς παχεῖαν ὑπόστασιν αὐτὸ ἔχειν χρὴ διὰ τὰς τῶν παίδων ἀδδηφαγίας καὶ ἀκάκιους καὶ ἀκαίρους κινήσεις, λεῖαν δὲ ὑπόστασιν Ἱπποκράτης καλεῖ τὸ συνεχὲς καὶ ἀδιάπαυστον δηλῶσαι βουλόμενος, ὁμαλὸν δέ φησιν, ἵνα διόλου ἀεὶ ὅμοιον οὐρῆται καὶ μὴ σήμερον μὲν πεπεμμένον, τῇ δὲ ἑξῆς ἄπεπτον, μήτε μὴν τὴν ὑπόστασιν ἢ τὸ χῦμα ὅλον ἔχειν ἀνώμαλον.

Ζητοῦμεν οὖν ἐπὶ τοῦ κατὰ φύσιν οὔρου χρῶμα καὶ σύστασιν τοῦ χύματος καὶ τὰ παρεμφερόμενα ἐν τῷ χύματι οἷον νεφέλην ἐναιώρημα κατὰ τὴν ἐν τῷ πυθμένι ὑπόστασιν. εὔδηλον οὖν ὅτι κατά τι τούτων τρεπόμενον τὸ οὖρον ἀπεψίαν τὴν ἐν ταῖς φλεψὶ ἐνδείκνυται.

*Ποῖον ἄριστον οὖρον τῶν νοσούντων.*

Ἄριστον μὲν οὖν ἐστι οὖρον ἐπὶ τῶν νοσούντων τὸ τοῖς ὑγιαίνουσιν ὁμοιότατον ὕπωχρον, ἢ ὑπόξανθον, καὶ λευκὴν καὶ λείαν καὶ ὁμαλὴν ἔχον ὑπόστασιν, ὑποδεέστερον δὲ τὸ ἔχον ἐναιώρημα λευκὸν καὶ λεῖον καὶ ὁμαλόν. ἔτι δὲ τούτου ἀπεπτότερον τὸ νεφέλην τοιαύτην ἔχον. ἐφ' ὧν γὰρ πνεῦμά ἐστιν ἐν τῷ βάθει παχὺ καὶ ἄπεπτον, εἰ μὲν ὀλίγον εἴη, συγχωρεῖ μὲν τὴν ὕλην ἐπὶ τὸν πυθμένα τοῦ ἀγγείου κάτω φέρεσθαι, διαμερίζον δὲ αὐτὴν οὐ συγχωρεῖ ἑνοῦσθαι. εἰ δέ τι πλεονάσει τὸ ἄπεπτον πνεῦμα, ἐν τῷ βάθει μετεωρίζει τὴν ὑπόστασιν κατὰ τὸ μέσον τοῦ χύματος καὶ ποιεῖ τὸ καλούμενον ἐναιώρημα. εἰ δ' ἔτι καὶ μᾶλλον εἴη τὸ ἄπεπτον πνεῦμα, πρὸς τὴν ἄνω ἐπιφάνειαν τοῦ χύματος φέρει τὴν ὑπόστασιν καὶ ποιεῖ τὴν καλουμένην νεφέλην. ἐφ' ὅσον οὖν ἰσχύει τὸ πνεῦμα μερίζειν καὶ μετεωρίζειν τὴν ὑπόστασιν, ἐπὶ τοσοῦτον ἀπεπτότερον νομίζεται τὸ οὖρον. ἐπὶ δὲ τῶν ἀκριβῶν τριταίων καὶ ἐφημέρων πυρετῶν νεφέλη μόνον ἢ ἐναιώρημα πολλάκις ἤρκεσε πρὸς λύσιν τοῦ νοσήματος, ἐνίοτε δὲ καὶ τὸ εὔχρουν γενέσθαι τὸ οὖρον μόνον.

*Ὅτι οὐ πᾶσα λευκὴ ὑπόστασις ἀγαθόν τι σημαίνει καὶ περὶ ὠμοῦ χυμοῦ καὶ πύου.*

Πολλάκις δὲ τὸ λευκὸν χρῶμα τοῦ παρεμφερομένου ἐν τῷ χύματι ἀπατᾷ τοὺς ἰδιώτας, ὡς ὑπόστασιν χρηστὴν νομίζεσθαι, μὴ οὖσαν χρηστήν. σημαίνει γὰρ ὠμὸν χυμὸν καὶ λευκόν, συνεκκρινόμενον τὸ οὖρον, ὑφίστασθαι καὶ φαντασίαν χρηστῆς ὑποστάσεως παρέχειν. ἐνίοτε δὲ ἥπατος ἢ νεφρῶν πεπονθότων πῦον ἐκκρίνεται σὺν τῷ οὔρῳ καὶ παρυφιστάμενον ἀπατᾷ τὸν τεχνίτην. ἀλλὰ τοῦτο πρῶτον διορίζεται τὸ προπεπονηκέναι τὸν ἄνθρωπον τὸν νεφρὸν ἢ τὸ ἧπαρ ἤ τι ἕτερον μόριον τῶν εἰωθότων ἐκκαθαίρεσθαι διὰ τῶν οὔρων. ἔπειτα καὶ δυσῶδες εὑρίσκεται τὸ μετέχον πύου. ὁ δὲ ὠμὸς χυμὸς διορίζεται, τῶν χρηστῶν ὑποστάσεως καὶ τῇ ἀνωμάλῳ συστάσει τὸ παρυφιστάμενον. οὐ γὰρ συνεχὲς ἑαυτῷ μένει, ἀλλὰ διαμερίζεται εἰς μικρά, οἷον ψάμμια καὶ οὐδὲ ὅλως λεῖόν ἐστι,

καθὼς ἡ ἀληθὴς ὑπόστασις. ἐπὶ μὲν οὖν τῶν χρηστῶν οὔρων πρῶτον μὲν ἐπιφαίνεται νεφέλη, ἔπειτα ὑποκαταβαίνουσα ποιεῖ τὸ ἐναιώρημα, ἐπὶ τέλει δὲ ὑφιζάνουσα ἐν τῷ πυθμένι τοῦ ἀγγείου ποιεῖται τὴν ὑπόστασιν δηλονότι, ἂν τελείως πεφθῇ, ἐπὶ δὲ τῶν ὠμῶν χυμῶν εὐθὺς ἐξ ἀρχῆς εἰς τὸν πυθμένα τοῦ ἀγγείου, ὑποχωρεῖ πλῆθος πολὺ μετὰ τοῦ εἶναι κακόχροον καὶ τὸ χῦμα ὅλον. ἔπειτα δὲ κατὰ βραχὺ πεπτόμενος καὶ λεπτυνόμενος, αἰωρεῖται κατὰ τὸ μέσον τοῦ χύματος καὶ ποιεῖ τὸ ἐναιώρημα. ὅταν δὲ ἐπὶ πλέον λεπτυνθῇ καὶ πεφθῇ, ἐφίσταται ἐπὶ πολὺ τοῦ χύματος καὶ ποιεῖ τὴν νεφέλην καὶ πλανᾷ τοὺς ἰδιώτας ὡς ὑπολαμβάνειν ἐπὶ τὸ χεῖρον προβαίνειν τὴν νόσον.

### Τί δηλοῖ τὸ λεπτὸν καὶ ὠχρόν.

Τὸ δὲ λεπτὸν καὶ ὠχρὸν οὖρον ἄπεπτον μέν ἐστι τῇ συστάσει· πεπεμμένον δὲ μετρίως τῇ χρόᾳ ἀσθένειαν καὶ τοῦτο δηλοῖ τῆς φύσεως. τῷ μὲν γὰρ χρώματι, ἔπεψεν ὡς ἂν ῥᾴδιον ὕπαρχον, οὐκέτι δὲ καὶ τῇ συστάσει, διὰ τὸ δυσκολώτερον.

### Τί δηλοῖ τὸ λεπτὸν καὶ πυρρόν.

Τὸ δὲ λεπτὸν τῇ συστάσει καὶ πυρρὸν τῷ χρώματι βέλτιον τοῦ ὠχροῦ, ὅμως ἄπεπτον διὰ τὴν σύστασιν.

### Τί δηλοῖ τὸ ἐρυθρόν.

Τὸ ἐρυθρὸν οὖρον ἀπεψίαν σημαίνει, οὐ θάνατον, ἀλλὰ χρόνου δεῖται εἰς πέψιν. ἔστι γὰρ ἐξ αἵματος ἤγουν χωροειδοῦς μήπω τελείαν πέψιν λαβόντος μηδὲ τὴν ἰδίαν χρόαν καὶ διὰ τοῦτο χρονιώτερον σημαίνει τὸ πάθος. ἐπὶ δὲ τῶν συνοχῶν πυρετῶν, τῶν ἐπὶ πλήθει αἵματος συνισταμένων ἐκκρίνεται τὸ οὖρον ἐρυθρὸν καὶ παχὺ καὶ δῆλον, ὡς ἐστι τοῦτο καὶ τῷ χρώματι καὶ τῇ συστάσει τοῦ χύματος καὶ τῷ παρυφισταμένῳ ἄπεπτον.

*Τί δηλοῖ τὸ λεπτὸν οὐρούμενον καὶ ἔξω ἀναθολούμενον.*

*Τὸ δὲ λεπτὸν οὐρούμενον καὶ μετὰ ταῦτα ἔξω ἀναθολούμενον ἄπεπτόν ἐστι διὰ περιουσίαν πνεύματος παχέος, δηλοῖ δὲ τὴν φύσιν ἄρχεσθαι πέττειν.*

*Τί δηλοῖ τὸ παχὺ οὐρούμενον καὶ μένον παχὺ καὶ μὴ καθιστάμενον οἷόν ἐστι τὸ τῶν ὑποζυγίων.*

*Ἀκμάζειν δηλοῖ τὴν τῶν παχέων πνευμάτων τε καὶ χυμῶν οἷον ζύμωσιν, ἐπὶ τούτων κεφαλαλγίαι ἢ πάρεισιν ἢ παρέσονται διὰ τὴν ἐν τοῖς χυμοῖς ταραχὴν καὶ τὰς ἀναθυμιάσεις.*

*Τί δηλοῖ τὸ οὐρούμενον παχὺ καὶ μετὰ ταῦτα καθιστάμενον.*

*Τὸ δὲ οὐρούμενον παχὺ καὶ μετὰ ταῦτα καθιστάμενον παύεσθαι μὲν τὴν ἐν τοῖς χυμοῖς ζύμωσιν καὶ λεπτύνεσθαι ποσῶς δηλοῖ, ἄρχεσθαι δὲ τὴν διάκρισιν.*

*Τί δηλοῖ τὸ λευκὸν καὶ λεπτὸν οὐρούμενον καὶ μένον τοιοῦτον.*

*Τὸ λευκὸν καὶ λεπτὸν οὖρον ἐσχάτην ἀπεψίαν σημαίνει. οὐ γὰρ ἐνεχείρισεν φύσις ὅλως ἐπὶ τούτου πρὸς τὴν πέψιν, γίνεται δὲ τοῦτο ἢ δι' ἀσθένειαν τῆς δυνάμεως ἢ δι' ἔμφραξιν ἢ διὰ τὸ χρόνιον εἶναι τὸ νόσημα. ἐπὶ γὰρ τῶν τεταρταίων χρονιωτάτων ὄντων ἐν ἀρχαῖς διὰ τὸ πάχος καὶ τὸ δυσπειθὲς τῆς ὕλης, διηθούμενον τὸ οὖρον λεπτὸν οὐρεῖται. οὐρεῖται δὲ λεπτὸν καὶ δι' ἔμφραξιν ἥπατος ἢ νεφρῶν, ἀλλὰ διαγινώσκεται διὰ τῆς τοπικῆς ὀδύνης. οὐρεῖται δὲ ἐνίοτε λεπτὸν καὶ λευκόν, καὶ ἐπὶ τῶν διακαῶν πυρετῶν καὶ σημαίνει φρενῖτιν ἀπειλουμένην. καὶ γὰρ ὁ καῦσος πυρετὸς πλῆθος δηλοῖ χολῆς, οὐ χρώννυται δὲ τὸ οὖρον. εὔδηλον οὖν ὅτι οὐ μένει ἐν τοῖς ἀγγείοις ἡ χολή, ἀλλὰ τῇ κουφότητι εἰς τὸν ἐγκέφαλον ἀνέδραμεν. εἰ μὲν οὖν μὴ πάρεστιν ἡ φρενῖτις, ἐπὶ τούτων γίνωσκε αὐτὴν μέλλουσαν ἤδη ἔσεσθαι. εἰ δέ, καὶ παρούσης φρενίτιδος οὐρεῖται λευκὸν καὶ λεπτὸν οὖρον, ἐπὶ διακαοῦς πυρετοῦ προαγγέλλει θάνατον ὡς ἐπιπολύ. οὐ γὰρ ὑπομένει ἡ ἐν ἐγκεφάλῳ δύναμις ἤδη προκαταβεβλημένη τῷ διακαεῖ πυρετῷ, ἐνεγκεῖν δριμύτητα καὶ δῆξιν χολῆς, ἤδη σεσηπυίας.*

*Πόσαι διαφοραὶ τῶν ἐλαιωδῶν οὔρων καὶ τί σημαίνουσι.*

Εἴωθε ὁ πυρετὸς πρότερον τὴν πιμελὴν ἐκτήκειν, ἔπειτα τὴν σάρκα· ἔσχατον δὲ καὶ αὐτῶν τῶν στερεῶν σωμάτων καθάπτεται. πυρετῷ οὖν τῆς πιμελῆς τηκομένης, τὰ ἐλαιώδη οὖρα ἐκκρίνεται, κατὰ βραχὺ δὲ ἡ πιμελὴ τήκεται, ὅθεν καὶ ἀρχὴν ἔχει καὶ ἀνάβασιν καὶ ἀκμήν. ἐν ἀρχῇ μὲν οὖν τῆς συντήξεως ἐλαιόχροα ποιεῖ τὰ οὖρα, ὡς εἶναι αὐτὰ ἄμφω, εἴτε ἐλαιώδη εἴτε ὑδατώδη ἐστιν· ἐν δὲ τῇ ἀναβάσει ἐλαιοφανῆ γίνεται, ἐπισημοτέραν τὴν μῖξιν τοῦ ἐλαιώδους ἔχοντα, ἐν δὲ τῇ ἀκμῇ τῆς συντήξεως ὅλα δι' ὅλων τὰ οὖρα καὶ ἐν χρώματι καὶ ἐν συστάσει οἷον ἔλαιόν ἐστι. ἀλλ' αὐτὴ ἡ τηκομένη πιμελὴ ἢ τῶν νεφρῶν μόνον ἐστὶν ἢ τοῦ παντὸς σώματος. εἰ μὲν οὖν μόνον νεφρῶν εἴη, ἀθρόως ἐκκρίνεται πλῆθος τοιοῦτον, ἀλλὰ καὶ θερμασίας πλείονος αἴσθησις περὶ τοὺς νεφροὺς γίνεται· εἰ δὲ ἐκ τοῦ παντὸς σώματος εἴη, κατὰ βραχὺ τὴν προσθήκην ποιεῖται.

*Τί σημαίνουσιν αἱ ὀροβοειδεῖς ὑποστάσεις.*

Ὅταν δαπανηθῇ ἡ πιμελὴ καὶ λοιπὸν ἡ σὰρξ τήκηται, ὀροβοειδεῖς ὑποστάσεις γίνονται ἐν τοῖς οὔροις, ἀλλὰ καὶ αὗται ἢ τῶν νεφρῶν μόνον εἰσίν, ἢ τοῦ παντὸς σώματος. εἰ μὲν οὖν ἐν πυρετοῖς φανείη τὸ τοιοῦτον οὖρον, τοῦ παντὸς σώματος δηλοῖ τὸ πάθος εἶναι· εἰ δὲ μὴ τῶν νεφρῶν μόνον καὶ πάλιν εἰ μέν ἐστιν ἀπεψία τῶν οὔρων, ὅλου τοῦ σώματος τὸ κακόν. εἰ δὲ πεπεμμένον μὲν εἴη τὸ οὖρον, αἱ ὀροβοειδεῖς δέ εἰσιν ὑποστάσεις, τῶν νεφρῶν δηλοῖ τὸ πάθος.

*Τί δηλοῦσιν αἱ πυροειδεῖς ὑποστάσεις.*

Ὅταν δ' ὁ πυρετὸς δαπανήσῃ τὴν πιμελὴν καὶ τὸ πλέον τῆς σαρκὸς καὶ ἐν τῷ βάθει τῶν ἀγγείων ἐγκατασκήψῃ, γίνονται πιτυρώδεις ὑποστάσεις, στενώτεραι μὲν τῶν πεταλωδῶν, παχύτεραι δὲ αὐτῶν, ὁμοίως δὲ καὶ ἐκ τῆς κύστεως ἐκκρίνεται. ἀλλ' εἰ μὲν πυρετὸς παρείη ὅλου τοῦ σώματος, ἂν δὲ μή, τῆς κύστεως καὶ εἰ μὲν ἄπεπτον

*εἴη τὸ οὖρον, τοῦ παντὸς σώματος τὸ πάθος, εἰ δὲ πεπεμμένον, τῆς κύστεως μόνης. ἀλλὰ καὶ τοπικὴ ὀδύνη ἐστίν.*

*Τί δηλοῦσιν αἱ πεταλώδεις ὑποστάσεις.*

*Ὅταν αὐτὰ πάθωσι τὰ στερεά, πρῶτον μὲν τὰ ἐπιπολῆς διαζέονται καὶ γίνονται πεταλώδη τὰ ἐν τοῖς οὔροις· ἀλλὰ καὶ ἐκ τῆς κύστεως μόνης τοιαῦτα ἐκκρίνεται. εἰ μὲν οὖν εἴη πυρετός, τὸ ὅλον σῶμα κεκάκωται, εἰ δὲ μή, τῆς κύστεως τὸ πάθος. καὶ εἰ μὲν ἄπεπτα τὰ οὖρα, τοῦ ὅλου σώματος τὸ πάθος, εἰ δὲ μή, τῆς κύστεως μόνης.*

*Τί δηλοῖ τὰ κριμνώδη ἐν τοῖς οὔροις.*

*Ἐπειδὰν πυρετὸς μετὰ τοῦ κατειληφέναι τὸ βάθος καὶ μεῖζον πλάτος ἐπιλάβῃ καὶ μῆκος, ἀδρότερα γίνεται τὰ τοιαῦτα τῶν πιτύρων καὶ καλεῖται κριμνώδη· δύο δὲ σημαίνει· ἢ ὄπτησιν τοῦ αἵματος δηλοῖ ἢ σύντηξιν ἰσχυρὰν τῶν στερεῶν. εἰ μὲν οὖν λευκὰ εἴη αὐτὰ τὰ κριμνώδη, τῶν στερεῶν σωμάτων ἐστὶ τὸ πάθος, εἰ δὲ ἐρυθρά, τοῦ αἵματος.*

*Τί δηλοῖ τὸ δυσῶδες οὖρον.*

*Τὸ δυσῶδες οὖρον σῆψιν δηλοῖ καὶ τῆς φύσεως νέκρωσιν μέλλουσαν.*

*Τί δηλοῖ τὸ μέλαν οὖρον.*

*Πάντα τὰ μέλανα τῶν οὔρων εὐθὺς καὶ παχέα. τὰ δὲ ἰχωρώδη καὶ σανδαραχίζοντα τῶν οὔρων θάνατον δηλοῦσι πάντως, εἰσί. σπάνιον γὰρ ἢ οὐδ' ὅλως εὑρεθῆναι λεπτὸν καὶ μέλαν. τὸ γὰρ μέλαν χρῶμα προσγίνεται τοῖς οὔροις ἐκκαθαιρομένου τοῦ μελαγχολικοῦ χυμοῦ ἢ αὐτῆς τῆς μελαίνης χολῆς, τῆς τε διὰ ψῦξιν γενομένης καὶ τῆς δι' ὑπερόπτησιν. αἱ δὲ τρεῖς αὗται διαφοραὶ παχύτητας κέκτηνται τὰς συστάσεις· ἐξ ἀνάγκης οὖν καὶ παχέα εὑρεθήσεται τὰ μέλανα τῶν οὔρων· ἐπὶ μὲν οὖν τῶν ὀξέων νοσημάτων ὀλεθριώτατόν ἐστι σύμπαν τὸ οὖρον μελανθέν, καὶ μάλιστα ὅταν καὶ δυσῶδες ὑπάρχῃ καὶ παχὺ καὶ ὑπόστασιν ἔχον μέλαιναν. ἀδύνατος γὰρ ὀξέως νοσοῦντα τοι-*

οὗτον οὐρήσαντα σωθῆναι. καὶ εἰ μὲν ὑπόστασις εἴη μέλαινα, ὀλεθριώτατον. εἰ δὲ ἐναιώρημα μᾶλλον, ἧττον κακόν, ὅμως κακόν. εἰ δὲ νεφέλη εἴη μέλαινα, ἔτι ἠπιώτερον, ὅμως κακόν. τὸ δὲ μέλαν ποτὲ μὲν ἐνδείκνυται ψύξιν, ποτὲ δὲ θερμότητα ἤγουν ἐξυπερόπτησιν. εἰ μὲν οὖν πρότερον, οὐρηθείη πελιδνὸν οὖρον, εἶθ' οὕτως γένοιτο μέλαν, ἔχει ψύξιν τὴν αἰτίαν. εἰ δὲ τὸ ξανθὸν προηγήσοιτο καὶ οὐρηθείη, ἔπειτα μέλαν γένοιτο, δηλονότι ὑπὸ πλείονος θερμότητος μέλαν γέγονεν ἐξυπεροπτηθέν. γνωστέον μέντοι ὅτι καὶ ἐπὶ τῇ παρακμῇ τοῦ τεταρταίου πυρετοῦ καὶ ἐπὶ τῆς μελαγχολικῆς· παρανοίας λυομένης, οὖρα φαίνεται μέλανα παχέα. ἡμεῖς δὲ ὀλέθρια ἔφημεν εἶναι ταῦτα ἐπὶ τῶν ὀξέων.

### Τί δηλοῦσι τὰ ἰχωρώδη καὶ σανδαραχίζοντα τῶν οὔρων.

Παρεικομένων, καὶ αὐτῆς τὴν οὐσίαν ἀναλύεσθαι καὶ τὸ λεπτομερὲς αὐτοῦ τὴν ἰχωρώδη χροιὰν διαλύει. εἰ δὲ παχυμερές, τὴν σανδαραχίζουσαν, καὶ ὡς ἐπιπολὺ θάνατον σημαίνουσιν, εἰ δὲ περισώζει τὴν ἰχῶρα.

## XIII.

## * ΠΕΡΙ ΣΦΥΓΜΩΝ.

*Σφυγμός ἐστι κίνησις τῶν ἀρτηριῶν ἀπὸ μὲν τῶν ἐντὸς εἰς τὰ ἐκτός, ὃ δὴ καὶ διαστολὴ καλεῖται. ἀπὸ δὲ τῶν ἐκτὸς εἰς τὰ ἐντός, ὃ καὶ συστολὴ λέγεται. χρεία δὲ τῆς διαστολῆς κατὰ τὴν ἀναλογίαν τῆς θέρμης ἐπισπᾶσθαι τοῦ ἐκτὸς ἀέρος πρὸς εὐκρασίαν, τῆς δὲ συστολῆς τὸ ἀπώσασθαι τὰ λιγνυώδη καὶ καπνώδη περιττώματα. πᾶσαι μὲν οὖν αἱ ἀρτηρίαι τὸν αὐτὸν τρόπον σφύζουσιν, οὔτε δὲ εὐσχημονέστερον οὔτε τῇ χρείᾳ συμφορώτερον ἄλλης ἂν ἅπτοιο τὰς ἐν τοῖς καρποῖς παρείς.*

*Εἰ πολλά γε εἴη τὰ τὴν χρείαν ἐπείγοντα μέγεθος πρῶτον, εἶθ' οὕτω καὶ τάχος ἐπιγίνεται τοῖς σφυγμοῖς καὶ μέγεθος μὲν ἐξ μεγάλης τοῦ αἵματος θερμότητος τῆς ἔνδον, ὃ μάλιστά ἐστι σημεῖον θανάτου οὐ πόρρωθεν.*

## XIV.

* *Τοῦ σοφωτάτου κυρίου Μαξίμου τοῦ Πλανούδη περὶ τῶν ὑελίων πασῶν τῶν ἀσθενειῶν τῶν ἐν τοῖς ἀνθρώποις, ἐπερχομένων στίχοι.*

---

1. *Τῶν ἀσθενέων ὑέλια μάθε τρὶς καὶ δέκα· τὸ μὲν λευκὸν τὸ πρῶτον, τὸ ξανθὸν δ' ἐπὶ τοῦτο β' τρίτον ῥοδινίζον, ῥούσιον δέ· τὸ δὲ τέταρτον γίνωσκε, αἷμα καθάπερ πυρῶδες πέμπτον ἐστί, τὸ δὲ ἕκτον ὅλον κρόκινον.*

2. *Μετὰ δὲ τοῦτον ὡς κίτρον ἴσθι τὸ ἕβδομον, τὸ ἐφεξῆς δὲ μέλαν, τὸ δὲ ἔννατον ἄσπρον ὥσπερ καὶ τὸ ὕδωρ, δέκατον δὲ συντριγία ὑπόλευκον, λεθολουμένον δέ ἐστι ὅλον, αὐτὸ γὰρ ὥσπερ τὸ ἑνδέκατον.*

3. *Τοῦ δωδεκάτου τὸ εἶδος μόνον οὐ πέφυκε, οὐ θολερὸν οὐδ' αὖθις καθαρόν, ἀλλ' ὁρᾶται μῖγμα πεφυρμένον· βοῦρκος δέ ἐστι τρὶς καὶ δέκατον δύσωχρον, ἀλλὰ πονήσας ἐνταῦθα μάθε λοιπὸν τουτωνὶ καὶ τὴν διάγνωσιν.*

4. *Τὸ λευκὸν ἐκ ψύξεως ἐστι καὶ νεφροαλγήσεως· ἰατρεβέσθω δὲ πάσχων κλυστήρια, δραστικὰ τὰ ἔχοντα μαλαθρόρριζα καὶ θρυμβόξυλα· τούτων δὲ ἀντὶ δὲ τοῦ νάρδου ἄλειψον καλὸν χαμεμηλέλαιον.*

5. *Τὸ ξανθὸν δὲ νέφος ἂν ὁρᾷς μέσον αἰωρούμενον εἰς παντελῆ καταμάνθανε ἴασιν τὸν νοσοῦντα ἔρχεσθαι. εἰ λυθείη δὲ τὸ ῥωθώνιον μάλιστα τοῦτο δεληλωμένον σύντωμον σημεῖον τῆς ἰάσεως.*

6. *Εἰ μὴ αἷμα δώσει ὁ μυκτήρ, ποίησον ζουλόπιον τὸ κεκτημένον γυμνόκρηθον, τζίντζιφα μετ' αὐτῶν καὶ σάνδαλον, ἑψηθέντα δὲ τὸν ζωμόν τε σακέλισον καὶ καλὸν ἰσάχαρ· ἕψησον καὶ δίδου τῷ νοσήσαντι.*

7. *Μετὰ ταῦτα δ' ὅταν σὺν θεῷ ἴδῃς ὡς τὸ ὄστρακον περὶ τὸν πάτον γενόμενον, φίλτατε, ὑελίου κείμενον τοῦ νοσήσαντος παρευθὺς φλεβοτόμησον καὶ σὺν ταχυτάτῃ ὄψει τὴν ὑγείαν ἐπιλάμψασαν.*

8. *Τὸ τρίτον ὑέλιον τὸ ῥοδινίζον· ξανθῆς ἀπὸ χολῆς γὰρ συνέβη τοῦτο ὠδὴ γ'. Ἐν πέτρᾳ με τῆς πίστεως καὶ πάνυ γε, ὁ πάσχων κατεθερμάνθη· εἰ μαῦρον, νέφος δὲ μέσον προσκρέμαται, ἀλήθεια γίνωσκε τοῦτο θανάσιμον.*

9. *Εἰ μέσον δὲ οὐκ ἴδοις τὸ μαῦρον νέφος κρεμάμενον, ἀλλ' ἄνω τοῦ ὑελίου κέκτηται καὶ τζίπαν ὡς ἐλαιώδη, χολὴ ἐξέκαυσε τὸν ἀσθενήσαντα καὶ ψυχρὰ ὡς δύναμις τούτῳ πρόσφερε.*

10. *Ψυχροῖς γὰρ εἰ μὴ σβέσεις χολὴν ἐν τάχει, κοιλίας κρατηθήσεις τοῦ ἀσθενοῦντος, φρενίτις ἐπιγίνεται τῷ ἀθλίῳ, διὸ καὶ πότισον ὡς δοκιμώτατος ἀναλόγως φίλτατε ὀξυφοίνικον.*

11. *Κατάπλασμα ποιήσας ᾠοῦ μετ' ἄσπρον ψιλλίῳ τε, σύναμα καὶ κριθαλεύρῳ ἐπίθες τῷ νοσοῦντι παρὰ τῷ ὕπαρ λειώσας, σπέρματα μετὰ σαχάρεως· ἀγκουρίων κάμνοντα τοῦτον πότισον.*

12. *Πινέτω δὲ κριθόχυλον ἐν τῇ δίψῃ ὁμοῦ ξυμήλων καὶ βλασταρίων, ψυχρᾷ δὲ καὶ κλυστήριον εἰσδεχέσθω, σὺν κριθαλεύρῳ καὶ ἰσαχάρει, εἰ δρόσατον ἔχεις, τοῦτον κάλλιον.*

13. *Τὸ τέταρτον εἰ καὶ ῥούσιον νέφος ἐνέσχηκεν ἐν αὐτῷ κρεμάμενον, τὴν λεγομένην ὑπόστασιν ἴσθι ὡς κεκράτηται γαστὴρ τοῦ πάσχοντος, ὅθεν καὶ ἠσθένησεν.*

14. *Κατάπλασμα συσκευάσας τῷ ἄνω παρόμοιον τῷ ἀνθρώπῳ πρόσφερε καὶ ποτιζέσθω γλυκύτερος, ἔπειτα κλυστήρια ἰατρευέσθω μὴ ὅλως ἅλας ἔχοντι.*

15. *Τῷ νεύματι τοῦ χυμοῦ, ἐντεῦθεν γὰρ τοῦ ἡμῶν χρηστότητος τὰς ἀσθενείας βαστάσαντος, οὗτος ἰαθήσεται καὶ μετ' εἰρήνης ἐντεῦθεν ἐγερθήσεται.*

16. *Κατάπειρον ὡς τὸ αἷμα τὸ πέμπτον; ὡς ἔφημεν τῶν διττῶν στοιχείων γὰρ ἀναμιχθέντος τοῦ αἵματος· μετὰ ξανθιζούσης δὲ χολῆς σκοτίζουσιν ὅλον τὸν ἐγκέφαλον.*

17. *Σκοτίζουσιν μετὰ τούτου καὶ κόρας καὶ φρόνησιν*

*καὶ λαλεῖ παράφορα καὶ ψηλαφᾷ τὰ ἱμάτια, ἀγρίως ὁ ἄνθρωπος ὁρᾷ, ξηρός τε τὰς ῥῖνας ὡς οὐδέποτε.*

18. *Καὶ καίεται τοῦ τοιούτου ἡ γλῶσσα ὡς κλίβανος καὶ κοιμᾶται κάτοχα, παρεφθαρμένον ὡς τελέων τρίζει τοὺς ὀδόντας τε διυπνισθείς, βλοσσυροὺς δὲ κόρας δείκνυσιν.*

19. *Ὄξος λοιπὸν ποτήριον ἐπάρας ἥμισυ μόνον καὶ τὸν τετραγκουρόζωμον συμφύτου σὺν ἀμαράντῳ καὶ ζωμῷ κολοκύντης, ἅμα ταῦτα καὶ ῥοδοστάμασιν ὅσον ποτηρίου ἑνὸς εἰς ποσότητα.*

20. *Ἄσπρα ὠῶν μετὰ τούτων ἁπάντων σύμμιξον τρία· ἔπειτα μανδήλια πέντε ἔχων ταῦτα ἄλασσον καὶ συσφίγκων ὀλίγον, οὕτω κατάπλασσε πάντα βεβρεγμένα καλῶς ἐν τῷ ἥπατι.*

21. *Τίθει ταυτὶ ἐφ' ἑκάστην ἡμέραν λοιπὸν τρισάκις, ἐπὶ τῇ πρωΐᾳ μέσης ἡμέρας καὶ τῇ ἑσπέρᾳ ὀξυφοινίκων, εἶτα πόσιν δίδου τῷ ἀσθενήσαντι, κνίκον καὶ σάχαρ πρωΐαν νηστεύοντι.*

22. *Βρέχε δ' αὐτὰ ῥοδόσταγμαν πρῶτον καὶ τότε δίδου καὶ τὰς θριδακίνας, δίδου εἰς βρῶσιν τῷ ἀσθενοῦντι, καὶ ἰντίβιον τούτῳ, ἅμα δίδου μετὰ σαχάρεως, τρώγειν καὶ τῇ νεύσει θεοῦ ἰαθήσεται.*

23. *Τὸ δὲ ἕκτον ὡς ἔφημεν κρόκινον, νέφος ἐὰν ἔχῃ δὲ μαῦρον κρεμάμενον ὡς ἀληθῶς θανάσιμον, εἰ μὴ ἄλλο τι πάθος προγέγωνεν.*

24. *Ἐκ στομάχου καὶ γὰρ ἀνεγείνετο· τοῦτο δυσπεπτήσαντος, δεῦρο καὶ τρίτοσον, τὰ ὑελία ἄνθρωπε καὶ τριῶν τὴν ἰδαίαν κατάμαθε.*

25. *Καὶ ἂν ὦσι τὰ τρία παρόμοια, θάνατον σημαίνουσιν· εἰ δ' ἀλλαγήσονται πρὸς τὸ λευκὸν κρινόμενον ἢ ξανθὸν ὑγιαίνει ὁ ἄρρωστος.*

26. *Μαρουλλόσπορον οὖν καὶ χαμέμηλα καὶ βασιλικόσπορον σὺν κριθαλείρῳ τε καὶ τὸν ζωμὸν ἀνάμιξον τὸν τοῦ σεύτλου καὶ τίθει τῷ ἥπατι.*

27. *Τὸ τοιοῦτον ὡς ἔμπλαστρον τίθει δὲ καὶ ἐπὶ τὸ μέτωπον τοῦ ἀσθενήσαντος καὶ ἰατρείας ποίησον τῷ ἀνθρώπῳ καὶ δώῃς τὴν ἴασιν.*

28. *Τὸ ἕβδομον κίτρινον, ὡς θέα κίτρου· ἂν ἔχῃ δὲ κάτωθεν καὶ νέφος ὡς σεμίδαλιν, κριθὲν κάτω μάνθανε τῷ ὑελίῳ αὐτῷ, τοῦτον οὖν διαίτησον λεπτῶς καὶ ἰαθείη θεοῦ θέλοντος.*

29. *Τὸ ὄγδοον μέλαν δὲ ὡς ἐκ μελαίνης χολῆς ἠνεσχήντισεν· χολὴ γὰρ μετὰ αἵματος, στοιχεῖα δ' ἀνέμιξεν καὶ κινδυνεύειν ποιεῖ πνεύμονα καὶ ἧπαρ καὶ χολὴν καὶ συσκοτίζει κακῶς τὸν ἄνθρωπον.*

30. *Σταφίδας καὶ τζίντζιφα συναποβράσας ζουλάπιον ποίησον καὶ πότιζε τὸν πάσχοντα καὶ ἄλλο ζουλάπιον μετὰ σελίνου ῥιζῶν, λιπηναροκήχωρος, ἐν αἷς δι' αὐτῶν δὲ τὰς ῥίζας ἕνωσον.*

31. *Ἐν τούτῳ ἐπίβαλε καὶ λίτραν μίαν ἰσάχαρ καὶ πότιζε ἡμέραν ἐφ' ἑκάστην τε τὴν μίαν ἐκ πρώτου γε καὶ τοῦ δευτέρου ἐξῆς, ἀγριαγκουρέας τὸν ζωμὸν καὶ ῥοβαλεύρου αὐτῷ κατάπλασσε.*

32. *Ὥσπερ τὸ ὕδωρ καθαρόν, τὸ δ' ἔννατόν ἐστιν ἂν γοῦν ἐπάνω, ὡσεὶ ἔλαιον ἔχει, εἰς δὲ τὸν πάτον αὐτοῦ, οὐκ ἄνω, οὐ κάτω ὑπόστασιν, ἧπαρ τοῦ νοσοῦντος καὶ στόμαχος ὁ πάσχων.*

33. *Ἀπὸ ψυχρότητος αὐτῷ, ἐπεισῆλθε γὰρ αὐτῷ ἡ ἀρρωστία καὶ ἠτώνησε φύσις καὶ οὐ χωνεύει καλῶς καὶ μένει ἀνόρεκτος, βλέπει δὲ πρὸς ὑδροπηκίαν τὴν κακόσχολον νόσον.*

34. *Τῷ γοῦν στομάχῳ ἀλοιφὰς καὶ ἐμπλάστρους τὰς θερμὰς αὐτῷ ἐντίθει καὶ μαστίχιον ἔνδον μετὰ λαδάνου ἐνθεὶς τὰ σπλάγχνα, τὸ ἧπαρ, τὸν στόμαχον ἄλειψον ἐλαίῳ πηγάνων χαμαιμήλων.*

35. *Χυλοζυγκίβερ γάλαγκαν καρυόφαλον κυμηνοκαρναβάδιν καὶ μακροπέπερι στάχος οὖν γλικανίσῳ λαβών, πυρίθῳ ἀκόρῳ καὶ σπέρματα σεληνοανήθων μετὰ μοσχοκαρύδων.*

36. *Ψυβιοτικὸν δὲ σὺν αὐτοῖς καὶ τὴν κύπερον ὁμοῦ ἀλεξανδρείας εἰς ἰγδίον συντρίψας καὶ κοικηνήσας καλῶς, ἰσάχαρ τρὶς λύτρας ἐπίβαλον, κύλικας δὲ δύο ῥοδόσταγμα σὺν ἅμα.*

37. *Κύτρα καινῇ ταῦτα βαλὼν καὶ ποτήριον ἐκ μέλι-*

*τος ἕψει καὶ πηχθέντα ἐκεῖθεν συναναμίξας καλῶς τὸν τούτου κατάπλασσε στόμαχον, ἀλλὰ καὶ τὸ ἧπαρ πρωΐας καὶ ἑσπέρας.*

38. *Σύγναοον τοῦτον εἰς λουτρὸν καὶ τὸν ἄκρατον μετὰ ὕδατος μιγνύων καὶ τῇ πόσει πινέτω ὁ ἄρρωστος καὶ ἀπαλλαγὴ τῆς κατεχούσης νόσου.*

39. *Τὸ δέκατον πέφυκε λευκολευκὸν θολὸν παρόμοιον ἀειδάρου τῷ οὔρῳ, νεφρὰ δ' ἐκ ψύξεως πάσχει ὁ νοσήσας. αὐτὰ γὰρ φλεγματισμοῦ ἔχει πεπλοισμένα, διὸ καὶ ἐξέλκυσον κλυστηρίῳ σὺ τὰ φλέγματα.*

40. *Προβάτου συνέψησον τὴν κάραν σύμαλον μετὰ ἅλατος μόνου καὶ κληστηάρισον, σπόρον δὲ καρδάμου πινέτω καὶ γαλαγκὰν μετὰ τοῦ κυπέρου. εὐθὺς δὲ τὸν πάσχοντα εἰς τὸ σκέλος φλεβοτόμησον.*

41. *Ὅλον τὸ ἐνδέκατον τρυγίαν ἔχων κάτωθεν ἐκ τῆς φύσκης δὲ ἦλθεν ἑνούσης οὔρημα καὶ πρὸς δυσουρίαν ἐπάγει ὁ ἀσθενῶν ἢ λίθον ἢ ἄμμον γάρ, ὁ τοιοῦτος ὑποστήσεται.*

42. *Ἀσπίη πινέτω κισσήριον ἐν τάχει καὶ ὀρύγανον, ἐλαιός τε ἅμα τριπτὰ εἰς βρῶσίν τε ἔστω ὀκτάπους, βλαστάριά τε καρπῶν, στάχος γαλαγκᾶν τε λυγόσπερμα ῥύχης τε καὶ κινάμωμον ἀδίαντον.*

43. *Τὸ γαλακτῶδες δὲ οὖρον, πύκτωμα ἔχον ἐξόλου, θάνατον μάθε σημαίνει ἐξ ἅπαντος τῷ ἀρρώστῳ, τὸ βορβορῶδες δὲ ὄξου θανάτου σημεῖον ἴσθι.*

## XV.

## * ΠΕΡΙ ΟΥΡΩΝ ΕΝ ΠΥΡΕΤΟΙΣ.

Ἐὰν ἴδῃς τὸ οὖρον ἐρυθρὸν καὶ παχὺ εἰς τὴν πρώτην ἡμέραν τοῦ νοσήματος ἢ εἰς τὴν δευτέραν μέχρι τῆς τρίτης, ὑπάρχοι νέος καὶ σῶμα ἔμπλεον ἔχων, καὶ αἱ φλέβαι τοῦ βραχίονος ὡσαύτως καὶ ἔτρωγε καὶ ἔπινεν ἀκορέστως, ὅτε εἰς τὴν ὑγίαν αὐτοῦ διῆγε, καὶ ἔχει δύναμιν, τουτέστι περιπατεῖν καὶ καθεύδειν, καὶ οὐ κατάκειται ἐν κλίνῃ βεβαρωμένος ἢ καταχθονισμένος. καὶ ἡ ὥρα τοῦ ἔτους ἔαρ, τέμνε τὴν φλέβαν αὐτοῦ ἀδεῶς. εἰ δὲ καὶ πυρετὸν συνεχῆ ἔχει, φημὶ ἄσπονδον νύκτα καὶ ἡμέραν περισσοτέρως ἡ ῥεῦσις τοῦ αἵματος αὐτοῦ γενέσθω. τροφὴ δὲ αὐτῷ ἔστω πᾶσα ψυχρὰ καὶ ὑγρὰ δίαιτα ὥσπερ χρυσολάχανα καὶ μαλάχη καὶ ἀγγούρια καὶ κυτράγγουρα καὶ ῥόας καὶ τὰ ὅμοια καὶ πιέτω ζουλάβιν ἢ σάχαρ μετὰ ψιλλίου πεπλυμένου μεχρισότου γένηται γλιῶδες καὶ γλίσχρον, ποιοῦντες οὐδὲ τὸν κανόνα τοῦτον τῆς θεραπείας καὶ παύσει ὁ πυρετὸς ἢ εἰς τὴν τετάρτην ἡμέραν ἐὰν ἱδρὼς γένηται ἢ αἱμορραγία ἐκ τῶν ῥινῶν ἢ κοιλίας ῥεῦσις. ἢ ποτοῦ ἕως τῆς ἑβδόμης ἡμέρας, λαβέτω δίαιταν ἁδρὰν ὥσπερ ὠὰ τρομητὰ καὶ ὀρνιθόπουλα μετὰ ζωμοῦ τῆς ὀμφακίου σταφυλῆς ἢ ὄξος ἢ δαμάσκηνα καὶ μετὰ ταῦτα λουθείτω. εἰ δὲ πολλάκις γένοιτο ὁ τοιοῦτος πυρετὸς ἐν θέρει, ῥίγους δὲ μὴ ὄντος ἢ ἐν φθινοπώρῳ ἢ ἐν χειμῶνι, καὶ ἔστιν ἡ δύναμις τοῦ κάμνοντος, καὶ παρακολουθοῦσι τὰ προειρημένα σημεῖα, φλεβοτόμησον καὶ μὴ τήρει καιρὸν χειμῶνος, ἢ

*ἑτέρου τινὸς καιρόν. εἰ δὲ κατίσχνον ἐστὶ τὸ σῶμα τοῦ πυρέττοντός ἐστι καὶ ὠχρὸν τῇ ὄψει ἀνάπαλιν τῶν προλεχθέντων, καὶ φράττει τὸ σωμάτιον καὶ συστέλλεται, παῦσον τοῦ φλεβοτομεῖν, καὶ ἀρκέσθητι εἰς τὸ ὀξυσάχαρ, ἢ ὀξύμελι ἢ τὸν ζυμὸν τῶν ῥοῶν. εἰ δὲ ἴδῃς καὶ τὸ οὖρον λεπτὸν καὶ πυρρόν, σημαίνει ξανθὴν χολὴν σεσημένην ἐν τῷ στομάχῳ, ἢ ἔξωθεν τοῦ ἀγγείου, τουτέστιν εἰς τὴν κοιλότητα τοῦ στήθους, καὶ ἐν ἄλλῳ τόπῳ καὶ ἐποίησε ῥῖγος τριταῖον. ἐν πρώτοις δὲ τὸν τοιοῦτον βλέπε εἰς τὴν δύναμιν καὶ εἰ ἔχει ἐναντίωσιν καὶ σκότωσιν, καὶ ἐπέχεται ἡ γαστὴρ αὐτοῦ, κένωσον μετὰ χροσοβαλάνων ἀπογιγαρτισμένων, συντεθλασμένα, ποίησον δὲ οὕτως· λάβε ἐξ αὐτῶν ἓξ καὶ δέκα οὐγγίας καὶ θὲς εἰς χύτραν καινὴν σταφίδος οὐγγίαν μίαν δαμάσκηνα ιη´ ἢ κ´ συρικά, λέγω δὴ ζίζιφα, ὁμοίως ἐὰν εὑρωθῶσιν, ὀξυφοίνικον οὐγγίαν ῥᾶνον ἐπ' αὐτῶν ὕδωρ γλυκὺ πηγημαῖον καὶ σκέπασον τὰ εἴδη καὶ τοῦτο εἰκάσμιου λίτρας καὶ ἥμισυ καὶ βράσον, ἕως οὗ καταλειφθείη ἡ ἡμίσεια λίτρα καὶ τρίψας καὶ συρώσας πιέτω ὁ ἄρρωστος μετὰ οὐγγίαν σάχαρ. εἰ δὲ καὶ ὁ κάμνων ὑπάρχει ἐπίσημος, πρόσθες τὸ μέλι τοῦ μέλανος καλάμου τοῦ ἰνδικοῦ στάθμην οὐγγίας ε´* LL *ἢ καὶ σ´ καὶ πιέτω καὶ μετὰ τὴν κένωσιν λαβέτω δίαιταν ἐκ τῶν προειρημένων λαχάνων. εἰ δὲ ἴδῃς ὅτι ἡ κοιλία ἐπέχεται καὶ ταῦτα οὐ καταδέχεται, καὶ αὐτὸς ἀσυνήθης τῶν πτώσεων τούτων, ἀλλ' ἰδιώτης καὶ ἄγροικος, ἔψησον τὸ παρθένιον μετὰ τῆς μαλάχης καὶ πινέτω, ὅταν φέρῃ ἡ κοιλία καὶ τῇ ἑξῆς γινομένης τῆς ἡμέρας, πινέτω τὸ ὀξυσάχαρ μετὰ τοῦ χυλοῦ τῆς πτισάνης ἢ ῥοδοσάχαρ καὶ ἡ τροφὴ γενέσθω λάχανα. σημείωσαι δὲ τούτου τὴν ἡμέραν τῆς περιόδου μὴ λάβῃ δίαιταν, μεχρισότου διέλθῃ τὸ ῥῖγος καὶ πληρωθῇ. γίνωσκε δὲ ὅτι ὁ τριταῖος πυρετός, ὁ ἀκριβής φημι, τὸ καθαρὸν ῥῖγος τὸ κρατοῦν δώδεκα ὥρας τουτέστιν ἡμέραν ἢ νύκτα, καὶ πλέον οὐδέν, ἀφίει τεσσαράκοντα καὶ ὀκτὼ ὥρας, αἵτινες εἰσὶ δύο ἡμέραι καὶ μήτε πρόςθεσιν δεχόμενον τὸ τοιοῦτον ῥῖγος ἢ ἔλλειψιν, οὗτος καλεῖται ὁ ἀκριβὴς ὁ φυλάττον τάξιν τῶν ὡρῶν αὐτοῦ, καθὼς ἐν τοῖς ἀφορισμοῖς ὁ Ἱπποκράτης λέγει, τριταῖος ἀκριβὴς κρίνεται*

*ἐν ἑπτὰ περιόδοις τὸ μακρότατον. φημὶ ὑπὲρ τῶν ἡμερῶν οὐ διαβαίνει, ἀλλὰ λύεται, πῶς δὲ ἐὰν μὴ συγκερασθῇ μετὰ ἑτέρου ῥίγους, ἢ ἀπὸ πλήθους ὕλης μὴ κενωθείσης ἀπὸ τοῦ στομάχου, μήτε ἀπὸ τῆς αὐτομάτου φύσεως διὰ γαστρὸς ἢ δι' ἐμέτου. ἐπειδὴ γὰρ ὁ τριταῖος κινεῖ τὸν ἔμετον εἰς τὴν δευτέραν περίοδον ἢ εἰς τὴν τρίτην ἢ εἰς τὴν τετάρτην, διότι γεννᾶται ἡ σῆψις τῆς χολῆς ἐν τῷ στομάχῳ. περίοδον δὲ λέγει, τοῦ ἐμέτου εἰς τὴν τετάρτην ἡμέραν γίγνεται, ἢ πολλάκις ἐξ αὐτῆς μέχρι τῆς τετάρτης ἡμέρας, ὅσον δὲ ἐμεῖ, λείπει ὁ πυρετὸς καὶ τὸ ῥῖγος πρὶν τῶν ιδ' ἡμερῶν, ἢ διὰ τῆς κενώσεως τῆς αὐτομάτου φύσεως, ἢ διὰ τῆς τέχνης τοῦ ἰατροῦ, εἰ δὲ παρακαλουθεῖ τὸν τοιοῦτον ἄρρωστον ἰατρὸς ἰδιώτης, μεταλλάττεται ὁ τριταῖος εἰς τεταρταῖον, μάλιστα ἐὰν καὶ συμβῇ ὁ τριταῖος εἰς τὰ τέλη τοῦ θέρους καὶ εἰς τὴν ἀρχὴν τοῦ φθινοπώρου. ἐὰν δὲ ἴδῃς τὸν ἀρρωστοῦντα τὸν τριταῖον, ὅτι φλέβας ἔχει ἐμπεπλησμένας καὶ νέος τὴν ἡλικίαν, τέμνε τὴν φλέβα τῇ ὀγδόῃ ἡμέρᾳ καὶ τῇ δεκάτῃ καὶ μὴ κενώσει αἷμα πολύ, ὥσπερ ἐκένωσας εἰς τὸν σύνοχον πυρετόν, ἀλλ' ὀλίγον διὰ τὴν σῆψιν· ἐξέρχεται γὰρ διὰ τοῦ αἵματος καὶ κουφίζεται ὁ ἄρρωστος. πότιζε δὲ αὐτὸν καθ' ἡμέραν τὸ ὀξυσάχαρ μετὰ τῆς πτισάνης καὶ ἀπόφυγε τὰ θερμὰ ἀπό τε διαίτης καὶ θεραπείας, διότι ἐὰν θρέψῃς αὐτὸν μετὰ τῆς θερμῆς διαίτης καὶ τῆς ἰατρείας, ἐξέρχεται εἰς ἴκτερον ὁ λεγόμενος χρυσιασμὸς ἀσκὸς καὶ λύρα, βλάπτεται τὸ ὅλον σῶμα, καὶ οἱ ὀφθαλμοί, καὶ τὸ κλοκίον κίτρινον, καὶ ὁ ἀφρὸς αὐτοῦ, καὶ ἐὰν ἴδῃς τὸ τοιοῦτον κλοκίον, εἰπὲ ἴκτερον ἔχει καὶ ἁρμόζει ἰατρεύεσθαι ὡς τριταῖος, πινέτω δὲ τὸν χυλὸν τῶν ἰνδίβων ἐξαφρισμένον καὶ τοῦ στρύχνου μετὰ ὀξυμέλιτος καὶ πᾶν ὄξυνον φαγέτω, ἐκτὸς τῶν ἁλμυρῶν καὶ φλεβοτόμησον, εἰ πληθωρικὸν σῶμα ἔχει ὁ κάμνων καὶ δύναμιν, καὶ ἡλικίαν καὶ δύναμιν, κενοῦται γὰρ ἡ χολή. αὕτη γὰρ ἡ οἰκονομία — — τοῦ τριταίου. ὁ δὲ ἐφήμερος πυρετὸς — — — θεραπεύεται — — οὕτως. γίνεται δὲ ἢ ἀπὸ κόπου καὶ ἡλίου ἢ ἀπὸ ἀγρυπνίας ἢ ἀπὸ τροφῆς καὶ πόσεως θερμῆς — — ἢ ἀπὸ φρενίτιδος καὶ λύπης. διὰ τί δὲ καλεῖται ἐφήμερος,*

ὅτι τὸ πρωῒ ἐὰν πυρέξῃ ὁ ἄρρωστος καὶ οὐκ ἔχει ὕλην τὸ σῶμα, ἀφίῃ τῇ ἑσπέρᾳ ἢ μέχρι τῆς τρίτης καὶ τῆς ἑβδόμης. εἰ δὲ διαβιβάσει τὴν ἑβδόμην, ἐγένετο ἕτερον εἶδος πυρετοῦ καὶ λέγουσιν, ὅτι παρήχθη ὁ τοιοῦτος πυρετὸς ὁ ἐφήμερος, ἀπὸ ἰχθύος τινός, γεννᾷ τὸ πρωΐ, καὶ ἐκ τῶν γενομένων ἰχθύων, τελευτᾷ τῇ ἑσπέρᾳ· ἐν τοῖς πνεύμασι γὰρ γίνεται ὁ ἐφήμερος καὶ λέγονται δυνάμεις εἶναι τρεῖς ὁ ἐφήμερος ἡ φυσικὴ ἥτις ἐστὶ ἐν τῷ στομάχῳ καὶ ἥπατι, ὅθεν ἀλλοιοῦται ἡ τροφὴ πᾶσα καὶ μεταβάλλεται εἰς αἷμα καὶ χολὴν ξανθὴν καὶ μέλαιναν καὶ φλέγμα κατὰ τὸ εἶδος τῆς τροφῆς, καὶ ἐὰν λάβῃ ὁ χρώμενος οἶνον αὐστηρὸν πολύ, ἢ νύπυ ἢ μέλι ἢ σκόρδα καὶ τὰ ὅμοια θερμά, ἐξάπτεται τὸ ἧπαρ καὶ διὰ τῶν ἀρτηρίων πλησιάζει τῆς καρδίας καὶ γίνεται ἐφήμερος πυρετὸς ὃν προείπομεν, ὅτι γίνεται ἀπὸ διαίτης θερμῆς καὶ ἀπὸ ἡλίου καὶ ἀπὸ κόπου, καὶ τοῦτον δὲ φλεβοτομεῖν τὸν ἀπ' οἴνου καὶ πλησμονῆς γινόμενον, εἰ ἡ δύναμις ἀπαιτεῖ — — — καὶ τὰ σημεῖα αἵματος ἔχει, ὥσπερ βάρος μετώπου καὶ κεφαλῆς πόνον καὶ ὀφθαλμῶν ἐρυθρότης καὶ χαυνότητα σώματος, καὶ ὀκνία, καὶ ἡ δίαιτα ἔστω ψυχρὰ καὶ ὑγρά. — — — — ἡ δὲ γένεσις τοῦ ἑτέρου πυρετοῦ ἀπὸ καρδίας — — — — ἀπὸ χολῆς γενομένος καὶ θυμοῦ. — — ἡ θεραπεία τοῦ τοιούτου τούτου — — — — τοῦ καταπραῦναι τὸν θυμὸν — — αὐτοῦ διὰ — — — — — — προσηνῶν λόγων καὶ πάντα τὰ πρὸς ἀρεσκείαν αὐτοῦ καὶ θεραπείαν — — — — — — — — καὶ διὰ ψυχρῶν ποτῶν καὶ τροφῶν, ἡ δὲ γένεσις — — — τοῦ ἄλλου πυρετοῦ, τοῦ ἀπὸ τοῦ ψυχικοῦ πνεύματος, ἀπὸ λύπης, ἀπὸ φροντίδος, ἀπὸ συμφορᾶς, καὶ ἀγρυπνίας — — — — τὸν τοιοῦτον ἄρρωστον δεῖ ἰατρεύειν, τὸν μὲν ἀπὸ λύπης γενόμενον, ὅσα εὐχαρῆ, ὅσα παραμυθῇ ἀπό τε ἀκοῆς καὶ μελῳδίας ταῦτα ἐρᾷ καὶ φίλων καὶ γνησίων καὶ ποθεινῶν συνομιλίαι καὶ διηγήσεις, καὶ τῶν εἰρημένων ἡ θεωρία καὶ ἡ χρῆσις καὶ οἴνου κόρος, τὸν δὲ ἀπὸ ἀγρυπνίας συμβάλλοντα γλυκέων ὑδάτων, καὶ τροφαὶ ὑγραὶ ἀπὸ πετραίων ἰχθύων καὶ χρυσολαχάνων καὶ σπαναχίων καὶ μαλάχης καὶ μαρουλλίων καὶ ἀλοιφὰς ἐν τῇ κεφαλῇ, ἔλαιον καὶ τὰ ὅμοια, τὸν δὲ ἀπὸ τοῦ ἡλίου καὶ

*καύματος γενόμενον πυρετὸν — — — — — ὀπωροφαγέτω ὡς δαμάσκηνα καὶ ἀγγούρια καὶ σταφυλὰς — — — οὐ πολὺ γλυκυτάτας, ἀλλὰ ὑδαρῶδες καὶ τὰ ἄκρα τῶν ἐρίφων, καὶ τῶν πετεινῶν, ὀψημένων μετ᾽ ὀμφακίου καὶ οἶνον συγκερασμένον καὶ ἰχθύας πηκτὰς καὶ χυλὸν πτισάνης, καὶ ὅσα ψύχουσι καὶ ὑγραίνουσι, καὶ ἀλειφέσθω ἀλείματα ἐλαίου. εἰ δ᾽ ἔστι πόνος κεφαλῆς, ῥόδινον ἔλαιον σὺν ὄξει μεμιγμένον καὶ χυλὸν ἀκοράντου ἀλείψῃ τὸ μέτωπον καὶ τὰς μήνιγγας. ἐὰν δὲ συμβῇ τεταρταῖος νεωτέρῳ τινὶ ἐν καιρῷ ἔαρος, ὑπάρχει δὲ ἔμπλεος σώματι ἀπὸ ποτοῦ καὶ τροφῆς καὶ αἱ φλέβαι ὄγκον ἔχουσιν, φλεβοτόμησον· ἐὰν δέ ἐστι ἡ δύναμις, καὶ πότιζε μετὰ ταῦτα τὸ ὀξύμελι μετὰ ψυχροῦ ὕδατος, εἰ ἔχει καὶ πυρετόν. εἰ δὲ μήγε, μετὰ θερμοῦ, καὶ παρακολουθήσονται τὸν κανόνα τοῦτον, λέγω δὴ τῶν τοιούτων ψυκτικῶν, ὑπὲρ τῶν θερμαντικῶν. τοῦτο δὲ εἰς τὸ διουρητικόν· σπέρμα σικύων καὶ μαλάθρων καὶ ἰντιβῶν, καὶ τὰς ῥίζας αὐτῶν καὶ τῶν ἀσπαράγγων ἑψημένων. καὶ τὸν ζυμὸν αὐτῶν πιέτω ὁ ἄρρωστος μετ᾽ ὀξυμέλιτος, εἰ θεῷ φίλον.*

## XVI.

## * ΘΕΟΦΡΑΣΤΟΥ ΦΙΛΟΣΟΦΟΥ ΠΕΡΙ ΤΗΣ ΘΕΙΑΣ ΤΕΧΝΗΣ

### ΔΙΑ ΣΤΙΧΩΝ ΙΑΜΒΩΝ.

---

*Οἱ τῶν σοφιστῶν ἄνδρες ὥσπερ ῥήτορες*
*Εὐδαιμονοῦντες καὶ βιοῦντες πανσόφως*
*καὶ τὴν φύσιν δὲ γνόντες πάντων κτισμάτων*
*καὶ ποιότητα στοιχείων ὡς καὶ κράσιν*
*καὶ συμπλοκὴν μαθόντες ἀλλήλων φέρειν*
*εἰς ἕν τι καινὸν εἶδος εὐπρεπέστατον*
*πάντη ξένον καὶ φαιδρὸν εὐειδὲς πέλων*
*εἰς ὠφελείας κέρδος ὄνησιν φέρον*
*τῇ συνθέσει καὶ πλεῖστον εἶναι ἐξ ἑνὸς*
*πάντας βροτοὺς σοφίστας ὡς εὐγνώμονας*
*καὶ γνώστας εὐλήπτους τε καὶ μυημένους*
*θέλοντες αὐτοὺς ὡς τελείους ἐκτελεῖν*
*πάντων σοφῶς τε τοὺς ὁρισμοὺς καὶ φύσιν*
*διακρίνειν συγκιρνᾶν ὡς καὶ συμπλέκειν*
*καὶ εὐπραγεῖν ἅπαντα καὶ μηδένα λέγειν*
*πλὴν ὧν ἔφησαν οἱ σοφοὶ διδάσκαλοι.*
*οἳ προτρέπονται πάντας ὥσπερ ἔμφρονας*
*εἰς γνῶσιν ἐλθεῖν καὶ μύησιν ὧν φασι*
*θείων λόγων οὕτως καὶ τοῖς ἔργοις πλέον*
*βοῶντες ἢ [τοῖς] λόγοις φάσκοντες τάδε.*
*ἡμεῖς μὲν ἄστρων τάξιν ὥσπερ καὶ θέσιν*
*φύσιν τε καὶ ὕψωσιν ὡς διάστασιν*
*μέτρων ὁρισμοὺς ἀκριβῶς καὶ ἀνατολὰς*

κρύψεις τε δείξεις προλέγοντες καὶ λύσεις
οὐ σφαλλόμεθα μακρὰν ὄντων τὴν θείαν
τούτων ἀφ' ἡμῶν καὶ νοὸς γνώσει μάλα
ὁρῶντες ὥσπερ εἰσὶν αἰσθήσει φρενῶν.
γινώσκομεν τἀληθὲς ὡς εἶναι ἐκεῖ
ἐν οὐρανῷ καὶ μηδὲν ἀγνοεῖν ὅλως
τελουμένων ἐκεῖσε, πάντα δ' αὖ σοφῶς
λέγειν ὁρίζειν τοῖς ἐχέφροσι βροτοῖς
ἔγνωμεν ὡς ἡ πεῖρα μαρτυρεῖ τάδε.
καὶ οὐ μόνον ταῦθ', ἀλλὰ καὶ παθημάτων
τὰς αἰτίας φαίνοντες ἐν τῷ σώματι
ἰατρικῆς τέχνης τε καὶ ἐπιστήμης
ἐμπειρίαν καὶ πρᾶξιν ἐντέχνου τέλους
ὁρίζομεν μύησιν ὥστε καὶ λέγειν
προγνωστικῶς μέλλοντα γίνεσθαι πάθη
καὶ ἔκβασιν νόσου τε καὶ ἄκος φέρειν,
καὶ μηνύειν ἔκδημον ἐκ νοσήματος
βίου τελευτὴν ὡς προγινώσκειν σαφῶς
καὶ τοὺς πόνους τῇ πείρᾳ καὶ παύειν νόσον
καὶ οὐχὶ ταῦτ' ἔγνωμεν ὡς σόφοι μόνον
καὶ τοί γε ὄντων παμμεγίστων θαυμάτων
ἀλλ' αὖθις ἀνθῶν τάς τε ποιὰς καὶ κράσεις
καὶ εἶδος ὡς καὶ γεῦσιν ἀκριβῶς λέγειν
ὀπῶν τε τῶν ἐν ξηρᾷ καὶ βλαστημάτων
φυομένων γένος πανέγγραφον λόγον
ἐθήκαμεν πρόγνωσιν ἀκριβῶν ἐπῶν
καὶ τῶν λίθων τὰς χροιὰς εἴδη καὶ τόπους
καὶ τὰς μετάλλους ἔνθα γίνονται σαφῶς
ἔγνωμεν ὠφελείας ὡς καὶ τὰς βλάβας
καὶ τῆς θαλάσσης ζῶα παντοίων γένη
καὶ [τῶν] σχημάτων μορφὰς οἴδαμεν πάσας
καὶ ὠφελείας ἐκφέρειν τούτων βροτοῖς
καὶ τὰς βλάβας φεύγειν δὲ καὶ μὴ λανθάνειν
πτηνῶν τε τὰς ποικίλας εἰδέας γενῶν
ἀλληλοφόνους καὶ ξένας τοῖς σχήμασιν
ὄντων πρὸς ὠφέλειαν ἀνθρώπων φύσιν
ἐσχηκότων ὕπαρξιν εἰς τέρψιν βίου

*οὕτως δὲ καὶ πᾶν κτῆνος ὡς καὶ ἑρπετῶν*
*εἶδος γένος τε ἐξεφήναμεν λόγοις*
*ἐπῶν ἔργον * μηδὲν εἰς ψεῦδος φέρειν*
*μήσεως ἔχουσαν, ** ἀλλ' εὖ καὶ μάλα*
*εἰρήκαμεν τὰ πάντα καὶ ἐδείξαμεν*
*βροτοῖσι καὶ εἰς κέρδος εὐεκτεῖν βίῳ.*
*Πῶς οὖν φασι πρὸς ἡμᾶς οἱ φιλόψογοι*
*καὶ μηδενὸς μύησιν οἱ ἐσχηκότες*
*σοφιστικῆς ἐννοίας ἐστερημένοι*
*ψευδεῖς σοφοὺς λέγοντες εἶναι ἀθλίως*
*πηροὶ φρεσὶ πρὸς γνῶσιν ὄντες πανσόφου*
*μαθήσεως καὶ θείας ὄντως γνώσεως;*
*λέγουσι γὰρ πῶς ἔστι τεῦξαι τὸν χρυσόν,*
*ἢ πῶς δύναται ὅστις ἐστὶν τὴν φύσιν*
*ἥνπερ θεὸς τοιῶσδε ποιήσας πάλαι*
*ὡς δημιουργὸς ἔκεισε πρὸς σύστασιν*
*τρέψαι φύσιν μὴ οὐσῶν οὕτως τῇ θέσει [ἐξόλης]*
*πρώτην ἐν ᾗ ὑπῆρχε καὶ ταύτην ὅλην*
*δέξαι χρυσὸν μένοντα καὶ τροπὴν ὅλως*
*οὐκ εἰσφέροντα ὥσπερ ἀλλοιούμενον*
*εἴδους γένους ἐν ᾧπερ ἐκτραφεὶς ἔφυ.*
*Ἀλλ' οἱ λέγοντες ταῦτα παίζουσι φρένας*
*αὐτῶν. ὅμως οὖν οὐδὲν ἀψευδές φασι,*
*ἡμεῖς δὲ τέχνης τῆσδε δείξωμεν τέλος*
*εὔχρηστον, εὔληπτόν τε μηδενὸς ξένου*
*ἄλλου τινὸς χρήζοντος, ἀλλ' ἢ τῆς μιᾶς*
*φύτλης φερούσης [τὸ] πᾶν ἐξ αὐτῆς τῇ φύσει*
*ἐκ τεσσάρων τρόπων τε τοῦ χρόνου μάθε*
*τὸ ἔργον εἰς ἄριστον ἐκπληρούμενον.*
*τροπῶν σοφιστικῆς [τῆς] τέχνης τῶν σοφῶν*
*χειμὼν γὰρ ὑγρὸς ψυχρὸς ἄρχεται κρύους*
*ἐξ οὗ νέφη εἰς ὕψος αἴρονται θέειν*
*ὕειν ὅλῃ τῇ γαίᾳ καρποὺς ἐκφύειν*
*εἰς τρεῖς δὲ πύργους ἐκτελεῖται τοῦθ' ὅλως.*
*ἔαρ μεθὸν θερμόν τε καὶ ὑγρὸν πέλον*
*εἰσέρχεται, ἐν ᾧπερ ἡ γῆ βλαστάνει*
*ἀνθῶν γένη παντοῖα καὶ πληρούμενον*

εἰς τρεῖς μόνους πύργους μὲν ἐκτελεῖ τροπήν.
μεθὸν θέρος ὂν θερμὸν ὡς ξηρὸν πάνυ
τὴν οὖσαν ἐν γῇ ὑγρὰν ἐξεοῖ φύσιν,
θερμαῖνον εἰς θάλπος δὲ τὸ ψῦχος φέρει.
οὕτως τε [τοὺς] πύργους τρεῖς ἔχον πληροῖ δρόμον.
φθινόπωρον μεθὸν δὲ θᾶττον ἔρχεται
ψυχρὸν πέλον καὶ ξηρὸν εἰς ὅπερ ῥυέν
τῶν ἀνθέων τὸ κάλλος ἄρδην φθείρεται
τρίπυργον τροπὴν ὡς ἔχον θᾶττον τρέχει,
τοῦ ἡλίου τρέχοντος ἐν ταύταις τροπαῖς
τέσσαρσιν καὶ κυκλοῦντος εἰς τοὺς δώδεκα
πύργους ἔτους τοῦ παντὸς εἰς ὑπ' οὐρανὸν
φαίνοντος. ἔκλαμπρόν τε τῆς λαμπηδόνος
τὸ φῶς πρὸς αὔξησιν δὲ τὴν θέρμην πάσῃ
τῇ γαίᾳ πέμπει, βλαστάνει λίαν θέων,
παντοῖα θερμαίνων δὲ δένδρα ἐκφύει
ἐξ οὗ σελήνη λαμβάνει φωτὸς σέλας,
ὡς πάντες οἱ φαίνοντες ἑπτὰ ἀστέρες
ὄντες πλανῆτες, καὶ ὅσοι δὲ ἀπλανεῖς.
οὕτως νόει τὸ ἔργον ὥσπερ τέσσαρας
τροπὰς φέρειν εἰς ἕν τι σῶμα στοιχεῖον
ἐκ τεσσάρων πλήρωσιν ἔργου ἐκτελεῖν
ἑπτάχρωμόν τε ὥσπερ ἑπτὰ ἀστέρων
ἔχει ἡ φύσις [καὶ] μορφὰς εἴδη καὶ γένη
δι' ὧν τελεῖται τῆς σελήνης λευκότης,
ξάνθωσις ὡσαύτως * * ἐκπληρουμένη
ἡ δευτέραν πρὸς λαμπρὰν ἔσται πορφύραν
πᾶν σῶμα λαμπρύνουσα βάπται ἡλίου
μορφὴν χρυσέκλαμπρόν τε καὶ χρυσόχροον.
τρισσουμένη γὰρ εἰς πῦρ ἡμερῶν τριῶν
ἔσται ὅλη λεύκωσις εἰς ξανθόχρωμον
βέβαιον ἐκστραφεῖσα καὶ ξανθουμένη
ξανθοῖ πᾶν ἔκλευκόν τε σῶμα καὶ τρέπει
βάπτουσα καὶ μορφοῦσα ποιέει χρυσὸν
καὶ γίνεται εἰς θαῦμα θαυμάτων τέρας.
λίθος γὰρ οὐκ ὢν γίνεται λιθούμενος
ἐκ τῆς μετάλλου, τρεῖς ἔχων ὑποστάσεις

*ὢν ἔντιμος λίθος μὲν εὔγνωστος πέλει.*
*πάντες δὲ ἀγνοοῦντες αὐτὸν πανταχοῦ*
*ζητοῦσιν ὡς οὐκ ὄντα τοῦτον εὐχερῆ.*
*τιμῆς στερηθεὶς δ' αὐτὸς εὑρετὸς πέλει*
*ἐντὸς φέρων τὸ θεῖον ὡς μυστήριον*
*κεκρυμμένον θησαυρὸν εὔληπτον πᾶσι*
*δράκοντα γεννᾷ. οὗτος ὢν ἐν ἱππείᾳ*
*κόπρῳ ἰούμενος μὲν ἑπτὰ ἡμέρας*
*εἰς πέντε ὀκτὼ οὐρὰν ἐσθίει πᾶσαν.*
*καὶ οὗτός ἐστιν οὐροβόρος ὁ δράκων*
*λευκὴν μὲν ὄψιν καὶ κατάστικτον δορὰν*
*ἔχων ξενὸν τὸ εἶδος ὡς μορφὴν φέρει.*
*οὗτος δὲ γεννᾶται [μὲν] ἐκ θερμῆς ὁμοῦ*
*ἐξ ὑγρᾶς οὐσίας τε συνενουμένων*
*ἅμα πρὶν ἐξ ἀρρένος ὡς ἐζευγμένου*
*θηλείᾳ συμπλακεὶς δὲ ταύτῃ ἐν μέσῳ*
*πόντου φέρει δράκοντα τοῦτον ὡς ἔφην*
*ἔκπυρον ἐκκαίοντα γῆν πᾶσαν πυρὶ*
*ἅπαν σθένος δεικνῦντα καὶ πανοπλίαν*
*πέλοντα εἰς τόπον τὸν ἐν ῥείθροις Νείλου*
*πλέοντα καὶ φαίνοντα τῆς δορᾶς χρόαν*
*ὥσπερ χρυσέκλαμπρόν τε καὶ χρυσᾶς πάσας*
*φέροντα τάς τε ζώνας εἰ στιγμὰς φάους.*
*τοῦτον λαβὼν δὲ σφάττε τέχνῃ πανσόφῳ*
*μέσον θαλάσσης θᾶττον ὡς ἐν διστόμῳ*
*μαχαίρᾳ θερμῇ ὑγρᾷ καὶ ἆρον χολὴν*
*ἐκ κοιλίης ἐκτμήξας ὥσπερ εἰς δύο*
*μέρη διχῇ ἕως ἂν ἐξοίσῃς ὅλης*
*οὔσης γεώδους βαρείας χοληδόχου*
*μελάνσεως τὸ εἶδος ἐξ οὗπερ νέφη*
*ἄνεισι βαστάζοντα καὶ πυκνούμενα*
*φέρουσι τὸν δράκοντα πόντου ἐκ μέσου*
*βαίνειν ἄνω εἰς ὕψος εἰς θερμὴν θέσιν*
*ἀέρος ὑγρότητι καὶ κοῦφον φέρειν*
*τὸ σχῆμα καὶ τὸ εἶδος ὥστε σωφρονεῖν*
*ῥίπτειν τε τὴν ἔκκαυσιν οὐσίας πᾶσαν*
*καὶ εἰς νᾶμα τρέπειν δὲ θεῖον τὴν φύσιν*

πότιζε τοῦτον αὖθις ὡς ὑδράργυρον ☽
εἰς χάσμα ἐκκενώσας ὡς θεῖον νᾶμα
καὶ τὴν ῥέουσαν στήσας οὐσίαν πλῦνον
μέλανσιν ἔκσμηξόν τε γαίας πανσόφως
καὶ λεύκανον σκοτασμὸν ἐγκεκρυμμένον
ἐνδοσθίοις δράκοντος ἕως ἂν φέρῃς
ἔξω τὸ κεκρυμμένον ἄρρητον τέρας.
γενήσεται γὰρ ἔκλαμπρος στίλβος πάνυ,
λευκούμενος δὲ τῇ τε λευκώσει ὅλως
ὀφθήσεται θαυμαστὸς ἔκλευκος λίαν
ὅταν ἂν μέλανσις λευκὸν εἰς εἶδος τραπῇ.
ἐκ γὰρ νέφους ἐκρεύσας ὡς ὕδωρ ῥέον
τῆς γαίας ἀρδεύσει πᾶν ὡς μέλαν σκότος,
οὕτως ἑαυτὸν αὐτὸς ἐκλύει ῥᾷον·
πιὼν δὲ νέκταρ οὗτος ἀθρόως νέκυς
ἔσται βροτοῖς τὸν πλοῦτον ἐκκενῶν ὅλον
αὐτοῦ δι' ὑπερεκτρέφονται ἐν βίῳ
οἱ γηγενεῖς εὑρόντες τοῦ μυστηρίου
τὸ θαῦμα· καὶ πήξαντες ἄργυρος τόδε
γενήσεται τὸ εἶδος ἔκλευκος πάνυ
μέταλλος ἢ ἐκ γαίας οὐδὲν ἐκφέρει
τοιοῦτον ἄσπρον φαιδρὸν ἔκλευκον πάνυ.
λαβὼν δὲ τοῦτον αὖθις ὅνπερ σοι ἔφην
δράκοντα λευκανθέντα ταύτῃ δευτέρᾳ
λευκώσεως τῇ θείᾳ λευκώσει στρέφε
σφάξας αὖθις μαχαίρᾳ θερμῇ τοῦ πυρός,
τὸ αἷμα ἔξαξον πᾶν ἔκπυρον λίαν,
ἐρυθρὸν ὡς φλὸξ φεγγίτης ἅπτων φλόγα,
βάψαι δοράν δράκοντος ἐν τῷ αἵματι
χυθέντι τοῦ σφῶν ἐκ μέσου τῆς γαστέρος
χιτῶνα λευκὸν κογχύλης εἰς πυρφύραν
βάψῃ ἀληθινήν τε λαμπρὰν εὔχροον
στίλβουσαν ἐξανθοῦσαν ὥσπερ ἥλιος
ὡραίαν εὐειδῆ τε τέρψαι καρδίαν
βροτῶν ὁρώντων τοῦ κλεάζειν πανσόφως
εὐφραντικῶς τὸ δῶρον ἀξιουμένων
τὸ θειοδώρητόν τε τοῦτο πάντιμον

*οὕτως λέγοντας καὶ κροτοῦντας τὴν χάριν.*
*Ὦ θεῖον ἔργον εὔκολον καὶ σύντομον*
*ὦ φαιδρᾶς ὄψεως τε κάλλος εὔχροον*
*ὦ ζεύξεως λαμπρᾶς τε τῆς συνουσίας*
*ὦ ἄρρενος ἡ ζεῦξις εἰς μῖξιν μίαν*
*ὦ θήλεως ἕνωσις ἄκρας συμπλοκῆς*
*ὦ μῖξις ἕν τι ἐκφέρουσα πρὸς κλέος*
*ὦ εὐκλεὲς γέννημα δόξης ἔμπλεον*
*ὦ φαιδρὸς εὐέκλαμπρος ἔντιμος γόνος*
*ὦ ἔνδυμα χρυσίζον ἀργυρένδυτον*
*ὦ διπλοῖς ἔκστιλβον ὄμμα ὡς χιὼν*
*ὦ τῆς μετάλλου τῆς βρυούσης ἄργυρον*
*ὦ τῆς θαλάσσης λευκὸν εὔποτον νᾶμα*
*ὦ τῆς λυθείσης ὡς ὕδωρ γαίας ῥᾶον*
*ὦ γαίας ἧς αἰθὴρ ἀναβαινούσης ἄνω*
*ὦ τῶν νεφῶν λεύκωσις ἐκ μελάνσεως*
*ὦ οὐρανόχρουν κάλλος ἔκλαμπον σέλας*
*ὦ φωτὸς ἐκλάμποντος εἰς ὑπ' οὐρανὸν*
*ὦ ἀστέρων σύστημα καὶ φαιδρὸς δρόμος*
*ὦ φῶς σελήνης λάμπων ὡς ἐξ ἡλίου*
*ὦ ἥλιος χρυσουργὸς αὐγαῖς ἀκτίνων·*
*ἐξ οὗ γὰρ ἄρχεται μὲν ἔργον τῶν σοφῶν*
*εἰς πρᾶξιν φέρειν ὥσπερ εὔχρηστον τέλος,*
*ἐν σοὶ δὲ φαίνει αὐτὸ τὸ ζητούμενον.*
*θαῦμα πλέω τοῦ φωτὸς ἐκλάμψεις νέμον*
*θησαυρὸς ὥσπερ παμπόθητος μαργάρων*
*πλήρης φέρων εἰς κέρδος ὄνησιν βροτοῖς.*
*τίς οὖν ὁρῶν σου τῆς τὸ σαύτης πανσόφου*
*τεχνουργίας πᾶν κόσμον ὥσπερ ὄργανον*
*κοσμούμενον τὸ ἔργον ἐκ τέχνης μιᾶς*
*πίστωσιν εἰς ἔργων ἐκφαίν[ιζ]ον κλέος*
*θαυμαστικῶς ὡς ἐκστὰς οὐκ ἂν θαυμάσῃ.*
*καὶ τὴν ἄμετρον δοξάσας θεοῦ λόγου*
*πρόνοιαν ὑμνήσῃ τε τὴν εὐσπλαγχνίαν*
*εἰς ἡμᾶς ἥνπερ πανσοφῶς ἐνδείκνυσι*
*πολυτρόπως. θέλει γὰρ ὡς εὐεργέτης*
*καὶ δεσπότης τοὺς πάντας εὐβιοῦν ὅπως*

*ταῖς πράξεσι πλουτοῦντες. εὐσεβῶς βίου*
*ἡμῶν δράμωμεν εὐπαγοῦντες τὸν δρόμον*
*στέργοντες εὐσεβείας ἔκλαμψιν φάους*
*καὶ εὐπρεπῶς λάμποντες ἔργοις ἐνθέοις*
*φιλοξενοῦντες καὶ ποθοῦντες τὸν πέλας*
*καὶ ἡμέρας καὶ νυκτὸς εὐχῶν ταῖς λιταῖς*
*τὴν αἴνεσιν πέμποντες ὡς λάτραι σοφοὶ*
*τῷ παντάνακτι παντεπόπτῃ δεσπότῃ*
*αἰτούμενοι ἱλασμὸν ἀμπλακημάτων*
*καὶ κινδύνων λύτρωσιν εὑρεῖν εἰς τέλος*
*τῶν ἄλλ' ἐπ' ἀλλήλων τε πειρασμῶν λύσιν*
*πᾶν ἔμφυλον καὶ μηδὲν εἰς πρᾶξιν τελεῖν*
*ἀλλ' ἢ θεῷ τὸν αἶνον οὕτως προσφέρειν*
*τῷ ὄντι πατρὶ ἐκφύσαντι τὸν γόνον*
*αὐτοῦ τε γεννηθέντι τῷ θείῳ λόγῳ*
*συνεκπορευτῷ ὄντι θείῳ πνεύματι*
*νῦν πάντας εἰς αἰῶνας αἰώνων· ἀμήν.*

## XVII.

## * ΙΕΡΟΘΕΟΥ ΦΙΛΟΣΟΦΟΥ ΠΕΡΙ ΤΗΣ ΑΥΤΗΣ ΘΕΙΑΣ ΚΑΙ ΙΕΡΑΣ ΤΕΧΝΗΣ. ΔΙΑ ΣΤΙΧΩΝ.

---

*Ἀπάρχομαι προσπλέξας εὐφραδέστατον*
*εἰπὼν λόγων ποίημα τοῦ ἰαμβικοῦ*
*μέτρου φυλάττων ῥυθμὸν ὡς καὶ τοὺς πόδας,*
*χώρας τομῆς σύνταξιν εὐρύθμως λέγων*
*λάβην πᾶσαν φεύγων τε τῶν φιλοψόγων*
*καὶ βασκάνων φθονηρᾶς ἐκκλίνων ψυχῆς*
*ἀνδρῶν σοφῶν ἐννοίας ἐξηγούμενος*
*γνώμης προοιμιῶδες ὡς αἰνίγματα*
*φαίνοντα λοξῶς τῶνδε κεκαλυμμένως*
*ῥηθέντα τῶν σοφῶν τὸ πρίν· ὄφρα γυμνάσω*
*τὸν νοῦν τε εἰς παιδείαν ἀρρήτων λόγων,*
*ἄνωθεν ἐλθεῖν θᾶττον ἔκλαμψιν φάους.*
*αἰτούμενος, πρὸς γνῶσιν ἀκριβῆ θέλων*
*δέξαι τὸ δῶρον τοῦδε τοῦ μυστηρίου·*
*ὅπερ θεὸς ποθοῦσι καρδίας πόθῳ*
*καὶ ἀξίως αἰτοῦσιν ἐνθέως νέμει·*
*οὕτως γὰρ ἔσται ληπτός, εὔγνωστος βροτοῖς,*
*ὁ κείμενος θησαυρὸς ἐν ταῖς πανσόφοις*
*τῶν ῥητόρων σοφῶν τε δέλτοις ἐμπόνως·*
*Χριστοῦ θεοῦ νέμοντος ἐξ ὕψους χάριν.*
*διὸ πρόσελθε θᾶττον ὅστις εἶ φίλε·*
*ἄκουσον ἠθικῶς τε καὶ σόφων ἔπη*
*αἰνιγμάτων γέμοντα καὶ φῶς γνώσεως*

εἰς ὠφέλειαν κέρδος ὀλβίου κράτους
πάντας σοφῶς ἄγοντα σωθῆναι βίου
πενείας ὡς καὶ μόχθον ἐκφυγεῖν ῥᾷον.
πρόσχες δέ σοι τί φησιν οὗτός μου λόγος
θησαυρός εἰμι πλοῦτον ἄπλετον φέρων·
ἄνοιγε τήνδε τεύχων ὥσπερ γένησις
φίλος πέλων. θεοῦ γὰρ εὑρήσεις μέγαν
ὄλβον φέριστον ἔνδον ὡς ἐγκείμενον
ἀνδρῶν μεγίστων τοῖς πόνοις ἐσκημένων
στεφηφορούντων τῷ κλέει καὶ τοῖς λόγοις
θεῖον σοφόν τε ἄνδρα τοῦτ' εκτημένον
ἀρχήν γε τὴν μύστιν τε καὶ διδάσκαλον
σφράγισμα πάντων αὖχος ὡς χριστώνυμον
ἁπλοῦντα φωτὸς ὥσπερ ἀκτῖνας λόγων
ταῖς εὐεπείαις μηδὲν ὑστερεῖν ὅλως
ἐγκειμένης ἐννοίας ἐν τούτῳ πόνοις
σελήνο ☾ ἡλίου τε ⊙ τῶν ἄμφω λέγειν
πιστούμενον τὸ ἔργον ὡς μηδὲν κόπον
ἔχοντα, μᾶλλον δ' εὔκολον καὶ σύντομον
ἄνωθεν ἐκπεμφθέντα τοῖς εὔνοῖς φίλων
ἀλλ' ὅστις πέλει ἀγχίνους ἔχων φρένας
τὴν οὐσίαν γνοὺς ἥνπερ ὁ σοφὸς λέγει
ἔχειν ἐν αὐτῇ πᾶν τὸ τοῦ μυστηρίου
τὴν γνῶσιν. εὑρηκὼς δὲ ταύτην γνώσεται
ἄνωθεν ἐκπεμφθεῖσαν αὐτὴν ἀξίοις.
οὐκ ἔστιν ἄλλη φησὶν ἀλλ' αὐτὴ μία.
ἐξῆς γὰρ εὕρῃς τὴν φύσιν ταύτην λέγω
τὴν θεοδωρητόν τε καὶ πασίγνωστον
εὔληπτον εὐχερῆ τε οὖσαν σύντομον
εὐέκβατον φέρουσαν ἐξ αὐτῆς τὸ πᾶν
γνώσῃ. μυούμενος δὲ πιστεύσεις ῥᾷον
ὡς οὐ μῦθος μᾶλλον δὲ θᾶττον εἰς πέρας
γενήσεται ἄριστον αὐτῆς εὕρεσις.
ὕλη γάρ ἐστιν εὑρετὴ πανταχοῦ τε
μηδὲν κόπον φέρουσα τοῖς εὑρηκόσιν,
ἀλλ' εὐχερῶς νέμουσα τοῦ ζητουμένου
τὴν ὠφέλειαν, εἰ μόνον Θεὸς θέλει.

ἄνευ γὰρ αὐτοῦ μηδὲν ἄρδην προσδόκα.
εἰ δ' αὐτὸς ὡς κρούοντί σοι ἀνοίξειεν
θάρσει, τάχιστα πλοῦτον εὑρήσεις, ὅτι
φέριστον ἐξ οὗ πάντας εἰς δόξαν φέρεις
παύων πενίας τὴν ὀλεθρίαν λύπην
ἀεὶ μὲν ὥσπερ θρέμμα φέρτατον πέλεις.
πρόσελθε χαίρων τοῖσδε τῶν μυσταρχίων
τῷ σκέμματι πρόσπιπτε, καὶ χαίρων θεῷ
τὸν πλοῦτον ἐκ πλούτου τε τεύξῃ, ὡς μέγαν.
εἰ δ' αὐτὸ ἀρχὴν πτωχὸς ἐννοίας πέλεις
πόρρω πορεύου μηδὲν ἐκ τούτων ἔχων,
μᾶλλον δὲ σῇ ἄλγημα καρδίῃ δέχου.
ὡς τρισυπόστατος γὰρ ἥλιος ☉ μέλλει
μίαν φέρων τελείαν εἴδους οὐσίαν.
ἓν τοῖς τρισὶ γνώρισμα μορφῆς τῆς μιᾶς
ἔχον τὸ ἄτρεπτόν τε καὶ ἀνενδεὲς
τῆς ταυτότητος μηδὲν ὡς ἀλλότριον
κεκτημένος φῶς αὐτός ἐστιν ἄσκιον
λάμπων σέλας πηγῆς τε τῆς τρισολβίου·
οὕτως νόει τὸν πλοῦτον ὅνπερ προσμένεις
ἰδεῖν θέλων τὸ κάλλος ἀστράπτον φάος.
μίας πέλων φύτλης γὰρ οὐ μερίζεται
εἰς συνθέσεις ἐννοίας ὡς ἀλλοτρίας
ὕλης ὅλως, ἀλλ' ἔστιν [ὁ] τρισσούμενος
εἰς τρεῖς ἑνούμενος δὲ οὐ φέρει φύσεις
τῆς ταυτότητος, ἀλλ' ἑνὸς περιγίνεται
τριώνυμος εἰς τριττὰς οὐσίας τριχῇ
οὐ τέμνεται. ἀλλ' αὐτὸς ἐξ αὑτοῦ φέρει
τριῶν προσώπων τὴν μίαν φύτλην ῥᾶον
ἀλλοῖον ἐξ ἄλλου τε μὴ πρώην πέλων
εὐοπτίας τὸ κάλλος ὥσπερ δείκνυσι
καὶ θαῦμα τοῖς ὁρῶσιν ἐκπέμπει μέγα
χρυσανθείης ἔκβλυσμα πηγῆς ἐκβλύσας
λευχειμονούσης ἐκ σελήνης ☾ περσίδι
λαχοῦσα τῆς ἰῶας ἡ ἀφροδίτη ♀
τοῦ ἡλίου ☉ ἐκλάμψιν αὐγῆς προσμένει.
ἑρμῆς δὲ ☿ ὡς ἀλλοῖος ἄλλως δείκνυται,

πρὸ ἡλίου ⊙ βαίνων τε οὐ φαίνει ὅλως·
καλύπτεται αὐτὸς δὲ τοῦ κρόνου ♄ μένει,
τὴν ῥύψιν ἐκπέμπει γὰρ οὗτος ὡς νᾶμα
πλύνει, καθαρτικῶς δὲ θᾶττον ἐκζέων,
πυρὸς φορὰς τῆς ἐντὸς ἄρεως ♂ λάχων
ζώνην τρίτην ἔπος ὡς ἡμιαγμένου
εἴδους φέροντος αὐγὰς ἐκλάμπει σέλας.
μεθοὺς τετάρτη ὡς γίγας ζώνη πάλιν
φαίνει ὁ ⊙ τε φῶς τούτοις νέμων
ἐξ οὗ σελήνη ☾ ὥσπερ αὖ φωτίζεται.
νύμφη κεκοσμένη γὰρ οὕτως φαίνεται,
ἐν ᾗ τὸ πανσέληνον εὑρήσεις τὸ πᾶν.
μυστήριον τῆς λαμπρᾶς αὖθις εἰκόνος
ἑωσφόρου ♀, ἐν ὥπερ ἐξανθῇ φυτόν.
τῆς περσέας πρόεισι καὶ ἀφροδίτη ♀
κοσμουμένη λάμπουσα ταῖς μορφαῖς πάσαις.
τὸν ἄρρενα πρόζευξον ἐκ Ῥώμης τόπων
ἥκοντα πορφυροῦντα νήσου ἐκ μέσης
κάλλει κεκοσμημένον οἷάπερ σέλας
ἐκστιλπνον εὐθαλῆ τε πολλοῖς ἄνθεσι
πυρρὸν ῥόδον πρόσωπον ὥσπερ πορφυρὸν
αὐγὰς νέμοντα ἡλίῳ ⊙ ἐοικότα
λαμπηδόνος πλέω τε λάμποντος σέλας
χρυσουργικὸν φέροντα τῷ κάρα στέφος·
λίθων δι' αὐγίαις γὰρ αὐτὸς στέμματι
τῆς πορφυρᾶς χλαίνης τὸ πυρὸν ἔνδυμα
κεκτημένος μέγιστος ὡς νικηφόρος.
θρόνῳ κάθηται καὶ μύρων εὐοσμίας
πέμπει πᾶσι πρὸς αὐτὸν ἐγγίζειν ῥᾶον
θέλουσι καὶ ποθοῦσιν ὄψιν τοῦ βλέπειν
τοῦ ἄρρενος φέροντος ὄλβον ὡς μέγαν
τὴν νυμφικῶς πρὸς αὐτὸν ἐκ τῆς Περσίδος
ἕωας ὡς τάχιστα ἥκουσαν ὅπως
τούτῳ συναφθῇ πρὸς γάμων κοινωνίαν·
στιλπνὸν φέρει γὰρ λευκὸν ὡς σεληναίας ☾
τὸ εἶδος ὡς νύμφη κεκαλλωπισμένη
συζεύγνηται χαίρουσα μίξει ἄρρενος

καὶ συμπλακεῖσ' ἀνδρὶ θήλεια προσμένει
ἑνουμένη. τούτῳ γὰρ οὐ χωρίζεται
ἀλλ' ἕν τι ἄμφω ἐκφέρουσιν ὡς γένος,
ἀλλ' οἷον εἴδους κάλλος. ὡς ὑπέρτατον,
φέρων πάνυ. ξένον γὰρ ἠγλαϊσμένον
μὴ εἰκονίζον πάμπαν ἢ ἐοικός τι
γεννήσασι, πλεῖον δὲ κάλλος προσνέμει.
καὶ γεννᾶται μὲν εἰς γένος ξανθὸς μέλας
μητρὸς σελήνης λευκολαμπούσης πάνυ
πατρός τε πυροῦ πυρσοφόρου πυράκους
χρυσὸν ☉ φέρων τὸ εἶδος ὡραϊσμένον
ποικιλόμορφον τὴν στολὴν κοσμούμενος·
χιτῶνα τὸν ποικίλιον ὡς κεκτημένος
χρυσάνθιον πυρφόρον ἐνδιδύσκεται
στέμμα χρυσοκόλλητον ἐκ λίθων χρόαις
ἔχων κατάστικτόν τε καὶ εἶδος μέγα
ψηφουργικῶς· στίλβει γὰρ ἔκλαμπρον σέλας·
ζωστὴρ χρυσέμπαστος δὲ δείκνυσι στέφος
τὴν ὀσφὺν ὡς πεδήσας ἀργυρένδετον
τὸ σχῆμα· καὶ τὸ κάλλος ἄλλως φαίνεται
ἀνθῶν βαφαῖς ἔκστιλπνον· ἐκπέμπει φάος
κοσμούμενον πρόσωπον ὥρας κάλλεσι
ξανθὸν μὲν [ἐστιν], ἀλλὰ πῦρ εὔχρουν φέρει,
καλύπτεται δὲ ταῖς βαφῶν ποικιλίαις
ἄνθει πάσας χροιάς τε τὰς χλοηφόρους·
ζητούμενον τὸ εἶδος ὡς σκοπεὺς λέγει
ποίαν πέλει τὴν χροιάν. ἐξ αὐτοῦ φέρει
καὶ μηνύει μέροψι τὸ ζητούμενον
λέγων, πρόσελθε θᾶττον, ὦ φιλούμενε,
πρός με βλέπων αὐτόψει τὸ ζητούμενον.
ἐγὼ γὰρ αὐτῷ μάρτυς εἰμὶ μὴ θέλων
ἄλλου τινος πρόσρησιν ἐν μυστηρίῳ
ἔχειν. ὅλως γάρ εἰμι φέρτατον κλέος
προμαρτυρῶν. ἀληθῶς ἐκφαίνω τέλος.
ὁρῶν γὰρ ἐκλάμπον τε πύρσευμα χρυσοῦ
βλύζον τέ μου γαστρὸς ἐκ μέσου ὅ[τι]περ
ζητεῖς βλέπειν τὸ εἶδος ἴσθι μὴ πέλειν

*ὅλως ἐν ἄλλῃ τῇ φύσει. μᾶλλον δέ με*
*εἶναι πᾶν ἐξ ἑνός τε τοῦ γένους φέρων*
*Ῥωμαῖος ἐκφυσάς με τέκνον Περσίδος*
*ἐκ κοιλίης ἄγει με θησαυρὸν μέγαν.*
*λαβὼν δέ με πρόσμιξον αὖ Αἰγυπτίῳ*
*τὴν συγγένειαν ὡς ἔχοντι τῶν δύο*
*θερμοῦ τε ὑγροῦ πυρβατοῦντι τῇ φλογὶ*
*σώζοντι, τῶν ἄκρων τε φύτλης τὴν κρᾶσιν*
*Αἰγυπτίων ἥκοντι ἐκ χώρας πάλαι*
*μάχῃ πῦρ ἐκμαχοῦντι καὶ νικηφόρῳ*
*εἰς πῦρ δύνοντι μηδὲν ὡς βλαπτομένῳ,*
*δι' οὗ λυθεὶς ὡς ῥεῖθρον ἐκφανθήσομαι,*
*ὕδωρ ὅλως θειῶδες, ἐκβλύζων πᾶσι·*
*διοσούμενος γὰρ εἰς πῦρ ἐκ τρίτου νᾶμα*
*γενήσομαι ἐμ' αὐτὸν ὡς λύων ὅλον*
*χρυσόβρυτόν τε λαμπρὸν ἔκστιλβον βλέπων*
*ὅλον με λεπτὸν ἰσχνόν. οὕτως εἰς τέλος*
*τυχθέντα θάρσει θᾶττον εὑρηκὼς κλέος.*
*ἰδὼν δὲ ταῦτα μύστα φαιδρῶς εἰς πέρας*
*ἄριστον εὔκοσμον ἀνθοῦντα [τὸ] στέφος*
*σοφουργικῆς τέχνης τε καὶ ἐπιστήμης*
*ἀνδρῶν σοφῶν πρόρρησιν ἐκπληρουμένην*
*μηδὲν κόπον φέροντας οἷα εὐχερῶς*
*πίστωσιν εἰσκαλοῦντας λεχθεῖσαν πάλαι*
*κεκαλυμμένως μηδὲν εἰς ψεῦδος λέγειν*
*ἐξ εὐεπίας μᾶλλον ἀξίοις χάριν*
*πεμφθεῖσαν εὐσεβοῦσιν ἔργοις ἀνδράσι,*
*χρηστοῖς τρόποις βιοῦσιν ὡς θέλει θεός.*
*ἄνωθεν ἐκ ῥοπῆς τε θείας, ὡς θέμις*
*αὐτοῖς ἔχειν τὸ κέρδος εἰς πλεῖστον φέρειν,*
*ὑμνήσας ἐκπλάγηθι θαυμαστὸν κλέος*
*ἔργον γεραίρων· θεῖα δ' αὖ μυστήρια*
*τοῦ δεσπότου Χριστοῖο λάτρευσον θεῷ,*
*ὡς ὄντι αὐτῷ αἰτίῳ τῶν κτισμάτων,*
*σωτηρίᾳ χαίροντι τῶν σφῶν εὐσεβῶν,*
*πάντων πρόνοιαν θείαν ὡς ποιουμένῳ,*
*καὶ χεῖρας ἐκτείνοντι σώζειν καὶ σκέπειν*

*λυτρουμένῳ τε θλίψεως καὶ κινδύνων.*
*αὐτὸς γάρ ἐστιν εὔδιος λιμὴν μέγας,*
*ἀρρωγὸς ἀντίληψις ὡς θεῖον κλέος,*
*καὶ κύψας εἰς γῆν προσκύνησον τὸν σοφῶς*
*τὰ πάντα ποιήσαντα ῥήματος λόγῳ·*
*μὴ ὄντα γὰρ πρίν, εἰς ὕπαρξιν ἤγαγε,*
*κοσμήσας ὡς παντουργὸς αὐτὸς φαιδρύνει,*
*νέμων ἑκάστῳ τὰ πρέποντα τῇ φύσει,*
*ὡς οἶδεν· ὁ κτίσας γὰρ οὕτως ἐξάγει·*
*κρατεῖ κυβερνῶν εὐθύνων σωτηρίας*
*τὸν πλοῦτον, ὀλβίως τε μὴ φθονῶν νέμει*
*καὶ προσκαλεῖται πάντας εἰς γνῶσιν ῥᾷον*
*ἐλθεῖν, μεγίστων κτισμάτων ὧν ἔκτισεν,*
*ὅπως ὁρῶν εἰς ἔργον ἔκβασιν λόγων*
*πληρουμένην τὸ στέμμα δείξῃ κάρα,*
*εἰς θαῦμα ἐλθὼν τοῦ γεραίρειν τὸν λόγον.*
*ὡς αἴτιον χορηγὸν ἔργων ἐνθέων*
*αἰδίου τρυφῶντες αἴγλης τὴν χάριν*
*τὴν δόξαν ἐκπέμψωμεν αἶνον καὶ σέβας*
*ἐκ χειλέων ψυχῆς τε καρδίας ποθοῦ*
*εἰς κυκλικοὺς αἰῶνας αἰώνων, ἀμήν.*

## XVIII.

## ΑΡΧΕΛΑΟΥ ΦΙΛΟΣΟΦΟΥ ΠΕΡΙ ΤΗΣ ΑΥΤΗΣ ΙΕΡΑΣ ΤΕΧΝΗΣ ΔΙΑ ΣΤΙΧΩΝ ΙΑΜΒΩΝ.

---

*Ἡ πάνσοφος καὶ θεία τέχνη τῶν σοφῶν*
*τεχνουργικῶς ἔχουσα τὴν θεωρίαν*
*σοφουργικὴν ἔντεχνον ἔνεργον φέρει*
*πρᾶξιν σοφὴν τελείαν ἔργων ἔκβασιν*
*πρᾶξιν. θεωρίας γάρ ἐστιν ἡ βάσις,*
*ὥσπερ ψυχὴ ἅπερ μένουσα σώματος,*
*ἄπρακτός ἐστι, μηδὲν αἰσθητὸν τελεῖν*
*ἐξισχύουσα πάμπαν ἤ τι ποιέειν*
*εἰς ἔργον. αὐτοῦ ἐκτὸς ὡς ἀποστᾶσα*
*ἑνοῦσα δ' αὖ εἰς αὐτὸ σὺν τῷ ὀργάνῳ*
*ἐργάζεται πᾶν ἔργον, ὡς λογίζεται*
*σοφιστικῶν ἐννοίας εἰς πλοκὰς ψόγων.*
*οὕτω νόει τὸ ἔργον ὁ ζητῶν, θέλεις*
*ἔχειν μύησιν γνώσεως ἐπιστήμην*
*καὶ πραγμάτων εἰς πέρας αὐτοῦ ἔκβασιν*
*τελουμένην πράξει τε καὶ θεωρίᾳ·*
*ὡς καὶ ψυχὴ εἰς σῶμα τῇ τε συνθέσει*
*κράσει ἑνώσει συμπλοκῇ τε τῶν δύο*
*ἓν ζῶον ἄμφω θεῖα τέχνη ἐκτελεῖν,*
*τοῦ πνεύματος συνόντος, ὡς τρίτου στίφους.*
*τὸν νοῦν προγύμνασον γὰρ εἰς θεωρίαν*
*πάσης σοφιστικῆς τε τῶν αἰνιγμάτων*
*καὶ συμπλοκῆς ἐννοίας ἀρχαίων σοφῶν,*

γνῶσίν τε πείρας πράξεως τεχνουργικῆς
ἐμπειρίαν σοφήν τε καὶ διάκρισιν
τῶν στοιχείων τὸ κράμμα καὶ τὴν σύνθεσιν
καὶ ποιότητα μανθάνειν καὶ πανσόφως
συγκιρνᾶν εἰς ἄλληλα, καὶ ὁμοῦ πλέκειν
συνδεῖν τε καὶ πρὸς ἕν τι τῆς τέχνης τέλος,
εὔχρηστον ὠφελείας εἰς κέρδος φέρειν.
ἄτε γὰρ ἀμφοῖν τοῖνδε σώματος ψυχῆς,
λέγω θεωρίας τε καὶ τῆς πράξεως,
γενήσεταί σοι οὐδὲν ὠφελουμένῳ.
εὖ δ' αὖ τεχνίτης ὥσπερ ἔμπειρος σοφὸς
πέλων προσέλθῃς τῇδε τῇ τέχνῃ, θέλων
γνῶναι λόγων μου πεῖραν ὡς τὴν ἔκβασιν,
θάρσει ἔχων ἄνωθεν ἔμπνευσιν φάους,
οὐκ ἀστοχήσεις πεῖρα τοῦ ποθουμένου,
ἀλλ' εὐχερῶς σοι ἔργον ὥσπερ προσδοκᾷς,
ἔσται φέρον σοι κέρδος ὄλβιον πάνυ,
ψυχὴν ὅτ' ἂν καὶ σῶμα κοσμήσῃς σοφῶς
ἁγνείᾳ καὶ νηστείᾳ καὶ ῥύψει φρενῶν,
τύρβας βίου φεύγων τε καὶ μένων μόνος
εὐχαῖς σχολάζων, καὶ θεῷ δὲ προσφέρων
λατρείαν ὡς δέησιν ἐξαιτούμενος
τῷ ἐν χεροῖν τὴν γνῶσιν ἐξ ὕψους χάριν
δοῦναι ὅπως γνῷς μύστα θᾶττον ἐξ ἑνὸς
εἴδους τὸ ἔργον τοῦτο ἐκπληρούμενον.
Ἄκουε τοίνυν τοῦδε μοι προοιμίου,
εἰπὼν λόγων τε [καὶ] τοῦ σοφοῦ σκέμματος
σύνταξιν ὡς εὔληπτον ἐννοιῶν ἔπος,
μηδὲν λέγειν κενόν τε ἢ πλεῖστον κόπον,
ἔχειν δὲ μᾶλλον εὔκολον καὶ σύντομον
τὸ ἔργον ὄνησίν τε τοῖς σοφοῖς φέρων·
θαυμαστικῶς οὕτως γὰρ ἄρχομαι λέγειν.
ὢ τῆς τελείας τῶν σοφῶν ἐμπειρίας
ὢ πανσόφου ἐννοίας ἀνδρῶν ῥητόρων
ὢ τῆς μιᾶς φύτλης τὸ κάλλος εὐπρεπὲς
ὢ εἶδος εὔχρουν φαιδρὸν ἔκστιλβον πάνυ
ὢ θαῦμα θαυμάτων τε τῆς τρισολβίου

ταύτης μιᾶς καὶ θείας οὐσίας τέρας·
τέρπει γὰρ ὄντως ἡ φύσις τε τὴν φύσιν
νικῶσα καὶ κρατοῦσα τὴν φύσιν πᾶσαν
ἔχουσα συγγένειαν οὐσίας, μένει
ἑνουμένη τέρπουσα θᾶττον δ' εἰσκρίνει,
εἰς σῶμα βαίνει λευκὸν ὡς ἀσώματος,
ὅμοιον ὡς φιλοῦσα σῶμα προσμένει·
ἀσωμάτως τούτῳ γὰρ ἑνοῦται πᾶσα
ὡς γνοῦσα τῆς οἰκείας ἐνοικήσεως.
κατεμβατεύει ὡς μελάθρῳ καὶ μένει
ὅλην φυλάττει οὐδόλως αὐτὴν ἐᾶ
φεύγειν. μένειν δὲ μᾶλλον ὡς κρατήσασα
τῇ εἰσδύσει. ταύτην γὰρ ἐκτρέφει φύσιν
μορφοῦσα καὶ κοσμοῦσα· καὶ εἰς πῦρ φέρει
καὶ πυρμαχεῖν. νικᾶν δὲ τοῦ πυρὸς φορὰν
ποιεῖ τάχιστα καὶ πέραν καῦσιν φλογὸς
ἐλθοῦσα εἰς εὔμορφον εἴδους ἐκστροφήν·
οὐκ εἰσκρίνει γὰρ σῶμα εἰς ἀσώματον,
εἰ μὴ γένηται ὥσπερ ἡ ἀσώματος
φύσις τραπεῖσα ἐκ φθορᾶς καὶ ἄφθορος
τυχθεῖσα, χωρισθεῖσα δ' ἐξ ὕλης πάχους·
γεῶδες ἐκβαλλοῦσα γὰρ λεπτύνεται
καὶ γίνεται νικῶσα τὴν φύσιν πᾶσαν·
ὡς ἐκστραφεῖσα ἐξ ὕλης ἄνω θέει
καὶ γίνεται ὡς πνεῦμα καὶ κρατεῖ φύσιν
καὶ εἰσκρίνει. μένει γάρ, οὐκ ἀφίσταται.
ῥᾷον δὲ τοῦτο γίνεται [τὸ] τέχνημα
ἕνωσιν ἄμφω ξηρὸν ὑγρῷ ὡς σοφός·
αὖθις δὲ θερμὸν ψυχρῷ ὡς ἐναντίων
ὄντων τε ποιότητι καὶ ἑνουμένων.
Ὁμοῦ γὰρ εἰς ἄλληλα τῇ μίξει φέρων
ὅταν τετράστοιχα ταῦτα [πως] ἐμφρόνως
ὡς ἀγχίνους σοφός τε μύστης ἐργάσῃ,
ἕνωσιν αὐτῶν πεῖρα καὶ μυούμενος
ἄνω φέρων τὴν γνῶσιν ἤτ' οὖν ἀρρένων,
κάτω φέρων τε αὖθις ὄντα θήλεων.
τὸ πῦρ γὰρ ὥσπερ κοῦφον ὂν μετάρσιον

θερμὸν πέλον καὶ ξηρὸν οὐχ ἑνούμενον
τῇ ψυχρᾷ καὶ βαρείᾳ τοῦ ῥείθρου φύσει
ὡς ὑγρᾷ οὔσῃ καὶ κάτω φέρει πάνυ.
ἀὴρ γὰρ ὡς ὑγρός τε καὶ θερμὸς πέλων
ἑνοῖ πρὸς αὐτὸν ταῦτα θᾶττον καὶ κρατεῖ.
οὕτως τε γῆ ὡς ψυχρὰ καὶ κατωφερὴς
ἄνικμος οὖσα, ξηρὰ δ' αὖ οὐ μίγνυται
θέρμῃ ἀέρος ὑγρᾷ· κουφὴ δ' οὐσία.
ὕδωρ γὰρ ψυχρόν τε καὶ ὑγρὸν φύσει
ὑπάρχον, ἔχθραν τοῖνδε παύει καὶ ἑνοῖ
καὶ προσκαλεῖται συνδεσμεῖ τε πρόσφιλα
συγκιρνᾷ ποιότητα καὶ μίσγει πρὸς ἕν.
ὕδωρ γὰρ ὡς θερμανθὲν εἰς πυρὸς φλόγα
ἀτμηθὲν αὖθις γίνεται ἀὴρ ὅλον,
ἡ γῆ τε πιληθεῖσα καὶ ζυμουμένη
δι' ὑγρᾶς οὐσίας μὲν ἐκλυθήσεται
καὶ ὡς νᾶμα πρόεισιν ἐξ ὕλης πάχους,
καὶ γίνεται ὕδωρ μὲν ὑγρὰ συμπλοκῇ
ἐκ ποιότητος τῆσδε. ἔσται γὰρ νᾶμα·
οὕτως τὸ πῦρ δὲ σβεσθὲν ἐκχωρισμένον
ἄνω τὸ θερμὸν καὶ γεῶδες γίνεται
κατωφερές· γῆ ὡς ἐξομοιούμενον,
ἀὴρ ὅλως δὲ θερμὸς ἐκκαύσει φλογὸς
ὀφθεὶς πῦρ ἔσται τῇ πυρώσει καὶ ζέσει.
οὐ γὰρ θέμις τὸ ὑγρὸν εἰς ξηρὸν τέρπειν
ἢ ξηρὸν εἰς τὸ ὑγρὸν ἐκτρέφειν πάλιν,
εἰ μὴ φύσεις τούτων γὰρ ἐκτρέψῃς πάσας,
αἱ τρεῖς δὲ οὕτως ὑγρᾶς οὐσίας ῥύσιν
εἰς ξηρότητα τρέψας ὑγρὸν ἐξεοῖς
ξηροῦ ἑνώσει καὶ μάχῃ καὶ συμπλοκῇ,
οὕτως ῥέειν τὸ ξηρὸν αὖθις ἐργάσῃ,
ὕδωρ τε βλύζειν θεῖον ἀρρήτως ἅπαν
δείξεις. γενήσεται γὰρ ὑγροῦ συμπλοκῇ,
τὸ ξηρὸν ὥσπερ ῥεῖθρον εἰς ὑγρὸν τραπέν.
φύσις κατωφερὴς γὰρ οὐ δυνήσεται
ἀνωφερὴς ἐλαφρὰ καὶ μετάρσιος
ὅλως γενέσθαι πρῶτον. εἰ μὴ ἐκστραφῇ.

*λεπτύνεται γάρ, γίνεται δ' αὖ ἐν πυρὶ*
*ὡς πνεῦμα ἑνωθεῖσα τῷ ἀνωφερεῖ*
*καὶ πνεῦμα ὥσπερ σωματούμενον*
*κρατούμενόν τε ψηλαφούμενον χεροῖν*
*οὐκ ἰσχύει ποιεῖν τις. εἰ μὴ πρότερον*
*τὸ σῶμα ἐκλεπτυνθὲν ὥσπερ πνεύματος*
*λεπτὴ φύσις. καὶ δειχθὲν ἰσχνὸν μὴ ἔχον*
*ὕλης ὅλως τι λῆμμα, μᾶλλον δ' ὡς φανὲν*
*ὅμοιον ὧδε τοῦ ἐν ᾧ πάλιν τοι γάρ,*
*οὕτως γὰρ ἡ μὴ οὖσα σῶμα γίνεται*
*ἐκτὸς κόπου μόρφωσις ἔνσωμος θέσει*
*μορφουμένη τάχιστα καὶ προσλαμβάνει*
*τοῦ σώματος τοῦθ' κάλλους ὁρᾷς εἰκόνος,*
*φαίνει ἐν αὐτῇ λαμπρὰν ὡς ἀλουργίδα*
*ἄνακτος εὔχρουν φαιδρὰν ἔκστιλβον λίαν*
*ἔχουσα συγγένειαν, ὡς ἀσώματος*
*πρὸς τὴν ἀσώματόν τε καὶ μετάρσιον*
*ταύτην μίαν γάλακτος εἰκονίζεται.*
*ὡς ἀστραπημόρφῳ γὰρ εἴδει καὶ γένει*
*λευκῆς σελήνης, τὴν δὲ καὶ ἀσπάζεται*
*κρατουμένη τε καὶ φιλουμένη πάλιν.*
*κρατεῖ φιλεῖ τέρπουσα καὶ τερπομένη*
*ἀλλήλας αἱ φύσεις δὲ οἷα περ φίλαι*
*κρατοῦσι καὶ μορφοῦσι τῶν σφῶν εἰσκρίσει*
*τοῦ σώματος· ψυχὴ γὰρ ἐκχωρίζεται*
*τέχνῃ μόνῃ ὡς οἶδεν ὄντως πανσόφως*
*ἀὴρ τὰ θεῖα ὥσπερ ἐξησκημένος.*
*ταύτην λαβὼν φύλαττε σώματος δίχα*
*ῥύψας μέλανσιν ἔνδον ὡς κεκρυμμένην.*
*αὕτη καλύψει κάλλος ἔκλαμπρον σκότει*
*ῥείθροις κάθαρε ὡς χιόνα δ' αὖ ψυχήν,*
*τόν τε ζόφον καὶ ἀχλὺν ἔκπλυνον πάλιν*
*εἰς φῶς φέρων. ἄγεις γὰρ εἰς εὐοπτίαν*
*ἀμήχανου αἴγλης τε δόξης φωσφόρου,*
*τὴν ἐμφωλεύουσαν γὰρ ὅλως λάβῃς*
*ἔνδον φύσιν κάλυμμα σώματος πάχος*
*ἔχουσαν ὡς τείχισμα μέλανσιν σκότους,*

*καὶ τῆς δὲ ἄρδην ἀχλὺν ὡς σοφὸς λύσεις*
*τεχνουργικῶς λείων τε καὶ πλύνων πάλιν,*
*μὴ ἀσχολούμενος δὲ τοῖς πολλοῖς κόποις,*
*ἀλλ' εὐφυῶς κάθαρσιν οἰκείως φέρων,*
*ποιῶν, κυβερνῶν μὲν εἰς θεῖον νᾶμα*
*καὶ εἰς πῦρ εἰσάγων δὲ τῷ ἰωμένῳ*
*καίοντι δ' αὖ ῥύπτοντι καὶ ὡς ἄργυρον*
*δεικνῦντι καὶ πλύνοντι τοῦ σκότους μέλαν*
*ὄψει τάχιστα, ἣν ποθεῖς ἰδεῖν, θέαν,*
*καὶ εἰς θάλασσαν βάψας ἐν ῥείθροις πλέειν*
*δείξεις κάτω τὴν οὖσαν οὐσίαν πάλαι*
*ὠκεανόχρουν αὖθις ἐκστίλβων, πλύνων.*
*ἕως ἂν ἴδῃς γαῖαν οἷάπερ νᾶμα*
*λυθεῖσαν εἰς νέφος τε βαίνουσαν ῥᾶον*
*ὑψουμένην θέουσαν ἐν ῥείθροις ὅλην,*
*μὴ δεικνύουσαν τῆς ὕλης τε παντελῶς,*
*ἀλλ' εἰ μόνον τὴν φαιδρὰν εἰκόνος θέαν*
*τὴν πολύμορφον λευκότητα, ἣν ποθεῖς*
*κατοπτρίσασθαι καὶ θεάσασθαι ὅλην*
*κατεμβατεύουσαν μὲν εἰς ὕδωρ ῥέον*
*ὥσπερ χρυσέκλαμπρόν τε καὶ χρυσήλατον*
*νύμφην χρυσαυγὲς τὸ πρόσωπον δείκνυσι*
*καὶ νήχεται στίλβουσα καὶ καλύπτεται*
*ἐν τοῖς Νείλου γλυκέσιν, οἷα δὴ μέλη*
*ῥείθροις νικῶσα ἡλίου δὲ φῶς πᾶν*
*φαίνει ἄνωθεν, μηδόλως κρυπτομένη*
*ἔσωθεν ὡς ἔξωθεν ἐκλάμπει σέλας*
*καὶ τῶν βλεπόντων τὰς κόρας ἀμβλυωπεῖν*
*ποιεῖ. πόθῳ δὲ προσκαλεῖται πρὸς θέαν*
*βαβαὶ λέγουσα τῆς ἀσωματουμένης*
*καὶ προσμενούσης αὖθις οἷον πνεύματος*
*τὸ σχῆμα τὸ εἶδος ὡς μορφουμένης*
*καὶ μὴ ἐώσης πάμπαν ἀχλύος σκότος*
*φαίνειν ἐν αὐτῇ μᾶλλον δ' ἐνδύει σέλας*
*εἰς φωτὸς αἴγλην λευκότητος ἐκτρέπει.*
*ἰδοῦσα κείμενον δὲ ταύτης ὄργανον*
*ἄφωνον ἄψυχόν τε μὴ κινούμενον*

ὡς προσδοκοῦν δὲ τοῦ τάφου ἀνάστασιν,
πολλῶν τιμωριῶν τε προσβολῆς μάχην
πρόσεισι τοῦθ' χαίρουσα φαιδρῷ βλέμματι
καὶ λαμπρῷ φωνῇ προσκαλεῖται κείμενον
τὸ σῶμα, οὕτω φησὶν ἔργοις οὐ λόγοις·
ἔξελθε βαῖνον ἐκ σκότους ὡς ἐξ ᾅδου,
ἑκὰς βάλε σκότωσιν ἐκ σοῦ ἀχλύος,
ῥῖψον φθορᾶς χιτῶνα καὶ πάλιν ἔνδυμα
πρώην ὅπερ σε εἶχεν ὡς κατάκριτον,
δι' οὗ πυρώσεις πλείστας ὡς παχὺς φέρων
ἔστεξας ὄφρα λεπτὸς ἐκφανθῇς ὅλως,
ὡς πνεῦμα ἐκτραπῇς δὲ καὶ ζέσῃς πάλαι
σὺν τῇ ψυχῇ πάροιθεν ἐκ σοῦ ἐκστάσῃ
καὶ αὖθις ἐν σοὶ θᾶττον εἰς οἰκουμένῃ
εἰσδέξαι πνεῦμα καὶ τρίτον ὥσπερ στέφος.
νεκρὸς γὰρ ᾖσθα τὸ πρὶν εἰς φθορὰν πέλων
τάφῳ κατῴκησας τε νεκρὸς ἄψυχος
ἄμορφος ἄπνους μηδ' ὅλως κάλλος φέρων,
νικώμενος παλαίστρᾳ καὶ φεύγων πάλην,
ἡττώμενος μάχῃ τε συμπλοκῆς ὅλης
τὴν ἧτταν ὥσπερ φεύγων ἐκφαίνων πᾶσι.
κρατούμενος γὰρ ἔνδον οὐκ ἀεὶ μένεις,
φεύγεις βελῶν δὲ προσβολὴν ἔξω πλέον,
νήχεις ὕπερθεν ὑγρᾶς οὐσίης ὅλως,
οὐκ ἵσταται πρὸς θῆλυ σοι ἑνούμενον.
μίξει γάρ, ὡς γέγηθας, οὕτως οὐ μένεις
μάχης πάλῃ θηλείας, ἀλλὰ φθείρῃ τε
ὡς χνοῦς ὑπ' αὐτῆς κειμένης, ὥσπερ μέλας
καλύπτεται σου κάλλος ἔκλαμπρον τάφῳ
ταῖς κειρίαις δὲ νεκρὸς ἄπνους ἄψυχος
ἡλίσσῃ μὲν πρόσωπον ἐκφαίνων μόνον
γυμνὸς ἐρριμμένος δὲ τοῖς ὁρῶσί σε
ἄφωνος οὕτως φαίνῃ τε ζῆν προσδοκῶν,
ἔργοις λέγων ποῦ ἐστιν ἡ ζῶσα ψυχή.
ἐμοῦ ἀποστᾶσα πρὶν ἔξελθε ζῶσα
σῇ εἰσκρίσει με δεῖξον ἔκστιλβον πάλιν
τὴν εἰκόνα χρανθεῖσαν ἐν ζόφῳ σκότους,

*ἐμὴν πλύνασα σμῆξον ἀφράστως πλέον*
*ὅπως γένωμαι φαιδρὸν οἰκητήριον*
*σοῦ, ὦ ψυχὴ ἔκλαμπρον ἠγλαϊσμένον,*
*μηδὲν ῥύπου σκότωσιν ἢ μελάνσεως*
*ἀχλὺν φέρον, μᾶλλον δὲ ὥσπερ φῶς μέγα*
*τὰς ἀκτῖνας καὶ εἶδος ἄσκιον χέον*
*νικητικὸν τὸ στέμμα συγκομίσομαι,*
*πάλιν νικήσας τὸν μαχήσαντα συμπλοκὴ*
*τρέψας τε δείξω οἶκον ἔκλαμπρον μένειν*
*εἰς αὐτὸν ὡς οἰκεῖον ἀμφοῖν ἄξιον*
*τοῦ πνεύματός τε καὶ καθαρτικῆς ψυχῆς.*
*Οὕτως γὰρ οἱ τρεῖς προσπλακέντες εἰς μίαν*
*ἕνωσιν πόθου ἀρραγοῦς στερεμνίου*
*φίλτρου τε οἰκήσουσιν ἐν μίξει μιᾷ*
*σῶμα, ψυχὴ καὶ πνεῦμα μὴ νικώμενα*
*τῇ εἰσκρίσει, μᾶλλον δὲ κοσμοῦνται πλέον*
*φάει τε πυρμαχοῦντα. πῦρ βλάπτειν ὄντα*
*βάψαι θελοῦσι πάμπαν, οὐ δεδοίκασιν*
*ὡς τρίπλοκον τείχισμα καὶ στερέμνιον*
*ἄλληλα συνδένοντα τέσσαρσι στίχοις*
*τῶν στοιχείων τῇ ἀκραποιᾷ συνθέσει,*
*τῇ εἰσκρίσει μένοντα καὶ τὰ σώματα*
*βάπτοντα καὶ μορφοῦντα παντοίαν χρόαν.*
*τὸ ἐκ πυρὸς γὰρ στοιχεῖον εἰσέρχεται*
*εἰς πῦρ νικοῦν ἔκκαυσιν ὡς καὶ τὴν φλόγα*
*οὕτως τε μορφοῖ λαμπρύνει τὸ στοιχεῖον.*
*αὖθις τὸ ἐκ γῆς ὑγρᾶς οὐσίας πέλον*
*πᾶσαν φύσιν τυχθεῖσαν αὖ ἐνέκταρος*
*τὸ στοιχεῖαν γαίας δὲ βάπτει σῶμα πᾶν*
*γεννηθὲν ἐκ τῆς ξηρᾶς καὶ λαμπρύνει*
*τὸ θερμὸν ὑγρὸν στοιχεῖον δ' αὖ, ὡς ἀὴρ*
*εἰσέρχεται τάχιστα καὶ εἰς σώματα*
*βάπτον φυλάττον κάλλος ὥρας σώματος.*
*οὕτως γὰρ ὦ ἄνθρωπε ταῦτα σκευάσας*
*ἔσῃ τέλειος ἀγχίνους λίαν σοφὸς*
*ἀνὴρ φέρων ἐνεργῶν εἰς πρᾶξιν λόγον*
*μηδὲν κενὸν φρονῶν τε τῶν δέ μου ἐπῶν,*

μηδ' αὖ φρένας σοῦ ἐκτρέπων, ἐξ ὧν ἔφην
σοφῶν μεγίστων ὥσπερ εἰς ἃ μὴ θέμις
ἀπασχολούμενος σὺ πολλὺν εἰς κόπον
ἄκερον ὄλβον σοι δὲ μηδὲν φέρων,
μᾶλλον δέ σοι ἀκερδὲς ἔργον γίνεται.
πείσθητί μοι λέγοντι καὶ ζήτει ῥοπῆς
ἄνωθεν ἐμπνευσθεῖσαν ἐλθεῖν σοι χάριν,
μηδὲν φρονῶν γεῶδες ἢ βίον ποθῶν
τὸ φθαρτὸν ὡς οὐδὲν ἔσαι καὶ σκιὰ
παρέρχεται. ὅλως γὰρ οὗτος τῶν βροτῶν
ἡ δόξα καὶ ὁ πλοῦτος ἄρδην ὄλλυται.
μένει δὲ πίστις ἐλπὶς ὥσπερ καὶ πόθος
θεῖος δι' ἔργων φωτὸς ἐκτελούμενος.
ἐγὼ γὰρ οὐκ ἔκρυψα τοῦ ζητουμένου
τὴν γνῶσιν, ἀλλ' ἔδειξά σοι τὴν σύντομον
καὶ πάνσοφον τέχνης τε τὴν ἐμπειρίαν
καὶ πρᾶξιν ὡς εὔληπτον οὖσαν εὔκολον
μύησιν εὐσύνοπτον ἐγκρίτων σοφῶν
ἀνδρῶν τελείων γυμνασάντων τοῖς πόνοις,
τῶν ἐνθέων ἔργων γὰρ ἐσθλῶν πράξεων
τὸν νοῦν τε καὶ λογισμὸν εἰς θεωρίαν
ὁρᾶν σοφιστικῆς τε καὶ τῆς πρακτικῆς
τῶν ῥητόρων ῥηθεῖσαν ἰσχνῶς τοῦ νοός
θεωρίαις τὴν πρᾶξιν ἀψευδῆ ὅλως
φέρουσαν εἰς δήλωσιν ἔργων σοφῶν.
καὶ εἰ μὲν ἀγχίνους τε καὶ λίαν σοφὸς
καὶ ἐξεταστὴς, ὧν ἔφην λόγων, γένῃ
τῶν κειμένων πάντων μὲν ἐν βίβλοις σοφῶν
ἔσῃ τὸ κέρδος πρὸς πυρισμὸν εὑρηκὼς
εἰς ἀμπλακημάτων δὲ λύτρωσιν φέρων
καὶ τῆς ἀλήκτου χαρμονῆς κληρουχίαν.
νέκρωσον οὖν τὸ σῶμα δουλεύων θεῷ,
ψυχὴν πτέρωσον ἐμπόνως πρὸς ἔνθεον
θεωρίαν, ὡς μηδὲν, ἐξ ὧν οὐ θέμις,
πράττειν θελήσεις, ἢ λογίζεσθαι ὅλως.
ψυχῆς γὰρ ἰσχύς ἐστιν ἀνδρία φρενῶν
σώφρων λογισμὸς καὶ φρόνησις τοῦ νοός

*παθῶν τε πάντων ῥύψις ὡς καὶ ἡδονῶν*
*τοῦ σώματος τὸ αἶσχος ἐκπλύνων ῥοαῖς*
*ἐξ ὀμμάτων σου δακρύων καὶ καρδίας*
*ἄλγους πόνου τε τὸν στεναγμὸν προσφέρων*
*φλογὸς γεέννης καὶ λογίζου τὴν κρίσιν.*
*οὕτως βιῶν γὰρ ἀξιωθήσῃ βλέπειν*
*τὸ φῶς τὸ ἄσκιόν τε καὶ ἀΐδιον,*
*ὕμνοισι δόξαν προσφέρων ἐκ χειλέων*
*σὺν ἀγγέλοις τὸν αἶνον ὑψίστῳ θεῷ*
*ὑψιμέδοντι παντάνακτι ἐμφρόνως*
*τῷ πατρὶ σὺν λόγῳ τε θείῳ πνεύματι*
*εἰς ἀπείρωνας, καὶ κύκλους αἰωνίους*
*ἀϊδίους αἰῶνας αἰώνων. ἀμήν.*

# XIX.

*[Τῷ παρακοιμωμένῳ τῷ Ἀποκαύχῳ τῷ καὶ ὕστερον χρηματίσαντι μεγάλῳ δουκί.]*

---

## * ΤΟΥ ΣΟΦΩΤΑΤΟΥ ΑΚΤΟΥΑΡΙΟΥ ΚΥΡΙΟΥ ἸΩΑΝΝΟΥ ΠΕΡΙ ΔΙΑΓΝΩΣΕΩΣ ΠΑΘΩΝ ΛΟΓΟΣ Α.

---

### Α.

*Ἐπειδή σοι εἰς τὴν ὑπὲρ τοῦ γένους ἡμῶν στελλομένῳ πρεσβείαν ἐπὶ τοὺς ὑπερβορείους Σκύθας, οὕτω δὴ τοῦ παντ' ἀρίστου καὶ θείου καὶ σοφοῦ ἡμῶν αὐτοκράτορος κρίναντος, μηδὲ τῆς ἀφ' ἡμῶν σοι δεῖν ἐδόκει ἐπικουρίας λείπεσθαι, ἀλλά τι καὶ τῆς ἡμετέρας σοι συναφικέσθαι τέχνης, ὡς ἂν εἴ τι τῶν ἐκ τοῦ πεφυκότος συναντώη ἀνιαρὸν εἰς ὑγίειαν, ἔχῃς παραμυθεῖσθαι, προσέχων τοῖς τῆς βραχυσυλλάβου ταυτησὶ δέλτου γράμμασιν, ἔργον μὲν ἐδόκει μοι ῥᾳδίως οὕτω καὶ ἐπὶ βραχέσι ῥήμασιν αὐτὴν δὴ τὴν μεγίστην καὶ ἀρίστην ὑποσχεδιάζειν σοι τέχνην, ὡς εἴ τις καὶ τὸν τῶν ἀνθρώπων πάντων βίον τε καὶ δίαιταν, ἐπὶ βραχέσι νομιδῇ ταῖς λέξεσι, τοῖς ἀγνοοῦσι ὑφηγεῖσθαι πειρῷτο· ὥστε καὶ ἀφεκτέον ἐδόκει μοι μᾶλλον δεῖν λόγων τοιούτων, καὶ μὴ καθυβρίζειν τὴν τέχνην, τῷ οὕτω βραχέσι γράμμασιν ἀποπειρᾶσθαι ταύτην συγκλείειν. ταῦτά τοι ὡς οἶσθα καὶ σύ, φίλων ἄριστε, ἀνεβαλλόμην πολλάκις ἀξιωθεὶς τὸν λόγον, καὶ ἀπεσχόμην δ' ἂν τελέως, εἰ μή τις λόγος παλαιῶν ἀνδρῶν καὶ καλῶς ἔχων ἐπῆλθε*

*πείθων με, ὡς ἀνάγκη φιλίᾳ εἴκειν, κἂν δέῃ συγκατιέναι τὴν τέχνην ἐπὶ ταῖς ἀξιώσεσι, μηδ' αὐτοῦ τούτου φείδεσθαι, καὶ μάλιστα ὁπόταν ἐνορῴη τις ἐντεῦθεν ἔσεσθαί τινα ταῖς ἀξιώσεσι λυσιτέλειαν, ἀμέλει καὶ ἔδοξέ μοι τουτὶ τὸ βιβλίον συντάξασθαι καὶ ὡς ἐν ὑποθήκης τρόπῳ ἐκδοῦναί σοι, ἵν' εἰ μὲν ὃ δή μοι εἴη συνεύξασθαί σοι μετὰ τῆς αὐτῆς ἡμῖν ἐπανήξειν ὑγείας, μηδενός σοι τῶν ἀνιαρῶν συναντήσαντος, μόνον εἴη τουτὶ τὸ γράμμα ἀκριβοῦς φιλίας ὑπόμνημα· εἰ δέ τι καὶ τῶν οἷα εἰκὸς συμβαίνειν γένηται, ἔχοις ἐπαμύνειν ταῖς ἀφ' ἡμῶν ὑποθήκαις. ἀλλὰ τί ἄν τις καὶ φαίη πρὸς οὕτω πολυσχιδές τε καὶ ποικίλον πρᾶγμα. δέος γὰρ οὐχὶ σμικρὸν ἔπεισι, μήπως ὑφηγήσασθαί σοι ᾑρημένος τὰ δέοντα, μᾶλλον ἐπαπορεῖν σε ποιήσω, τὰ μὲν ἐῶν ὧν θέμις εἰπεῖν, ὑποτεμνομένης ταῦτα τῆς βιαζομένης βραχυλογίας, τὰ δ' ἀσαφῶς καὶ οὐκ ἀριδήλως ἐγγράφων, τῆς αὐτῆς δὴ ταύτης αἰτίας ἐμποδὼν ἱσταμένης. ταῦτά τοι καὶ ἀφεκτέον αὖθις ἐδόκει μοι λόγων τοιούτων, καὶ ἄμεινον σιωπᾶν, κἂν ἐπεπαύμην τελέως, εἰ μή τις ἄρα ἐπεισιοῦσα ἔννοια, γράφειν καὶ μὴ ἐνδοιάζειν περὶ τοὺς λόγους αὖθις προυτρέψατο. καὶ γὰρ ἐπειδή σοι πολλάκις ὡμιληκότα οὐκ ἀκόμψως ἐδόκει μοι περὶ τὰ τῆς τέχνης θεωρήματα ἐπιβάλλειν, οἶσθα δὲ καὶ ὡς πολλάκις τὰ τῆς τέχνης προυτρεψάμην μυηθῆναι ὄργια, οὕτως εὐφυῶς ἔχοντά σε περὶ ταύτην καταμαθών, οὐκ ἐπιλέλησαι δὲ πάντως, καὶ ὧν πολλάκις περὶ τὴν τέχνην καλῶν εἰς λόγους κατέστημεν, αὐτὰ δὴ ταῦτα κατὰ καιρὸν εἰς νοῦν μοι ἐπιόντα, μὴ ἀσχάλειν μηδ' ἀδημονεῖν πεποίηκεν, εἴ τι μὴ κατ' ἀξίαν ὧν ἂν εἴη θέμις ῥηθῆναι δοκεῖ. ἔχειν γάρ σε καλῶς ὑπετόπασα προαποκειμένας τῆς τέχνης ὑποθήκας ἐν νῷ, καὶ οὐχὶ βραχείας τινὰς ἀπὸ ταύτης ἀρχὰς ἐπὶ τὸ συνιέναι τῶν λεγομένων τὸν νοῦν, ὥστε καὶ τοῦ τοιούτου διαλυθέντος ἀπόρου, εἴη ἂν προσῆκον, ἐντεῦθέν ποθεν τῆς ὑποθέσεως σὺν θεῷ ἅψασθαι.*

### α'. Περὶ τοῦ ποῖα χρὴ προεπίστασθαι τὸν ἰατρόν.

*Ἐπεὶ τῷ βουλομένῳ διαγινώσκειν εἴδη νοσημάτων, ὅσα τε εἰς κακοήθειαν καὶ θάνατον ἄγει, καὶ ὅσα εἰς ὑγίειαν*

ἀποτελευτῶσι, χρεὼν ἐστιν ἐπιγινώσκειν, τίνα μὲν ἐστιν ὑγιεινὰ σημεῖα, τίνα δὲ καὶ μὴ, καὶ ποία ἡ κατὰ φύσιν τοῦ ζῴου δύναμις, καὶ ὁποῖα σημεῖα πέψεων. τούτων γὰρ ὡς θέμις διαγιγνωσκομένων, ἐξεσται καὶ συμβουλεύειν καὶ πράττειν καλῶς τῷ περὶ ταῦτα ἐσπουδακότι. προσῆκον ἂν οὖν εἴη φάναι περὶ ἑκάστου τούτων· ἐπειθ' οὕτως ἄττ' ἂν εἴη θέμις ἐπιφέρειν ἑκάστῳ τῶν διαγνωσθέντων παθῶν, φάρμακά τε καὶ ἐπιθέματα, καὶ αἷς τισι τροφαῖς κεχρῆσθαι δέον. οὕτω γὰρ προβάντος τοῦ λόγου, τέλος ἂν τῆς κατ' αὐτὴν ὑποθέσεως ἂν ἡ ὑπόθεσις σχοίη. τῷ τοίνυν ἀκριβῶς διαγινώσκειν ἐθέλοντι, ἐπὶ πᾶσι τοῖς ἀνθρωπίνοις σώμασι προσήκει ἐπίστασθαι τὰς κατὰ φύσιν αὐτῶν ἐνεργείας, ὑγιῶς ἔχουσιν. ἐντεῦθεν γὰρ συνορῶντι ἐξεσται τὰς ἐκ τοῦ κατὰ φύσιν ἐκτροπὰς αὐτῶν, καθ' ὅσον λείπονται τοῦ ὑγιοῦς, ἐξευρίσκειν. ἐπεὶ δὲ τὰς ἑκάστου λέγειν ἀμήχανον, χρεὼν ἂν εἴη ἡμῖν προστησαμένοις τινά, ὥσπερ ἐπὶ κανόνι τούτῳ βλέπειν, καὶ τὰς τῶν λοιπῶν κρίνειν τε καὶ κατευθύνειν ὧδε ὑγείας. καὶ ὁ μὲν κανὼν τῆς ὑγείας ἐν ταῖς κατὰ φύσιν ἡμῶν ἐνεργείαις ἐμφαίνεται, αἱ δὲ ἐνέργειαι διά τε τὴν διάφορον δύναμιν διά τε τὴν ποιὰν θέσιν καὶ φάσιν τῶν ὁμοιομερῶν καὶ ὀργανικῶν μορίων, ὁποῖαι δή τινες φαίνονται. συχνὸν δὲ ἄρα τὸ τῆς ὑγείας πλάτος ταῖς κατὰ μέρος ἐξεταζόμενον καταστάσεσιν. οὐκ ὀλίγων δὲ οὐσῶν καὶ τῶν κατὰ μέρος κράσεων, μία τις ἡ ἀρίστη καὶ σύμμετρος εἶναι νομίζεται. οὐκοῦν περὶ τῶν κατὰ μέρος πρότερον ἐκτεθεικότες κράσεων, εἶθ' οὕτως περὶ τῶν κατὰ φύσιν τε καὶ μὴ ἐνεργειῶν, ἐροῦμεν.

*β΄. Περὶ διαφοροῖς κράσεων τῶν καθόλου καὶ κατὰ μέρος σωμάτων.*

Ἐπὶ τοίνυν τὰ μὲν πρώτως τε καὶ ἄκρως λέγεται θερμὰ τυγχάνειν ἢ ψυχρὰ καὶ ξηρὰ καὶ ὑγρά, ὡς τὴν καθ' ἣν φαίνεται ταῦτα ποιότητα, τὴν ἄκραν εἰληχότα ἀπόστασιν, τὰ δὲ δευτέρως καὶ ὑφειμένως, καὶ μετοχῇ τῶν πρώτων καὶ ἁπλῶν σωμάτων, στοιχεῖα μὲν τὰ πρῶτα καὶ τῶν μετ' αὐτὰ ἀρχαὶ καλοῖντ' ἂν εἰκότως. ὧν οὐ πάνυ τοι προσήκων ὅδε ὁ λόγος. ἐπεὶ δὲ περὶ τῶν πρώτων στοιχείων ἡ ὑπόθεσις γίνεται, σύνθετα δὲ σώματα τὰ μετ'

αὐτά, ἔμψυχά τε καὶ ἄψυχα πεφυκότα, ἢ κατ' ἀμφοτέρας ποιότητας ἐπιτέταται, ἢ κατὰ τὰς αὐτὰς αὖθις τοῦ ἐπιτετάσθαι λείπεται, ἢ τό γε τρίτον, καθ' ὁποιανοῦν τῶν συστοίχων ποιοτήτων, ἐπίτασίν τινα φυσικὴν εἰληχότα, ἢ κατὰ τὴν ἑτέραν τῆς ἄκρας ἐνίοτε ἀποστάσεως λείπεται. ἐπεὶ δὲ μὴ πάντα οἷόν τ' ἦν τὰ ἐξ ἐκείνων, ἴσοις μέτροις κράσεως συνίστασθαι· ἢ γὰρ ἂν ὁμοιοειδῆ καὶ ὁμοιότροπα, τὰ ἐξ ὁμοίων τε καὶ ἴσων ἦν συγκείμενα, εἰς μυρίας διαφορὰς εἰδῶν καὶ κράσεων τὰ ἐκ τῶν πρώτων τὴν τοῦ εἶναι εἰληχότα σύστασιν, πανσόφως κατεμερίσθη, οὔτε τῆς ἐξ ὧν ταῦτα συνέστη οὐσίας οὔτε τῆς ἐξ αὐτῶν ποιότητος, δυοῖν ἐφεξῆς εἴδεσι ζώων ἢ φυτῶν, ἢ ὅτι ἕτερον σύνθετον, τῆς αὐτῆς θεωρουμένης, ἀεὶ δέ, ἢ τῆς διαφόρου κράσεως καὶ συνθέσεως ἐξαλλαττούσης τὸ εἶδος, ἢ τῆς τῶν εἰδῶν διαφορᾶς ἑκάστοτε ἀντεφελκομένης τὴν ἀναλογοῦσαν κρᾶσίν τε καὶ σύνθεσιν· ἐπειδὴ ταῦθ' οὕτω γέγονε καὶ εἰς μυρία εἴδη ἔσχισται τὰ ἐκ τῶν πρώτων στοιχείων σύνθετα, κράσει τε καὶ τῇ τῶν πρώτων προσλήψει σωμάτων, ἀλλήλων διαλλάττοντα, φέρε τι καὶ περὶ τῶν κατὰ μέρος εἴπωμεν κράσεων, ὡς ἂν ἐκ προσαγωγῆς τῶν ἀπωτέρων, καὶ περὶ τοῦ σκοπιμωτάτου ὦμεν διειληφότες. πρώτως οὖν θερμὸν καὶ ἄκρως τὸ πῦρ λέγομεν, ὅτι οὐδέν τι κατ' αὐτὸ ἕτερον οὕτως ἀναλωτικὸν καὶ πυρῶδες, τῶν εἰς τὴν ἡμετέραν ἰόντων αἴσθησιν. ὅσα δὴ μᾶλλον αὐτοῦ μετέχοντα βλέπομεν, ἐν τοῖς καθ' ἡμᾶς τούτοις συνθέτοις σώμασι, δευτέρως ὄντα θερμά, τῷ πρώτῳ τούτῳ θερμῷ παραβαλλόμενα, τῇ καθ' ἡμᾶς αἰσθήσει πρώτως τε καὶ ἄκρως θερμὰ καλοῦμεν, ὡς ἤδη τὴν αἴσθησιν διαλύοντα. καὶ ἐν μὲν τοῖς φυτοῖς, σκόροδον καὶ σίνηπι, ἐφόλβιόν τε καὶ πύρεθρον καὶ ὅτι τοιοῦτον, ἤδη φθεῖρον τῇ ἐπιτάσει τῆς ποιότητος τὴν αἴσθησιν, ἐν ζώοις δέ, ὅσα πυρώδη καὶ ἀναλωτικὰ τῶν ἰσχυροτέρων σιτίων, θυμοειδῆ τε καὶ ἀτίθασσα· λέων δὲ ταῦτα καὶ πάρδαλις, καὶ τῶν πτηνῶν τὰ πλείω· ψυχρὸν δὲ πρώτως, ἐν μὲν στοιχείοις ὕδωρ, ἐν δὲ φυτοῖς, μήκων τε καὶ θριδακίναι καὶ κώνειον· ἐν δὲ τοῖς ζώοις, ἰχθύες, καὶ μᾶλλον τούτων τὰ μαλάκια, καὶ ὅσα μαλακόσαρκά τε καὶ ὀστρακόδερμα. ὥσπερ καὶ ὑγρὸν ἀτρά-

φαξυς δ' ἐν φυτοῖς, καὶ θριδακίναι, καὶ σικυοί, τὰ δευτέρως καὶ μετοχῇ τῶν πρώτων ὑγρά. ἐν δὲ τοῖς ζώοις, οἵ τε πλείους τῶν ἰχθύων, κοχλίαι τε καὶ τὰ τῆς γῆς καλούμενα ἔντερα. ξηρὸν δὲ πρώτως, τὸ πῦρ ἄν τις εἰκότως φαίη· πέπερι δὲ ἐν φυτοῖς, καὶ κώνειον, καὶ εἴ τι ἐπιτεταμένως ξηραῖνον πεπίστευται. ἐν δὲ τοῖς ζώοις, κύνες τε καὶ λαγωοί, καὶ ὅσα τῶν ἐντόμων ζώων. καὶ ταῦτα μὲν ἀλλήλοις, καὶ τῷ ἐκ τούτων συμμέτρῳ παραβαλλόμενα, ἤτοι θερμὰ ἢ ψυχρὰ λέγεται καὶ ἢ ξηρὰ ἢ ὑγρά, κἀκεῖ μὲν ἐπιτεταμένως, ὧδε δὲ ὑφειμένως. πάντα δ' ἐκ τεττάρων πέφυκεν. ἄλλη μὲν γὰρ ἐντόμων ξηρότης, τῇ τῶν ἐντέρων τῆς γῆς παραβαλλομένη, ἑτέρα δὲ κυνὸς ἢ ἵππου, ὥσπερ ἑτέρα ὑγρότης ἰχθύων, παραβαλλομένη ἰκτίνων τε καὶ γυπῶν ὑγρότησιν. ἐπεὶ δὲ πάντα ἀλλήλων μετέχει, ἅτ' ἐκ τῶν κοινῶν συνεστηκότα ποιοτήτων, ἕκαστον δὲ οἰκείοις ὅροις κράσεων ὁρίζεται, καὶ ἄλλα μὲν ἄλλοις ἀντεξεταζόμενα, τοιάδε ἢ τοιάδε λέγεται, πάντα δὲ πρὸς τὸ ἐκ πάντων σύμμετρον ἀφορᾷ. ἤτοι γὰρ μετοχῇ πάντα τοιάδε λέγεται, ὧν μετέχει, ἢ τῇ παραθέσει πρὸς ἃ ἂν τύχῃ ἐξεταζόμενα, καὶ τῇ μὲν μετοχῇ πρὸς τὰ πρῶτα σώματα ἀφορῶντα, τῇ παραθέσει δέ, πρὸς τὰ μετὰ τὰ πρῶτα ἤτοι ἐλλείποντα, ἢ ὑπερβάλλοντα κατὰ τὸν τῆς κράσεως λόγον φαίνεται. πάντων δὲ συμμετρότατον ἐξετάζουσιν, ἄνθρωπος, καὶ κανών τις ὅδε συμμέτρου κράσεως ἐν ἑτεροειδέσι συνθέτοις σώμασιν.

### γ. Περὶ τῶν κατὰ τὸν ἄνθρωπον κράσεων.

Ταῦτά τοι καὶ πολυειδὲς καὶ ποικίλον κατὰ τὴν γνῶσιν, ὅσον εἰς κρᾶσιν ἥκει ὁ ἄνθρωπος, ἅτε ἐκ τοῦ συμμέτρου τε καὶ μέσου προχείρως ἀποκλίνων ἐφ' ἑκάτερα τῶν ἀντικειμένων θέσεων καὶ κράσεων. ὁποῖος οὖν ἐν ζώοις ἄνθρωπος, τοιοῦτον δὴ καὶ τὸν ἐν ἀνθρώποις αὖθις νόει μοι τῇ κράσει σύμμετρον· ὥσπερ γὰρ ἐν τοῖς ὁμοειδέσι τῶν ζώων ἄλλο ἄλλου θερμότερον καὶ ψυχρότερον, καὶ ξηρότερον καὶ ὑγρότερόν φαμεν, διά τε ἡλικίαν καὶ κρᾶσιν καὶ δίαιταν καὶ γυμνάσια, κἂν ἐν οἰκείοις ὅροις ἕκαστον τῶν κατ' εἶδος ζώων ἐμπεριέχηται, οὕτω δὴ καὶ

τῶν ἐν οἰκείοις ὅροις κράσεων θεωρουμένων, ἄλλος ἐξ ἄλλου τῇ κράσει διενήνοχε, ψυχρότερος, θερμότερος, ὑγρότερος, ξηρότερος λεγόμενος, ὥσπερ καὶ εἰ λευκότερος ἢ μελάντερος, ἢ εὐσαρκότερος ἢ ἰσχυρότερος,, μείζων τε καὶ μείων τῷ μεγέθει, τῷ κατὰ πάντα συμμέτρῳ παραβαλλόμενος λέγεται. κἂν γὰρ λόγῳ μᾶλλον καὶ διανοίᾳ ἢ αἰσθήσει ὁ κατὰ πάντα καταλαμβάνηται σύμμετρος ἄνθρωπος, ἀλλὰ πρὸς τοῦτον ἀφορῶν ὁ λόγος, τοιούσδε ἢ τοιούσδε τοὺς ἑτέρους φησίν. ὥσπερ οὖν κανόνος τοῦ κατὰ πάντα συμμέτρου θεωρουμένου ἀνθρώπου, τοὺς ἐφ' ἑκάτερα ἀποκλίναντας τῆς τοιαύτης συμμέτρου τῶν κράσεων, δυσκράτους φαμέν, καὶ δυσκρασίας τὰς κατ' ἐκείνους ποιότητας· μιᾶς οὖν τῆς εὐκράτου θεωρουμένης, τῆς μέσης δηλαδὴ καὶ ἀπαρεγκλίτου, ὅσοι μὲν τὴν συμμετρίαν ταύτην ἐκπεφεύγασιν, ἢ θερμότεροι λέγονται, ἢ ψυχρότεροι, ὥσπερ καὶ ξηρότεροι ἢ ὑγρότεροι, ἱκανοῦ καὶ τοῦ κατὰ τούτους πλάτους θεωρουμένου. τῶν γάρ τοι θερμοτέρων τοῦ συμμέτρου ἢ ὑγροτέρων, καὶ τῶν ἀντικειμένων τούτοις, ἄλλος ἄλλου μᾶλλον πέφυκεν, ἤτοι κατὰ μίαν ποιότητα μόνην ὑπερβάλλων τὸ σύμμετρον, τῆς λοιπῆς τε καὶ συστοίχου συμμέτρου θεωρουμένης, ἢ κατ' ἀμφοτέρας τὴν συμμετρίαν ἐκπεφευγώς, ὡς τέτταρας μὲν εἶναι τὰς ἁπλᾶς δυσκρασίας, ψυχρότητα, θερμότητα, ξηρότητα, ὑγρότητα, τέτταρας δὲ τὰς συμπεπλεγμένας, θερμότητα μετὰ ξηρότητος, καὶ αὖ μετὰ ὑγρότητος, μεθ' ἑκατέρας δὲ αὐτῶν, τὴν ψυχρότητα, ἐνάτην δὲ ἐπὶ πάσαις εἶναι, τὴν σύμμετρόν τε καὶ εὔκρατον. ὥσπερ οὖν κατὰ τὴν πρώτην σύμπηξιν ἐπὶ τοιᾶδε κράσει πήγνυται ὁ ἄνθρωπος διά τε ὑλικὰς καὶ εἰδικὰς αἰτίας, οὕτω δὴ καὶ κατὰ τῶν ἡλικιῶν καὶ διαιτῶν μεταβολάς, μεταμείβει ταύτην, ἐπιτάσει τε καὶ ἀνέσει, ἔσθ' ὅτε δὲ καὶ εἰς τὰ ἀντικείμενα μεταβάλλει. οὐ μὴν οὐδ' ἐκεῖνο θέμις ἀγνοεῖν, ὡς ἤτοι ὁμαλῶς ὁ ἄνθρωπος καὶ διὰ πάντων τῶν μερῶν ὁμοίως κέκραται, ἢ τοῖς μὲν τῶν μορίων εὐκράτως, ἄλλοις καὶ δυσκράτως, ἑτέροις δὲ καὶ ἀντικειμένως πρὸς τὸ πλεονεκτοῦν τῆς ἄλλης κράσεως διατίθεται. ὁ μὲν γὰρ θερμοῦ τυχὼν τοῦ λοιποῦ σώματος, ψυχρὰν εἴληχε τὴν κεφαλήν. ἄλλος δὲ ὑγρὸς μὲν

τὸν ἐγκέφαλον, ξηρὸς δὲ εἰ τύχοι τὴν γαστέρα, ὥσπερ καὶ ψυχρὸς μὲν τοῦτο τυχὼν τὸ μέρος, θερμὸς δὲ κατ' ἄλλο. ἕκαστον δὲ αὐτῶν ἐκ τῆς κατ' αὐτὸ διαγινώσκεται ἐνεργείας κατὰ τὸ μέτρον τῆς ἀποστάσεως. ἐμφαίνονται δέ γε αἱ ἐπικράτειαι, τοῖς τε ἐναντίοις βοηθούμεναι καὶ ἐνοχλούμεναι τοῖς ὁμοίοις, ὁπόταν ὦσι νοσώδεις, ὥσπερ δῆτα τοῖς μὲν ὁμοίοις αὔξονται, κολάζονται δὲ τοῖς ἐναντίοις αἱ κατὰ φύσιν τε καὶ πρώτην διάπλασιν ποιαὶ δυσκρασίαι. καὶ τὸν μὲν περὶ κράσεων λόγον ὧδ' ἂν ἔχοις εἰδώς, τὰς ἀρχὰς τῶν ἐπὶ ταύταις θεωρημάτων καταμαθών.

δ'. Περὶ τῶν κατὰ φύσιν καὶ μὴ ἐνεργειῶν τοῦ ἀνθρώπου.

Σκοπεῖν δὲ ἐντεῦθεν εἰκὸς καὶ τὰς ἐξ ὁποιωνοῦν κράσεων ὁποιασδήτινας ἐνεργείας. ἄλλοι γὰρ ἄλλαις ἐνεργείαις ἐπιτηδειότεροί τε καὶ οἰκειότεροι φυσικαῖς τισι πεφύκασι κράσεσιν. ὑπογραφεισῶν δ' ἤδη τῶν κατὰ τὸν σύμμετρον ἄνθρωπον φυσικῶν ἐνεργειῶν, ἔξεσται καὶ τῶν δυσκράτως κατεσκευασμένων, ἢ καθ' ὅλον, ἢ κατά τινα μέρη, τὰς ἀναλογούσας αὐτοῖς ἐνεργείας καταστοχάζεσθαι, οὐκ ἐώσης τῆς ἐπὶ τῷ λόγῳ βραχυλογίας πάντα κατὰ μέρος ἐπεξιέναι. καὶ δῆτα νόει μοι ἄνθρωπον συμμέτρως μὲν ἔχοντα κράσεώς τε καὶ διαίτης, καὶ ἐπὶ συμμέτρως ἔχοντι κράσεως χωρίῳ οἰκοῦντα, καὶ ἡλικίας ἐν ἀκμῇ τυγχάνοντα· τῷ τοιούτῳ μηδενός τινος ἐνοχλήσαντος ἔξωθεν, ἀγαθαὶ μὲν αἱ ὀρέξεις καὶ πᾶσαι αἱ φυσικαὶ ἐνέργειαι, ἀγαθοὶ δὲ καὶ οἱ ὕπνοι καὶ αἱ κατὰ τοὺς ὕπνους κατακλίσεις, καὶ αἱ πέψεις, καὶ αἱ ἐπὶ ταύταις ἐκκρίσεις, ἀκραιφνεῖς δὲ καὶ αἱ τῶν αἰσθητηρίων ἐνέργειαι, καὶ πρό γε τούτων, αἱ ἡγεμονικαί, γενικώτεραι τούτων οὖσαι, καὶ ἔτι αἱ προαιρετικαὶ καὶ καθ' ὁρμὴν κινήσεις. παραπλήσιοι δὲ καὶ αἱ τῶν παρομοίως αὐτῷ κεκραμένων διαθέσεις, καὶ τοσούτῳ τούτου λειπόμεναι, ὅσῳ καὶ αἱ κράσεις τῶν σωμάτων καὶ τῶν τόπων καὶ ἡλικιῶν, ἔτι τε διαιτημάτων καὶ ὡρῶν διενηνόχασιν ἀπ' ἀλλήλων. αἱ μέντοι ἀλλόκοτοι ὀρέξεις, καὶ αἱ πλημμελεῖς ἐνέργειαι τῶν φυσικῶν δυνάμεων, καὶ οἱ θορυβώδεις τε καὶ μὴ καθεστηκότες ὕπνοι, καὶ αἱ μὴ συνήθεις κατακλίσεις, καὶ αἱ ἀποτυχίαι τῶν πέψεων, καὶ αἱ διάφοροι χροιαὶ

τε καὶ συστάσεις τῶν ἐκκρινομένων, καὶ αἱ κατὰ τὸ ψυχικὸν πνεῦμα οὐκ ἀσφαλεῖς ἐνέργειαι, ἢ διὰ παγιωθεισάν τινα μορίου τινὸς δυσκρασίαν, ὡς διὰ ταύτην καὶ τὴν τοιάνδε πλημμελῆ συσκευασθῆναι διάθεσίν τε καὶ ἐνέργειαν, ἢ ὅσον οὔπω ἐσομένην βλάβην δηλοῖ ταῦτα τῷ σώματι, κατὰ τὴν ἀναλογίαν δηλονότι τῶν ἀτυχημάτων, τῆς διὰ πάντων ἰούσης ἐνεργείας τῆς φύσεως. τούτοις δὲ ὡς εἴρηται συνεργοῦσί τε καὶ ἀποσυνεργοῦσι κράσεις τε καὶ ὧραι καὶ χῶραι καὶ ἡλικίαι, δίαιταί τε καί τινα ἔξωθεν συναντήματα, ὧν τὰ κατὰ μέρος λέγειν, οὐ τοῦ παρόντος μοι δοκεῖ τυγχάνειν καιροῦ. ἐκεῖνο δὲ μόνον ἐπίστασθαι χρὴ, ὡς ὅ,τι ἂν τοῦ κατὰ φύσιν ἐφ' ἑκάστῳ τῶν ἀνθρώπων ἐκβαίη, κατ' ἐκεῖνο δὴ καὶ πλημμελεῖν ἐκείνῳ συμβαίνει. ἀλλὰ γὰρ ῥητέον πρῶτον, ὅπως ἄν τις καὶ δι' ὧν διαγιγνώσκοι τὰ τῶν κατεχόντων νοσημάτων σημεῖα. ἔπειθ' οὕτως ἐκθετέον καὶ αὐτὰ δὴ τὰ νοσήματα, καὶ αἷς τισι κεχρῆσθαι δέον ἐπὶ τούτοις διαίταις. οὕτω γὰρ τοῦ κατ' αὐτὰ συντεθειμένου λόγου, ἀσφαλέστερον περὶ ἑκάστου τούτων εἰσόμεθα.

### ι'. Περὶ τῶν ἀξιολογωτάτων τοῦ ἀνθρώπου δυνάμεων.

Τριῶν δὲ οὐσῶν τῶν κατὰ τὸ σῶμα ἀξιολόγων δυνάμεων, τῆς ζωτικῆς δηλαδὴ καὶ ἐμφύτου θερμότητος, καὶ τῆς ἡγεμονικῆς τε καὶ αἰσθητικῆς καὶ κινητικῆς καὶ προσέτι τῆς θρεπτικῆς τε καὶ ἀλλοιωτικῆς καὶ αὐξητικῆς, ἑκάστη τούτων τὸν οἰκεῖον εἴληχε τόπον, ὧν ἡ μὲν πρώτη, καρδίαν τε καὶ ἀρτηρίας, δι' ὧν ὡς ἔκ τινων ὀχετῶν εἰς ἅπαν τὸ τοῦ ζῴου σῶμα ἡ ἔμφυτος καὶ ζωτικὴ θερμότης διαπορθμεύεται· ἡ δὲ ἐπὶ ταύτῃ δευτέρα, ἐγκέφαλόν τε καὶ νωτιαῖον καὶ τὰ ἀπὸ τούτων νεῦρα, δι' ὧν αἱ ἡγεμονικαὶ ἐνέργειαι, αἴσθησίς τε πᾶσα καὶ προαιρετικὴ τελεῖται κίνησις. τρίτη δὲ καὶ ὑστάτη ἐπὶ ταύταις, ὅση τε ἐν ἥπατι καὶ φλεψὶ, δι' ὧν αἱμάτωσίς τε καὶ θρέψις ἀποτελεῖται.

ϛ'. Περὶ τῶν φυσικῶν δυνάμεων.

Καὶ κοινῇ μὲν ταῦτα, καὶ τὰ λοιπὰ ὀργανικά τε καὶ ἀνομοιομερῆ, καὶ προσέτι τὰ ὁμοιομερῆ ταῖς φυσικαῖς οἰκονομεῖται δυνάμεσιν, ἑλκτικῇ φημι καὶ καθεκτικῇ, ἀλλοιωτικῇ τε καὶ ἀποκριτικῇ. ἕκαστον γὰρ τῶν ἁπλῶν τε καὶ πρώτων μορίων, τὸ οἰκεῖον ἕλκον ἀπὸ τῆς οἰκονομηθείσης τροφῆς, κατέχει μὲν πρώτως, εἶθ' οὕτως δὲ καὶ ἀλλοιοῖ, καὶ τῷ μὲν ἑκάστῳ προσῆκον τῆς τοιαύτης τροφῆς προστίθεται τῷ τυχόντι μορίῳ, τὸ δ' ὡς ἀλλότριον ἀποδοκιμασθὲν ἀποκρίνεται, τό γε μὴν φθάσαν προστεθῆναι ἤδη, καὶ προσφύεται καὶ τῷ χρόνῳ ἐξομοιοῦται καὶ εἰς οἰκείαν θρέψιν τε καὶ αὔξησιν τοῦ τυχόντος μορίου γίνεται. τοσούτων ἡμῖν διοικουσῶν δυνάμεων, πόσας οἴει πλημμελείας γίνεσθαι κατὰ τὰς σφῶν αὐτῶν διαμαρτίας, νῦν μὲν πλημμελῶς αὐτῶν ἑκάστης ἐνεργούσης, νῦν δὲ καὶ ἀποκαμούσης, ἤτοι δυσκρασίας τινὸς προσισταμένης, ἢ χυμῶν ἐπιτεταμένης ποιότητος ἢ ποσότητος ἀμετρίας, ἢ καὶ τῆς πρώτης αὐτῶν δυνάμεως, ὧν αὗται κατεμερίσθησαν, ἀπαγορευούσης ἤδη διά τινα φυσικὰ πάθη καὶ ἀπαραίτητα συναντήματα. καὶ ταῦτα μὲν ὡς εἴρηται κοινὰ τῶν ὅλων μορίων, πάθη τε καὶ ἐνέργειαι, τῇ καιριότητι μόνῃ τῶν πεπονθότων ἀλλήλων διαλλάττοντα.

ζ. Περὶ τῶν ἰδίων παθῶν ἑκάστου τῶν ὀργανικῶν μορίων.

Ἴδια δὲ ἑκάστου, καρδίας μὲν ψύξεις τε καὶ θερμότητες ἐκτικαὶ πρώτως αὐτῇ γινόμεναι, καὶ αἱ καθ' ἡντιναοῦν διάθεσιν μορίων ἄλλων προπεπονθότων ἐπιγινόμεναι αὐτῇ ποιαὶ ἕξεις τε καὶ διαθέσεις, ὥσπερ δῆτ' ἀθυμίαι τε καὶ φόβοι ἄλογοι, παλμοί τε καὶ συγκοπαί, καὶ ὅτι πρώτως ἐκεῖσε ἀναφέρεται· ἐγκεφάλου δὲ καὶ νωτιαίου καὶ τῶν ἐξ αὐτῶν νεύρων, ἀναισθησίαι τε καὶ δυσαισθησίαι, καὶ παραφροσύναι, ἐπιληψίαι τε καὶ μελαγχολίαι, καὶ φρενίτιδες καὶ λήθαργοι, καταλήψεις τε καὶ ἀγρυπνίαι, καὶ κώματα, ἀκινησίαι τε καὶ δυσκινησίαι, σπασμοί τε καὶ τρόμοι, καὶ τέτανοι καὶ παραλύσεις καὶ ὅτι τοιοῦτον ἕτερον· ἥπατός γε μὴν καὶ τῶν ἀπ' αὐτοῦ φλεβῶν, πέψεων τε καὶ αἱματώσεων τῶν κατ' αὐτὸ καὶ τοῦ φλεβώδους γέ-

νους ἀποτυχίαι, ποικίλα εἴδη νοσημάτων ἀπογεννῶσαι, ὥσπερ δῆτα καὶ τῶν ὑπ' αὐτό, γαστρός τε καὶ ἐντέρων δηλαδή, αἱ πρῶται τῶν σιτίων ἀπεψίαι καὶ αἱ κατ' αὐτὰς διάφοροι διαμαρτίαι, οὐκ εὐαρίθμητα εἴδη νοσημάτων ἐπάγουσαι. τούτων οὖν ἕκαστον, οἰκείοις τεκμηρίοις καταλαμβάνεται.

### η'. Περὶ τοῦ πῶς διαγινώσκεται ἕκαστον τῶν ὀργανικῶν μορίων πεπονθός.

Καὶ ὁμιλίαις μὲν καὶ ἐνεργείαις αἰσθήσεών τε καὶ κινήσεων, ἐκεῖνα διασημαίνεται, ὅσα κατὰ τὸν ἐγκέφαλον καὶ νωτιαῖον, καὶ τὰ ἐξ αὐτῶν νεῦρα συνίσταται. ταῖς ζῳώδεσι δὲ τῶν δυνάμεων, καὶ ταῖς τῶν σφυγμῶν διαφοραῖς, αἱ κατὰ τὴν καρδίαν καταλαμβάνοντι διαθέσεις, ὥσπερ δῆτα τὰ καθ' ἧπάρ τε καὶ τὸ φλεβῶδες γένος, τὰ φαινόμενα τῶν οὔρων διασημαίνει· τὰ δ' ἐμούμενα καὶ διὰ γαστρὸς φερόμενα, ὅσα συμβαίνειν εἴωθε περὶ τὸ στόμα τῆς γαστρός, καὶ αὐτὴν δὴ τὴν γαστέρα, καὶ τὰ ἐφεξῆς ἔντερα διασημαίνει. καταλαμβάνεται δ' οὐχ ἧττον καὶ τὰ κατὰ τὸν θώρακα, τοῖς διὰ βηχὸς ἀναγομένοις, καὶ αὐτοῖς τοῖς τῆς ἀναπνοῆς εἴδεσιν· οὐ μὴν οὐδὲ ἀγνοεῖν προσήκει, ὡς ἕκαστον αὐτῶν καθ' ὁποιονοῦν διατεθὲν πάθος, καὶ μάλιστα ἤν τε τὸ πάθος ἀξιόλογον ᾖ καὶ καίριον τὸ πεπονθὸς μόριον, συμμεταβάλλει τε καὶ ἀλλοιοῖ καὶ τῶν λοιπῶν μορίων τὰ ἐγγύτατα ἢ τῷ τόπῳ ἢ τῇ καιριότητι· πάντα γὰρ σύμπνοά τε καὶ ξυμπαθῆ, καὶ ὑπ' ἀλλήλων πάσχει τε καὶ μεταβάλλεται. ἐπεὶ δὲ ἕκαστα μὲν οἰκείοις τεκμηρίοις ὡς εἴρηται γνωρίζεται, συνεπιμαρτυρεῖ δὲ καὶ τὰ ἕτερα ἐπιταθέντων τῶν δεινῶν, πρώτως περὶ τῶν οἰκείων ἑκάστου διειληφότες γνωρισμάτων, καὶ τῆς ἐξ ἁπάντων εἶθ' οὕτως συμπαθείας ἐροῦμεν, ὡς μήτις σύγχυσις ἐπακολουθοίη τῷ σκέμματι.

### θ'. Περὶ τῆς κατὰ τοὺς σφυγμοὺς θεωρίας.

Τούτων οὖν τῆς καιριωτάτης καὶ ἀναγκαιοτάτης εἰς ζωὴν τελούσης τῆς ἐκ τῆς καρδίας δυνάμεως, προσῆκον ἂν εἴη περὶ ταύτης πρῶτον διαλαβεῖν, ὡς ἂν εἰδέναι ἔχωμεν

τοῦ ζωτικοῦ τόνου τὰ μέτρα, τὰ μέγιστα λυσιτελήσοντα εἴς τε διάγνωσιν καὶ πρόγνωσιν τῶν κατεχόντων παθῶν, εἶθ᾽ οὕτως καὶ περὶ τῶν ἐφεξῆς ἐρεῖν δυνάμεων. τῆς οὖν ποιᾶς κινήσεως τοῦ σφυγμοῦ καταγγελλούσης πρώτως μὲν τὰς καθ᾽ αὐτὸν τῆς καρδίας διαθέσεις, εἶθ᾽ οὕτως δὲ καὶ τὰς ἐξ ἑτέρων μορίων πεπονθότων εἰς αὐτὴν διαθέσεις, αὐτὰς τὰς κινήσεις ἀσκητέον πρώτως διαγινώσκειν τῶν σφυγμῶν, εἶθ᾽ οὕτως καὶ τὰς κατ᾽ αὐτοὺς διαφοράς.

ι΄. Περὶ τῆς τῶν σφυγμῶν χρείας.

Οὐδὲν οὖν ἕτερον τοῦ σφυγμοῦ πεφυκότος ἢ διαστολῆς καὶ συστολῆς τῆς ἀρτηρίας καὶ τῆς μεταξὺ αὐτῶν ἠρεμίας, καὶ διαστολῆς μὲν οὔσης τῆς ἀπὸ τῶν ἐντὸς ἐπὶ τὰ ἐκτὸς κινήσεως ἐπὶ τοῦ σπάσασθαι τοῦ θύραθεν ἀέρος καὶ τὴν ἔμφυτον θρέψαι τε καὶ ἀναψῦξαι θέρμην, τῆς δὲ συστολῆς ἀπὸ τῶν ἐκτὸς ἐπὶ τὰ ἐντὸς κινήσεως οὔσης ἐπὶ τῷ ἀπώσασθαι τὰ λιγνυώδη καὶ περιττὰ τοῦ ζωτικοῦ τούτου πνεύματος, ταύτας δεῖ σε ἱκανῶς ἐπισκεπτόμενον ἐξευρίσκειν, καὶ τὰ τάχη τῶν κατ᾽ αὐτὰς κινήσεων, ἔτι τε τὰς τῶν διαστημάτων διαφοράς, καὶ τοὺς ἐπὶ ταύταις χρόνους, αὐτῶν τε τῶν κρουσμάτων τὰς σφοδρότητας, καὶ τὴν τῆς ἀρτηρίας σύστασιν, καὶ προσέτι τὰς ἐπὶ τῷ πέρατι τῆς συστολῆς καὶ ἀρχῇ τῆς διαστολῆς, ἠρεμίας τε καὶ τοὺς κατ᾽ αὐτας χρόνους, καὶ ὅσον ἀλλήλων οἱ χρόνοι διαφέρουσιν. ἐντεῦθεν γὰρ πάντα σοι ῥάδιον διαγνωσθήσεται.

ια΄. Περὶ συμμέτρου σφυγμοῦ.

Καὶ γοῦν μή τινος ἔξωθεν ἢ ἔσωθεν ἐνοχλοῦντος οἵου τε ὄντος ἀξιολόγου τὸν σφυγμὸν ἀλλοιοῦν, εὕροις ἂν τοῦτον ἁπτόμενος, σύμμετρον μὲν κατὰ μέγεθος καὶ σφοδρόν, ὡς μὴ ῥᾳδίως εἴκοντα τῇ ἁφῇ, καὶ οὐ σκληρὸν καὶ ὁμαλὸν ἐν ταῖς ἐφεξῆς κινήσεσιν· εἰ δέ τι ἐνοχλοῦν εἴη, καὶ αὐτὸς αὐτίκα τραπήσεται.

ιβ΄. Περὶ τῆς κατὰ μέγεθος τῶν σφυγμῶν διαφορᾶς.

Θέρμης μὲν γὰρ ηὐξημένης, εἰ μή τις σκληρότης τῆς ἀρτηρίας ἀντιέχει, πρῶτον μὲν εἰς μέγεθος ἐπιδίδωσιν ὁ

*σφυγμός, εἶθ᾽ οὕτω μὴ ἐν τούτῳ τῆς χρείας πληρουμένης, καὶ τάχος ἐπιδίδοται τῷ μεγέθει, κἂν μὴ ἐπὶ τούτοις ἀρκοῖτο ἡ ἐπιταθεῖσα θερμότης, προσεπικτᾶται καὶ τὴν πυκνότητα, καὶ μάλιστα εἴ τις ἐνοῦσα ταῖς ἀρτηρίαις σκληρότης ἀπείργοι τὸ ἐπὶ τῇ χρείᾳ μέγεθος. τἀναντία δὲ τούτων ἐπάγει ψῦξις ἐπιταθεῖσα, καὶ πρῶτον μὲν ἀραιότης ἄρχεται ἐπιφαίνεσθαι, εἶθ᾽ οὕτως δὲ ἡ βραδύτης, καὶ ἐπὶ ταύτῃ ὑστάτη μικρότης. ξηρότης δὲ ἢ ὑγρότης χρονίσασαι, ἡ μὲν σκληρόν, ἡ δ᾽ ὑγρόν τε καὶ διάβροχον τὸν τῆς ἀρτηρίας χιτῶνα ἐναπεργάζονται. προσεπιπλακεῖσαι δὲ ταῖς δραστικαῖς ποιότησι, καὶ τοὺς ἐπ᾽ ἐκείναις συναποδεικνύουσι σφυγμούς· κἂν μὲν οὖν αἱ ἐφεξῆς κινήσεις ὁμαλῶς προΐενται, οὐδὲν τούτων ἐπισημαίνουσιν νεώτεροι.*

### ιγ΄. *Περὶ διαλείποντος καὶ παρεμπίπτοντος σφυγμοῦ.*

*Εἰ δέ τι διαλείποιεν μείονα χρόνον μιᾶς κινήσεως ἢ μικρῷ πλείονα, ἀπαλλαγοῖεν ἂν ἴσως τοῦ δεινοῦ οἱ τοιούτους σφυγμοὺς ἀτυχήσαντες ὡς δυεῖν ἐφεξῆς κινήσεων ἴσον εἶναι χρόνον τὸν τῆς ἀκινησίας, οὐδ᾽ ἄν ποτέ τινα διασωθέντα θεάσαιο, καὶ μάλιστα ἢν ἀκμάζων ὁ νοσῶν ᾖ. τοῖς γάρ τοι γέρουσι τάχ᾽ ἄν ποτε καὶ διαφυγεῖν γένηται, κατὰ πάντα ἐνδεέστερον ἐνεργούσης αὐτοῖς τῆς φύσεως θέρμης ὀλιγότητι. εἰ δὲ δὴ παρεμπίπτοιεν ἕτεροι, ταῖς ἐφεξῆς καὶ ἴσαις κινήσεσι, πολλῷ μὲν ἥττους εἰς κακίαν, ἀμείνους δὲ τῶν διαλειπόντων κριθεῖεν ἄν. εἰ γὰρ καί τινα χρείαν ἐλλείπουσαν ἀναπληροῦσθαι σημαίνουσιν, ἀλλὰ καὶ ῥώμην ὑποφαίνουσι τῆς δυνάμεως, ὥσπερ ἀτονίαν καὶ ἀναβολὴν οἱ διαλείποντες τῆς δυνάμεως καὶ ὅσῳ χείρων ἀσφυξία λειπόντων σφυγμῶν, τοσούτῳ τούτων ἥττους εἰς κακίαν οἱ παρεμπίπτοντες· οἱ δ᾽ ἐκ πολλῶν εἰδῶν σφυγμῶν διάφορον τὴν ἀνωμαλίαν ποιούμενοι, κατὰ τὰς ἐπικρατείας αὐτῶν καὶ τὰς ἀποβάσεις σημαίνουσιν. ἵνα δὲ μὴ πάνυ ἀσαφῆ τὸν λόγον ποιήσωμεν, ἕκαστον τῶν σφυγμῶν ὁρισάμενοι, δείξομέν σοι τὴν ἀπὸ τούτων συναγομένην τῆς καρδίας δύναμιν, καὶ τὴν τῆς θέρμης αὔξησίν τε καὶ μείωσιν, καὶ εἴ τις ἔμφραξίς τε καὶ φλεγμονὴ ἐπὶ καιρίοις μορίοις εἴη, καὶ ὅπως πέψεις τῶν χυμῶν καὶ πλῆθος ἐπι-*

κρατεῖν νομίζονται. οὐδὲν οὖν ἄλλο τοῦ σφυγμοῦ τυγχάνοντος ὡς εἴρηται ἢ κινήσεως τῶν ἀρτηριῶν, ἀπὸ μὲν τῶν ἐντὸς εἰς τὸ ἐκτός, ὃ δὴ καὶ διαστολὴ καλεῖται, ἀπὸ δὲ τῶν ἐκτὸς εἰς τὸ ἐντός, ὃ συστολὴ καλεῖται. χρεία μὲν τῆς διαστολῆς κατὰ τὴν ἀναλογίαν τῆς θέρμης, ἐπισπᾶσθαι τοῦ ἐκτὸς ἀέρος πρὸς εὐκρασίαν, τῆς δὲ συστολῆς τοῦ ἀπώσασθαι τὰ λιγνυώδη καὶ καπνώδη περιττώματα.

ιδ΄. *Περὶ διαφορᾶς ἑκάστου τῶν κατ᾽ εἶδος σφυγμῶν.*

Κἂν μὲν οὖν πολλῷ γε εἴη τὰ τῆς χρείας ἐπείγοντα, μέγεθος μὲν πρῶτον, εἶθ᾽ οὕτως δὲ καὶ τάχος γίνεται τοῖς σφυγμοῖς, καὶ μέγεθος μὲν διαστολῆς, τῆς εἰς τὰς τρεῖς τῶν σφυγμῶν διαστάσεις ἐπιδίδωσι, μῆκος δηλαδὴ καὶ βάθος καὶ πλάτος· τάχος δέ, τὴν δι᾽ ὀλίγου χρόνου τῆς διαστολῆς ἀπὸ τῶν ἐκτὸς ἐπὶ τὰ ἐντός, καὶ ἀπὸ τῶν ἐντὸς ἐπὶ τὰ ἐκτὸς τῆς συστολῆς ἀποκατάστασιν. ὥσπερ τἀναντία τούτων, ὥσπερ τῆς μὲν κατὰ τὰς τρεῖς διαστάσεις τοῦ συμμέτρου ἐλλείπουσα λέγεται. βραδυτὴς μὲν ἡ διὰ πολλοῦ χρόνου τὴν τῆς ἀρτηρίας κίνησιν ἀποκαθιστῶσα, σκληρὸν δέ, τὸν ἐν τῷ πλήττειν οἱονεὶ θλίβοντα τὴν ἀφὴν φαμεν, ὥσπερ δῆτα καὶ μαλακόν, τὸν οἷον δίυγρον, καὶ ἡδέως τῇ ἀφῇ προσβάλλοντα· σφοδρὸν δὲ τὸν μετὰ προσηνοῦς ἀφῆς ἀντιβαίνοντα τοῖς ἐπαφωμένοις δακτύλοις· τὸν ἐναντίον δὲ τούτῳ, ἀμυδρόν φαμεν, τὸν εἴκοντα δηλαδὴ ῥᾳδίως τῇ τῶν δακτύλων ἀφῇ, ὥσπερ δὴ καὶ πυκνὸν μὲν φαμεν τὸν συνεχίζοντα τὰς κινήσεις· ἀραιὸν δέ, τὸν διὰ χρόνου ταύτας ποιούμενον.

ιε΄. *Περὶ διαφορᾶς συστηματικῆς ἀνωμαλίας καὶ τῆς καθ᾽ ἕνα σφυγμὸν συνισταμένης.*

Ἀνώμαλον δέ φαμεν τὸν ἐκ δυεῖν ἢ τριῶν ἢ πλειόνων εἰδῶν σφυγμῶν συγκείμενον, ὁτὲ μὲν καθ᾽ ἕνα σφυγμὸν τῆς τοιαύτης ἀνωμαλίας συνισταμένης, ὁτὲ δὲ καὶ διὰ πλειόνων. καὶ καθ᾽ ἕνα μὲν σφυγμὸν ἀνωμαλίαν φαμέν, ὁπόταν τῶν τεττάρων ἡμῶν δακτύλων τοῦ σφυγμοῦ ἐφαπτομένων, καθ᾽ ἕκαστον δάκτυλον διαφόρως κινουμένου τοῦ σφυγμοῦ αἰσθανόμεθα, ἔσθ᾽ ὅτε δὲ καὶ ἀλλοίου

μὲν αὐτοῦ αἰσθανόμεθα κινουμένου τοῖς δυσὶ δακτύλοις, ἀλλοίου δὲ τοῖς ἑτέροις δυσίν, ὥσπερ καὶ ἑτεροίου μὲν τῷ ἑνί, ἑτεροίου δ' αὖ τοῖς τρισὶ καὶ ἤτοι κατὰ τὴν ἁπλῆν καὶ προκειμένην θέσιν τῶν δακτύλων τῆς τοιαύτης φαινομένης ἀνωμαλίας, ἢ κατὰ τὴν τὸ ὑπερβατὸν σχῆμα θέσιν· οἱ μὲν γὰρ τῶν δακτύλων αἰσθάνονται τῆς ἀρτηρίας κινουμένης ταχύτερον, οἱ δὲ βραδύτερον, καὶ οἱ μὲν πυκνότερον, οἱ δὲ ἀραιότερον, καὶ οἱ μὲν μείζονος αἰσθάνονται τῆς διαστολῆς, οἱ δὲ μείονος, ὥσπερ καὶ οἱ μὲν σκληροτέρου τοῦδε τοῦ μέρους εἰ τύχοι, οἱ δὲ μαλακωτέρου. καὶ ταῦτα φαίνεται ἐπὶ μιᾷ διαστολῇ, μιᾷ τοῦ ὅλου σώματος τῆς ἀρτηρίας γινόμενα, μετά τινος τάξεως ἢ ἀταξίας. εἰ μὲν γὰρ καὶ αἱ ἐφεξῆς κινήσεις ὡσαύτως ἔχουσι, τάξις τις ἂν ὧδε ῥηθείη. εἰ δ' οὐχ ὡσαύτως, ἀταξία λέγεται. ὡσαύτως δὲ τῇ καθ' ἕνα σφυγμὸν ἀνωμαλίᾳ, καὶ ἡ κατὰ τὴν συστηματικὴν ἀνωμαλίαν διαφορὰ γινομένη φαίνεται, ὁτὲ μὲν μείονος ἢ μείζονος φαινομένου, ὁτὲ δὲ ταχυτέρου ἢ βραδυτέρου, ἢ ἄλλως συνισταμένου τοῦ σφυγμοῦ κατὰ τὰ ἐμφαινόμενα τοῖς σφυγμοῖς εἴδη, τάξιν δέ τινα καὶ ἀταξίαν ἐπὶ τούτοις τηροῦντος.

ιϛ'. *Περὶ τῆς ἐκ τῶν τοιούτων σφυγμῶν διαγνώσεως.*

Καὶ ὁ μὲν σφοδρὸς σφυγμός, ἀχώριστον σημεῖον ῥώμης ἐμφύτου καὶ ζωτικῆς δυνάμεως· δεύτερος δ' ἐπὶ τούτῳ ὁ ταχύς, ὁ δὲ μέγας οὐ πάντοτε. οἱ δὲ ἐναντίοι τούτων, ἔκλυσίν τε καὶ ἀδυναμίαν τοῦ ζωτικοῦ σημαίνουσι τόνου, ὥστε ἐντεῦθεν ἐξέσται σοι καὶ τὰς ἐκ τῶν ἀνωμάλων συνιέναι σφυγμῶν ἀποβάσεις. μεγάλων μὲν γὰρ ἢ σφοδρῶν ἢ παχέων ἐπικρατούντων, ἐρρῶσθαι ἔτι λέγει τὴν ζωτικὴν δύναμιν. βραδέων δ' αὖ τε καὶ μικρῶν καὶ ἀμυδρῶν, καταλύεσθαι, ὡς ἐντεῦθεν ἔχειν σε εἰδέναι, ὅπου ἀποπερατοῦσθαι τὴν νόσον εἰκός. ὅτι δ' ἐπ' ἐμφράξεσι τῶν καιριωτέρων μορίων οἱ ἀνώμαλοι τῶν σφυγμῶν συνίστανται, δηλώσουσιν αἱ ἐπὶ τούτοις ἐκκρίσεις, τούτους ἀποκαθιστῶσαι, ἢν γε νικώῃ τὰ τῆς δυνάμεως. τάξις δὲ ἀμείνων ἀταξίας, καὶ μάλιστα ἢν νικῷεν οἱ ἀμείνους τῶν σφυγμῶν, ἢν δὲ μὴ νικῷεν, αἱ ἀταξίαι ἀμείνους τῶν τάξεων· αἱ μὲν

*γὰρ τάξεις ἐπιμονήν τινα σημαίνουσι τῆς φύσεως εἰς ἐκεῖνο τὸ εἶδος τῶν σφυγμῶν, διὰ τὸ τὸν λυποῦντα χυμὸν ἐν οἱῳδήποτε μορίῳ ἐστηρίχθαι, αἱ δ' ἀταξίαι πλάνην τινὰ τῶν ἐνοχλούντων χυμῶν καὶ διαμάχην τῆς δυνάμεως, καὶ διὰ τοῦτο ἄμεινον μὴ δεδεγμένην αὐτὴν φαίνεσθαι τὰ χείρω τῶν σφυγμῶν, ἢ καταδεδεγμένην ἀνάγκη ὄλλυσθαι. οἵ γε μὴν σκληροὶ σφυγμοί, ἴδιοι τοῦ σώματος τῆς ἀρτηρίας τυγχάνοντες, ὁτὲ μὲν ταῖς ἔξωθεν ξηρότησιν ἕπονται, ὁτὲ δὲ καὶ ταῖς ἐντός, ὡς ἐν ἑκτικοῖς καὶ μαρασμώδεσι πυρετοῖς, φλεγμοναῖς τε νευρωδῶν μορίων μάλιστα, καὶ πυρετοῖς αὐχμώδεσι, καὶ σφοδραῖς πήξεσιν ἐκ ψύξεως. ὥσπερ δὲ τάχος καὶ μέγεθος διαστολῆς τὴν χρείαν σημαίνουσιν, οὕτω δὴ καὶ ἐπὶ τῆς συστολῆς τὸ αὐτὸ σκόπει. εἰ γὰρ δὲ καὶ αὕτη ἐπὶ μέγεθός τε καὶ τάχος ἐπιδιδοίη, τὴν κατ' αὐτὴν χρείαν σημαίνει, τό,τε πλῆθος δηλαδὴ τῶν ἐπὶ σήψει χυμῶν, καὶ τὸ ἐπὶ τούτοις τῶν λιγνυωδῶν περιττωμάτων συμφόρημα. γνοίης δ' ἄν, εἰ μὴ ἑτέρωθεν τὸ τῆς συστολῆς μέγεθός τε καὶ τάχος, τάς τε κινήσεις καὶ τοὺς ἐπὶ ταύταις χρόνους τῆς διαστολῆς, τοῖς χρόνοις τοῖς ἐπὶ ταῖς δοκούσαις ἠρεμίαις τῆς συστολῆς παραβάλλων. ἐντεῦθεν δὲ ἄρα ἕξεις ἀφορμὰς εἰδέναι πέψεις τε καὶ ἀπεψίας χυμῶν, καὶ τὰς ἐπὶ ταύταις κρίσεις, ὁποῖαι ἂν καὶ ὑποβαῖεν. ἀμέλει καὶ ἐν ταῖς τῶν παροξυσμῶν ἐπισημασίαις, τάχος τε καὶ μέγεθος αἱ συστολαὶ μᾶλλον τῶν διαστολῶν προσλαμβάνουσιν, ἐπειγομένης οἷον τῆς ἐπὶ ταῖς συστολαῖς ἐκκριτικῆς δυνάμεως, ἀπώσασθαι ὅσον λιγνυῶδες δηλαδὴ καὶ ἄχρηστον, ὑπὸ τὸ βάθος ὑποτρέφεται τοῦ σώματος. ταῦτά τοι καὶ σμικρότεροί τε καὶ βραδύτεροι κατὰ τὰς διαστολὰς τότε φαίνονται, μήπω τῆς χρείας ἐπειγούσης. ἀλλ' ἐπειδάν γε τὸ μὲν αἰθαλῶδές τε καὶ λιγνυῶδες διαπνευσθῇ ἐκεῖνο, ἡ δ' ἔμφυτος καὶ φυσικὴ ἐπαναφθῇ θερμότης, τῆς χρείας ἐπειγούσης ἤδη, μέγεθός τε καὶ τάχος ἡ διαστολὴ λαμβάνει, κολουομένης ἤδη τῆς συστολῆς ταχυτῆτος, τότε δὴ καὶ αἱ ἐπιγενόμεναι κρίσεις ἀμείνους φαίνονται. αἵ γε μὴν ἠργμέναι γίνεσθαι, πολυχρονιωτέρας τῆς συστολῆς πρὸς τὴν διαστολὴν φαινομένης, ἀτελῆ τε καὶ φιλυπόστροφα τὰ ἀρρωστήματα προ-*

σημαίνουσιν, ἅτε ὑποτυφομένης ἔτι ἔνδον ἡμιπέπτου τινὸς ὕλης.

### ιζ. Περὶ τῶν λοιπῶν κατ' εἶδος καὶ τῆς κατ' αὐτοὺς αἰτίας καὶ προγνώσεως.

Εἴ τινος δὲ ἀκούεις κυματώδους τε καὶ σκωληκίζοντος καὶ μυρμηκίζοντος σφυγμοῦ, σπασμώδους τε καὶ κλονώδους, καὶ δικρότου καὶ δορκαδίζοντος, καὶ τούτων τὰς αἰτίας καὶ διαγνώσεις, ὧδε μάνθανε. καὶ δῆτα κυματώδης μέν, ὑγρᾶς ἐστι καὶ μαλακῆς ἀρτηρίας ἔγγονος ἅμα δυνάμει καμούσῃ μετρίως. εὑρίσκεται δ' ἐν ὑγροῖς καὶ φλεγματικοῖς πάθεσιν, ληθάργοις τε καὶ ἀφημερινοῖς, ὑδέροις τε τοῖς ἀνὰ σάρκας, καὶ μάλιστα, εἰ μὴ διὰ φλεγμονὴν ἢ σκίρρον τινὸς σπλάγχνου οἵδε γεγόνασιν. εἰ δέ γε τόνον πλείονα καὶ ὕψος ἐπικτήσονται, καὶ ὅσον οὔπω ἐσομένους ἱδρῶτάς σοι σημανοῦσι, καὶ μάλιστα ἢν πέψεως προηγησαμένης σημεῖα ὁρῴης. εἴρηται δὲ κυματώδης τῷ οἷον περιγραφάς τινας κυμάτων ἐν ταῖς διαστολαῖς ποιεῖσθαι, ὥσπέρ γε καὶ σκωληκίζων, τῷ πολλῷ βραχυτέρας τὰς οἷον κυματώδεις διαστολὰς ποιεῖσθαι, σκώληκός τινος ἀπομιμούμενος κίνησιν. οὗτος ἕπεται μὲν ἀρτηριῶν μαλακότησι καὶ ἱκανῶς ἀρρωστίᾳ δυνάμεως. συμβαίνει δὲ ἐπὶ λαύραις κενώσεσιν, αἱμορραγίαις τε καὶ διαρροίαις καὶ χολέραις, αἱμορροΐσι τε καὶ τῷ καλουμένῳ γυναικείῳ ῥῷ, καὶ μοχθηροῖς ἱδρῶσιν, οὐχ ἧττον δὲ καὶ τοῖς ὑγρότητι πολλῇ διασαπεῖσι τὸν πνεύμονα, εἰ μή τις εἴη φλεγμονὴ τὴν ἀρτηρίαν σκληρύνουσα. Μυρμηκίζοντα δέ φασιν, ἔκ τε τῆς μικρότητος καὶ τῆς πυκνότητος τοῦ ζῴου, καὶ τῆς δοκούσης τεκμαιρόμενοι ταχυτῆτος. ὅσων δὲ χείρων κυματώδους ὁ σκωληκίζων, τοσούτῳ ὁ μυρμηκίζων τοῦ σκωληκίζοντος, ἐσχάτην ἀρρωστίαν τοῦ ζωτικοῦ τόνου σημαίνων. ὁ δὲ σπασμώδης οὕτω καλούμενος σφυγμός, ταῖς ἐντεταμέναις καὶ ὑποκινουμέναις χορδαῖς ἔοικεν, ὥσπερ σπωμένων πρὸς τὰ ἑαυτῶν πέρατα τῶν ἀρτηριῶν. οἵδε δὲ συνίστανται ἔν τε τοῖς σπασμώδεσι πάθεσι, καὶ κατὰ τὰς φλεγμονὰς τῶν νευρωδῶν μορίων. σκληροὶ δὲ οὗτοι, καὶ οὐχὶ μείζους διὰ τὴν σκληρότητα, ταχεῖς δὲ καὶ πυκνοί, καὶ μάλισθ' ὅσον

ἡ χρεία ἐπείγει. κλονώδης δὲ πέφυκε συνίστασθαι, ὅταν ἡ μὲν δύναμις ἔῤῥωται, ἡ δέ γε χρεία εἴη ἐπείγουσα, οὐχ ὑπείκει δὲ ἡ ἀρτηρία διὰ σκληρότητα. καὶ χρεία μὲν ἢ πλεονεξία ἕπεται θερμότητος, ἢ δαπάνη τοῦ ψυχικοῦ συναύξεται πνεύματος, οὐχ ὑπείκει δὲ ῥαδίως τὰ ὄργανα, ἐμφράξεων καὶ θλίψεων καὶ σκληροτήτων ἡγησαμένων. αἵ γε μὴν σκληρότητες, ἢ φλεγμαινόντων ἢ σκιῤῥουμένων, ἢ τεινομένων τῶν ὀργάνων γίνονται. δίκροτος δὲ γίνεται, ὅταν ἐξορμήσας καὶ βραχύτερον κινηθεὶς ἐπισχεθῇ μὲν, αὖθις δὲ τὸ λεῖπον τῆς κινήσεως ἐκπεράνῃ. δεῖ γὰρ οὕτω πλήττεσθαι τὴν ἁφὴν ἐν μιᾷ διαστολῇ, τοῦ κλονώδους οὐδὲν πλέον ἔχοντος τοῦ κραδαίνεσθαι καὶ κατὰ πάντα τὰ μόρια διασείεσθαι. ὁ μέντοι δορκαδίζων κοινωνίαν ἔχων ἐν τῷ δικρότῳ κατὰ τὸ δὶς παίειν, οὐχ ὑπὸ τῆς αὐτῆς αἰτίας συνίσταται, μήτε σκληρότητος οὔσης ὀργάνων ὧδε, μήτε μὴν δυσκρασίας τινὰς ὑποφαίνεται, ἀλλ' ὅταν τῆς δυνάμεως ὅσον ἐφ' ἑαυτῇ τὸν οἰκεῖον σωζούσης τόνον, ἴσχηται τῆς κινήσεως ἡ ἀρτηρία διὰ πλῆθος ἢ θλίψιν ἢ ἔμφραξιν τῶν ὀργάνων. ἡσυχία γὰρ τηνικαῦτα διακόπτει τὴν διαστολήν. ταῦτά τοι καὶ ἑαυτὴν οἷον ἐπισυνάξασα, σφοδροτέραν πολλῷ ποιεῖται τὴν δευτέραν πληγὴν, οἱονεὶ τὰ ἅλματα μιμουμένη τῶν δορκάδων, αἳ τῷ παύειν δόξαι τῆς κινήσεως ἐφάλλονται πολλῷ σφοδρότερον αὖθις τοῦ προτέρου ἅλματος. Τοὺς δὲ δὴ μειούρους καὶ ἀπ' αὐτοῦ ἂν ἔχοις μαθεῖν τοῦ ὀνόματος, ὅσον δὴ προβαίνουσιν εἰς πέρας αὐτῶν μικροτέρους φαινομένους, μηκέτι ἰσοτόνως ὧδε διαστέλλειν τῆς δυνάμεως τὰς ἀρτηρίας δυναμένης, ὡς ἐντεῦθεν τῆς ἀτονίας τῆς δυνάμεως καταγιγνωσκομένης ἤτοι διά τινα δυσκρασίαν, ἢ διὰ πλῆθος ἐνοχλούντων χυμῶν· ἐν πᾶσι δὲ τοῦτο ἐπίστασθαι χρὴ, ὡς τοῦ μὲν ζωτικοῦ ἰσχύοντος τόνου, ἀεὶ σφοδρότης ἕπεται τοῖς σφυγμοῖς, ἀμυδρότης δὲ κατηγορεῖ δυνάμεως ἀῤῥωστίαν. ἃ γὰρ ἔξωθεν αὐτὴν βαρύνει καὶ διακόπτει τὴν δύναμιν, ταῦτα ἐν ταῖς καθ' ἕνα τε σφυγμὸν κἂν ταῖς συστηματικαῖς καλουμέναις ἀνωμαλίαις, οὐ πάνυ τοι διακόπτει τοῦ σφοδροῦ σφυγμοῦ τὴν ἔνδειξιν, κἂν μὴ ὡσαύτως ἐν ἁπάσαις φαίνηται ταῖς κινήσεσιν. εἰ μή που γε τῷ πλήθει ἢ

τῷ πάχει, ἢ ταῖς ἀξιολόγοις ἐμφράξεσιν, εἰς ἑαυτὴν τὸ πάθος καταδεξαμένη ἡ δύναμις, ἄρρωστος ἤδη γένηται, καὶ εἰς ἀμυδρότητα τὸ πᾶν ἐκτρέψῃ τῶν σφυγμῶν. τότε γάρ, ὡς ἤδη ἀπαγορευούσης τῆς δυνάμεως, τί ἕτερον ἢ θάνατον δεῖ προσδοκᾶν; σφοδρότης μὲν γὰρ σφυγμοῦ, ἀχώριστον σημεῖον δυνάμεως, καὶ ἀμυδρότης μὲν ἀεὶ κακή, ὥσπερ καὶ σφοδρότης πάντοτε ἀγαθή. δευτέρα δὲ μετὰ ἀμυδρότητα, βραδυτής, καὶ τρίτη ἡ σμικρότης, εἶτα καὶ ἀραιότης ἐπὶ πλεῖστον ἐπιταθεῖσαι. ἧττον δὲ σφοδρότητος ἀγαθαὶ ἐπιταθεῖσαι, ταχυτὴς πρῶτον, εἶτα μέγεθος, εἰ μὴ μετὰ νοσώδους ὑγρότητος εἴη.

### ιη'. Περὶ τῶν κατὰ γένος σφυγμῶν.

Ἵνα δὲ μὴ παραβλάπτῃ ἐν ταῖς διαγνώσεσί τε καὶ ἐξετάσεσι ταῖς δι' αὐτῶν θεωρουμένας διά τε τὰς ἡλικίας καὶ τὰς κράσεις καί τινα συνήθη τε καὶ κατὰ φύσιν συναντήματα, παραθήσομαί σοι καὶ τούτων ὅσα μοι δοκεῖ λυσιτελήσειν ἐν τῇ περὶ αὐτῶν θεωρίᾳ. καὶ δῆτα ἴσθι, ὡς ἄνδρες γυναικῶν μείζονα πολλῷ καὶ σφοδρότερον καὶ βραδύτερον ὀλίγον, καὶ ἀραιότερον ἱκανῶς ἔχουσι τὸν σφυγμόν, τῶν οἰκείων διαιτημάτων ἑκάστῳ γένει σωζομένων. τῶν γάρ τοι ἀνδρῶν γυμναστικωτέρων, καὶ ἄλλως φύσει θερμοτέρων τυγχανόντων, καὶ διὰ τοῦτο καὶ ἰσχυροτέρων, εἰκὸς ἐπιδίδοσθαι αὐτοῖς, διὰ μὲν τὴν χρείαν εἰς μέγεθος, διὰ δὲ τὴν ῥώμην εἰς σφοδρότητα τοὺς σφυγμούς. τῶν δὲ γυναικῶν ψυχροτέρων οὐσῶν, καὶ ἄλλως οἰκουρουσῶν, ἐκλελῦσθαι τὰ τῆς χρείας αὐταῖς εἰκός, συνητονηκέναι δὲ καὶ τὰ τῆς ῥώμης, ὥστε τῆς τε σφοδρότητος καὶ τοῦ μεγέθους λείπεσθαι. ἀλλ' ἐπειδήπερ ἔδοξε πλέον τῆς χρείας ὧδε λείπεσθαι τὸ μέγεθος, προστέθειται αὐταῖς τὸ τάχος καὶ ἡ πυκνότης. τῶν δὲ φύσει θερμοτέρων, μείζονας καὶ ὠκυτέρους καὶ πολλῷ πυκνοτέρους ἐσόψει τοὺς σφυγμούς, οὐ μὲν πολλῷ γε σφοδροτέρους. ἐκεῖνα μὲν αὐξηθέντα χρείαν εἶχέ τινα καὶ ἐπείγουσαν σφοδρότητα. καὶ οὐκ ἦν εἰκὸς οὕτως ἐπιδεδωκέναι, ὡς μὴ συναυξανομένης τῇ θερμότητι τῆς δυνάμεως, ἀλλ' ἐκ συμμετρίας χυμῶν καὶ κράσεων συνισταμένης· οἱ δ' ἰσχνοὶ μείζονα μὲν πολλῷ καὶ

ἀραιότερον πολλῷ, σφοδρότερον δὲ ὀλίγῳ τὸν σφυγμὸν ἔχουσι. μὴ διατειχιζούσης γὰρ τῆς πολυσαρκίας τὴν ἀρτηρίαν, εἴς τε μέγεθος ἡ ἀρτηρία ἐπαίρεται, καὶ ἀριδηλότερον πρὸς τῇ ἀφῇ προσπίπτει· καὶ ὡς ἐν τῷδε ἀρκουμένης τῆς χρείας, ἀφαιρεῖταί τι τῆς πυκνότητος αὐτῆς. τοσούτῳ δὲ δοκεῖ σφοδρότερος ὧδε ὁ σφυγμός, ὅσον ἐπὶ γυμνοτέρα ἡ ἀφὴ προσπίπτει τῇ ἀρτηρίᾳ.

### ιθ'. Περὶ τῶν κατὰ τὰς ἡλικίας καὶ ὥρας σφυγμῶν.

Ὡσαύτως δὲ τάχιστος ὁ τοῦ παιδίου καὶ νεανίσκου, βραδύτερος δ' ὁ τοῦ γέροντος· οἱ δὲ τῶν ἄλλων ἡλικιῶν μεταξύ· πολλῷ δὲ μείζων ἡ κατὰ τὴν ἀραιότητα διαφορὰ γέροντος πρὸς παιδίον τῆς κατὰ τάχος. ἐν δὲ τῇ κατὰ σφοδρότητα καὶ μέγεθος διαφορᾷ, μέγιστος μὲν ὡς ἐν ἡλικίαις ὁ τῶν ἀκμαζόντων, ἀμυδρότερος δὲ ὁ τῶν γερόντων, μέσος δ' αὐτῶν ὁ τῶν παιδίων βραχὺ μείζων, καὶ σφοδρότερος μὲν ὁ τῶν ἀκμαζόντων, ἀμυδρότερος δὲ ὁ τῶν γερόντων, μέσος δ' αὐτῶν ὁ τῶν παιδίων. ἐπεὶ δὲ εἴρηται, δι' ἃς μὲν αἰτίας οἱ σφυγμοὶ ἠλλοίωνται, καὶ τὰς ὡς ἐν ἡλικίαις τῶν ἀνθρώπων οἶσθα κρίσεις, εἰκὸς ἐντεῦθεν στοχαζόμενον, καὶ τὰς αἰτίας αὐτῶν ἐξευρίσκειν. κατὰ δὲ τὰς ὥρας, ἦρος μὲν τὰ μέσα, μεγίστους καὶ σφοδροτάτους ὡς ἐν ὥραις, τάχει δὲ καὶ πυκνότητι συμμέτρους. ὡσαύτως δὲ καὶ φθινοπώρου, τὰ μέσα. ἡνίκα δ' ἐπιλάβοι τὸ θέρος, ἀμυδροὶ καὶ συχνοὶ καὶ ταχεῖς καὶ πυκνοὶ γίνονται. τὸ δὲ φθινόπωρον προϊὸν, ἁπάντων ἀφαιρεῖται, μεγέθους, σφοδρότητος, τάχους, πυκνότητος, ὥστε τοῦ χειμῶνος ἐπελθόντος, εἰς μικρότητα καὶ ἀμυδρότητα, καὶ βραδύτητα καὶ ἀραιότητα τετράφθαι. ἐπεὶ δὲ καὶ τὰς ὥρας οἶσθα, ὅπως ἡμᾶς ἀλλοιοῦσι ταῖς μεταβολαῖς τῶν κράσεων, εἰκός σε καὶ τῶν κατ' αὐτὰς σφυγμῶν ἀνερευνᾶν τὰς αἰτίας, προεκτεθειμένων σοι τῶν ἐπ' αὐτοὺς αἰτιῶν, ὥστε ἐκεῖθεν δεῖ σε τὰς ἀφορμὰς λαβόντα, τὸν νοῦν γυμνάζειν οὐκ ἄχαρι γυμνάσιον.

### κ. Περὶ τῶν κατὰ τοὺς ὕπνους σφυγμῶν.

Εἶεν δ' ἂν εἴπερ τι ἄλλο καὶ οἱ ὕπνοι κατὰ φύσιν. τρέπουσι δὲ οὗτοι τοὺς σφυγμούς, καὶ ἀρχόμενοι μὲν μικροτέρους καὶ ἀμυδροτέρους καὶ ἀραιοτέρους ἐργάζονται. ἐπειδήπερ εἴσω τρέπεται τὸ θερμὸν ὧδε, καὶ ἡ δύναμις βαρύνεται, καὶ τῷ πλήθει τῶν τροφῶν ἡ φυσικὴ δοκεῖ μαραίνεσθαι θέρμη. προϊόντος δὲ τοῦ χρόνου, βραδυτῆτα μὲν ἐπιτείνουσι καὶ ἀραιότητα, καὶ μάλιστα μετὰ τὴν τροφήν. μείζους δ' εἰς ὕστερον γίνονται καὶ σφοδρότεροι· τῷ μὲν γὰρ ἤδη τετράφθαι τὸ ζῶον, καὶ περιγενέσθαι τῆς τροφῆς τὴν θέρμην, ἀνερρώσθη μὲν ἡ δύναμις, ηὔξηται δέ πως ἡ θερμότης· τῷ δὲ μὴ πάνυ τὴν χρείαν ἐπείγειν, καὶ ἄλλως τὸ τὴν συστολὴν ἐπὶ τὰ εἴσω μᾶλλον σπεύδειν, ὡς διωθεῖν τὰ περιττὰ τῆς κατεργαζομένης τροφῆς, δοκεῖ ἐπιτετάσθαι τῆς διαστολῆς τὴν βραδυτῆτα καὶ ἀραιότητα. χρονίσαντές γε μὴν οἱ ὕπνοι, τρέπουσι μᾶλλον εἰς ἀμυδρότητα τοὺς σφυγμούς, καὶ εἰκότως. ἐπεὶ γὰρ ἡ ἐπὶ μακρὸν ἐπὶ τὰ εἴσω τοῦ θερμοῦ ῥοπὴ συμπνίγειν εἴωθε τὸν τῆς καρδίας τόνον, οὐκ ἀπεικός, χρονίζοντός τινος ἐν τοῖς ὕπνοις καὶ τοῦ προσήκοντος πέρα, καὶ αὐτὸν δὴ τὸν τῆς καρδίας τόνον ἐκλύεσθαι. τῶν δ' ἐξ ὕπνου μεταπεπτωκότων εἰς ἐγρήγορσιν, ἐν μὲν τῷ παραχρῆμα μεγάλοι καὶ σφοδροὶ καὶ ταχεῖς καὶ πυκνοί, καί τινα τόνον ἔχοντες οἱ σφυγμοί, μετ' ὀλίγον δὲ εἰς συμμετρίαν ἔρχονται. ἐπὶ γὰρ ταῖς αἰφνιδίοις μεταβολαῖς, καὶ ταῦτα εἰκὸς συμβαίνειν, πολλῆς μὲν ἐξαφθείσης ἐντὸς τῆς θέρμης, πολλῶν δ' ἐν ταῖς διόδοις τῶν τε τῆς τροφῆς καὶ τῶν τοῦ πνεύματος ἀγγείων τῶν ἀτμῶν ἠθροισμένων, οὓς ἐν ταῖς βιαίαις καὶ ἀθρόαις κινήσεσιν ἴσμεν ἐξωθουμένους ῥαδίως. ταῦτά τοι τοῦ μὲν θερμοῦ ηὐξημένου, τῆς δὲ δυνάμεως ἀναρρωσθείσης, τοιοῦτοι κατὰ τὰς ἐξ ὕπνων ἐγρηγόρσεις γίνονται οἱ σφυγμοί, καὶ μικρόν τι διαμείναντες, ἐπὶ τὸ σύμμετρόν τε καὶ κατὰ φύσιν αὖθις τρέπονται.

### κα'. Περὶ τῶν κατὰ τὰ γυμνάσια καὶ λουτρὰ σφυγμῶν.

Γυμνάσια δὲ μέχρι μὲν τοῦ μετρίου μεγάλους καὶ σφοδροὺς καὶ ταχεῖς καὶ πυκνοὺς ἐργάζονται. πολλὰ δὲ καὶ

ὑπὲρ τὴν δύναμιν τοῦ πονοῦντος, μικροὺς καὶ ἀμυδροὺς καὶ ταχεῖς καὶ πυκνοὺς ἐσχάτως. τὰ μὲν γὰρ πρῶτα, τῇ τε τοῦ πνεύματος δαπάνῃ, καὶ τῇ τῆς θέρμης αὐξήσει, μεγάλοι τε καὶ ταχεῖς, καὶ πυκνότητα ἴσχει, σφοδρότητα δὲ τῇ τῆς δυνάμεως διεγέρσει· τὰ δὲ δεύτερα, τῇ ἐπὶ πλέον τοῦ θερμοῦ διαφορήσει, καὶ τῇ τῆς δυνάμεως ἐκλύσει, ἀμυδρούς τε καὶ μικροὺς ἀπογεννᾷ τοὺς σφυγμούς. λουτρὰ δὲ θερμὰ μὲν, μεγάλους καὶ ταχεῖς καὶ πυκνοὺς καὶ βραχὺ σφοδροτέρους, ἔστ' ἂν ᾖ σύμμετρα. τὰ δ' ἄμετρα, μικροὺς καὶ ἀμυδρούς, ὠκεῖς δέ τι καὶ πυκνούς. εἰ δὲ μὴ ἐν τούτῳ παύσαιντο, μικροὺς καὶ ἀμυδροὺς καὶ βραδεῖς καὶ ἀραιούς. ψυχρὰ δὲ λουτρὰ παραχρῆμα μὲν μικροὺς καὶ ἀμυδροτέρους καὶ βραδεῖς καὶ ἀραιούς, ὕστερον δὲ ναρκάσαντα μὲν καὶ ψύξαντα, μικροὺς καὶ ἀμυδροὺς καὶ βραδεῖς. ἐκθερμάναντα δὲ καὶ ῥώσαντα, μεγάλους τε καὶ σφοδρούς, τάχει δὲ καὶ σφοδρότητι συμμέτρους. σιτία δὲ τὰ μὲν πολλά, ὥστε βαρύναι τὴν δύναμιν, ἀνωμάλους καὶ ἀτάκτους τοὺς σφυγμοὺς ἐργάζονται. τὰ δὲ σύμμετρα μεγάλους καὶ σφοδροὺς καὶ ταχεῖς καὶ πυκνούς. τὰ δὲ ἐλάττω ἢ ὥστε τρέφειν αὐτάρκως, ὁμοίως τοῖς συμμέτροις, ἀλλ' ἐλάττονά τε τὴν τροπὴν ἐργάζεται καὶ μέχρι χρόνου βραχέος.

κβ'. Περὶ τῶν κατὰ τὸν οἶνον καὶ τὰς λοιπὰς τροφὰς σφυγμῶν.

Οἶνος δὲ τὰ μὲν ἄλλα παραπλησίως σιτίοις τρέπει τοὺς σφυγμούς, διαφέρει δὲ τῷ τε παραχρῆμα τὴν τροφὴν ἐργάζεσθαι, καὶ προτέραν τὴν ἀπ' οἴνου παύεσθαι τῆς ἀπὸ σιτίων, καὶ τὸ τάχος ἐπαύξειν καὶ τὸ μέγεθος, ἤπερ τὴν σφοδρότητα καὶ πυκνότητα. σχεδὸν γὰρ ὅσῳ σφοδροτέραν καὶ διαρκεστέραν ἰσχὺν ἡ σύμμετρος τροφὴ παρέχει τοῖς σφυγμοῖς, τοσούτῳ τὸ μέγεθος αὐτῶν ὁ οἶνος ἐξαίρει.

κγ'. Περὶ τῶν κατὰ τὰ ψυχικὰ πάθη σφυγμῶν.

Ἡδονῆς δέ, μέγας καὶ ἀραιὸς καὶ βραδύς, οὐ μὴν σφοδρότητι διάφορος. διαχεῖται γὰρ ἡ θέρμη εἰς ἅπαν τὸ σῶμα, καὶ ἡ εἰς τὰ ἐκτὸς αὐτοῦ κρατεῖ κίνησις, ὥσπερ καὶ τοῖς λυπουμένοις ἐντός. λύπης δέ, μικρὸς καὶ βραδὺς καὶ

ἀραιός. φόβου δὲ τοῦ μὲν ὑπογύου καὶ σφοδροῦ, ταχὺς καὶ ἄτακτος καὶ ἀνώμαλος, τοῦ δὲ ἤδη κεχρονισμένου, οἷον ὁ τῆς λύπης.

κδ΄. Περὶ τῶν κατὰ τὰς ὀδύνας καὶ φλεγμονὰς σφυγμῶν.

Ἄλγημα δὲ σφοδρὸν ἢ ἐν καιρίοις μορίοις ἀρχόμενον μέν, μείζονα καὶ σφοδρότερον καὶ ὠκύτερον καὶ πυκνότερον τὸν σφυγμὸν ἐργάζεται. αὐξηθὲν δέ, ὡς ἀδικεῖν ἤδη τὸν ζωτικὸν τόνον, μικρότερον καὶ ἀμυδρότερον καὶ ταχὺν καὶ πυκνόν. τὸ δὲ ἤδη διαλῦον τὴν δύναμιν, εἰς ἀμυδρότητα καὶ μικρότητα καὶ τάχους ψευδῆ φαντασίαν καὶ ὑπερβάλλουσαν πυκνότητα, τὴν τροπὴν ἐργάζεται. φλεγμονῆς δὲ ἁπάσης ὁ μὲν κοινὸς οἷον ἐμπρίων ἐστίν, ὡς δοκεῖν, τὸ μέν τοι διεστάλθαι τῆς ἀρτηρίας, τὸ δέ, μή, σκληροτέρας φαινομένης δηλονότι αὐτῆς. ἔχει δέ τι καὶ κλονῶδες ὁ σφυγμὸς οὗτος, καὶ ταχὺς μέν ἐστι καὶ πυκνός, οὐκ ἀεὶ δὲ μέγας, καὶ ἀρχόμενος μέν, μείζων τοῦ κατὰ φύσιν, καὶ σφοδρότερος, καὶ ὠκύτερος καὶ πυκνότερος, αὐξανομένης δ' ἔτι, ταῦτα προσαύξει πάντα, καὶ σαφῶς σκληρότερός ἐστι καὶ κλονωδέστερος. τῆς δ' ἀκμαζούσης, σκληρότερος μὲν καὶ κλονωδέστερος, οὐ μὴν πυκνότερος γίνεται καὶ ταχύς. εἰ δ' ἱκανῶς χρονίζοι, καὶ ἤδη σκληρύνοιτο σκιρρωδῶς, τοῖς εἰρημένοις ἰσχνότης σφυγμοῦ καὶ πυκνότης προσγίνεται. ταῦτα ἐπὶ τὸν τῆς ἐν ὅλῳ τῷ ζώῳ τρεπούσης φλεγμονῆς σφυγμόν, διὰ μέγεθος ἢ διὰ τὸ καίριον τοῦ μέρους, ἐν ᾧ συνέστη.

κε΄. Περὶ τῶν κατὰ τὰς διαφορὰς τῶν μορίων ἀλλοιουμένων σφυγμῶν.

Ἐπιτείνεται δὲ καὶ ἀνίεται τῶν εἰρημένων ἕκαστον τὸ ποσὸν τῆς φλεγμονῆς καὶ παρὰ τὴν αὐτοῦ τοῦ φλεγμήναντος ὀργάνου φύσιν. τὰ μὲν γὰρ νευρωδέστερα μέρη, σκληροτέρους ἐργάζεται καὶ μικροτέρους καὶ μᾶλλον ἐμπρίοντας, τὰ δὲ φλεβωδέστερα καὶ ἀρτηριωδέστερα, τοὺς ἐναντίους. αὐτῶν δὲ τούτων μείζων, ὁ ἐν ἀρτηριώδεσι, καὶ ῥᾳδίως ἀνώμαλος καὶ ἄτακτος γινόμενος. δῆλον οὖν ἤδη καὶ ὁ τῶν τὸ ἧπαρ φλεγμαινόντων σφυγμός, ὁποῖος ἔσται, καὶ ὁ τῶν τὸν σπλῆνα καὶ νεφροὺς καὶ κύστιν, κῶλόν τε

καὶ γαστέρι, καὶ ὁ τῶν πλευριτικῶν καὶ περιπνευμονικῶν, καὶ πάντων ἁπλῶς, ὧν τῇ τοῦ μέρους φλεγμονῇ πυρετὸς ἕπεται. καὶ τὰ μὲν αἰσθητικώτερα μέρη διὰ τὰς ὀδύνας τρέπει τοὺς σφυγμούς, τὰ δ' ἀναισθητότερα, κατὰ τὴν διάθεσιν μόνην. ἀλλ' ἐπειδή σοι καὶ τὴν περὶ τῶν σφυγμῶν, ὡς οἷόν τε διὰ βραχέων ἐξεθέμεθα μέθοδον, ἔχοις γὰρ ἂν ἐντοῦθεν καὶ τὰ μὴ ῥηθέντα συνιδεῖν, ἀγχίνους ὢν καὶ περὶ τοιαύτην θεωρίαν δεικνύμενος σχετικῶς, δέον ἂν εἴη ἐπιθεῖναί σοι μετὰ τοῦτο τὸν περὶ τῶν οὔρων λόγον, τὰ μέγιστά σοι συνοίσοντα.

### κϛ'. Περὶ τῶν ἀπὸ τῶν οὔρων σημαινομένων.

Ἐπειδὴ γὰρ τὸ μὲν ἧπαρ δέδεικται ὄργανον αἱματώσεως, ὡς ἐκ πηγῆς δ' αὐτοῦ οἷά τινες ὀχετοὶ τὸ τῶν φλεβῶν γένος κατακερματίζουσιν εἰς ἅπαν τὸ ζῶον τὸ αἷμα, περίττημα δὲ αἵματος τὸ οὖρον πέφυκεν, εἰκότως ἂν τὰς ἐκεῖ που γενομένας πέψεις καταγνοίης καὶ ἀπεψίας, ἐνδείας τε καὶ πλεονασμοὺς καὶ δυσκρασίας καὶ ἐπικρατείας χυμῶν, σήψεις τε καὶ διαφθορὰς καὶ πᾶν ὅ,τι περὶ τὸ ἧπαρ καὶ τὸ φλεβῶδες γένος συνίστασθαι πέφυκεν, οὐχ ἧττον δὲ καὶ ὅσα τῇ κοινωνίᾳ τούτου γνωρίζεται. ὥσπερ γὰρ αἱ τῶν ἀρτηριῶν κινήσεις τὰς τῆς καρδίας αὐτῆς διαθέσεις, καὶ τὰς ἀφ' ἑτέρων προπεπονθότων ταύτης δευτέρας διαθέσεις ἐσήμαινον. οὐ γὰρ ἂν μεταβληθεῖεν αἱ ἀρτηρίαι, μὴ πρότερον τῆς καρδίας μεταβληθείσης· οὕτω δὴ καὶ τὰ οὖρα. πρώτως μὲν τὰς καθ' ἧπάρ τε καὶ φλέβας διαθέσεις καὶ τὰς κατ' αὐτὰς πέψεις σημαίνουσι. τῇ κοινωνίᾳ δὲ καὶ συμπαθείᾳ, οὐκ ὀλίγαι διαθέσεις καὶ ἑτέρων μορίων ὀργανικῶν, ὧδε διαφαίνονται, ἰδίᾳ δὲ τὰ ἥπατος πάθη.

### κζ'. Περὶ τῶν τοῦ ἥπατος παθῶν.

Ῥητέον δὲ περὶ τούτου πρότερον. τὰ μὲν πρῶτα καὶ κοινὰ τοῖς ἄλλοις, δυσκρασίαι καὶ ἐμφράξεις τῶν πόρων, ἀπό τινων ἐνσκηψάντων χυμῶν, καὶ ἐμπνευματώσεις, φλεγμοναί τε καὶ σκίρροι μετὰ φλεγμονῆς, τὰ μέγιστα λυμαινόμενοι· τὰ δὲ ἴδια, ἴκτεροι καὶ εἴ τι ἕτερον περὶ τὴν

χοληδόχον κύστιν γινόμενον, ὥσπερ ἡ ἡπατῖτις, καὶ αὐτὴ τοῖς πολλοῖς δυσεντερία ἡπατῖτις καλουμένη, καὶ προσέτι ὁ διαβήτης, ὃς καὶ εἰς οὖρα διάρροια λέγεται. κἂν συνεπικοινωνῶσι τῷ ἥπατι τοῦ πάθους οἱ νεφροί, καὶ ψῦξις μὲν τοῦ ἥπατος, ἀσθενεστέραν τὴν ἐξαιμάτωσιν ἂν παρασκευάσειεν, ὑφ' οὗ αἱ ὑδαλεώδεις ἕξεις τε καὶ καχεκτικαὶ γίνονται, θέρμη δὲ πλεονεκτήσασα, ἤδη πυρετοὺς ἐγείρει, καὶ τὴν ἐν αὐτῇ χολὴν ἐκκαίει, κἂν μὲν ἄνω ἢ κάτω φέροιτο αὕτη, ῥᾷόν τε ὁ κάμνων ἀπαλλάττεται, καὶ οὐδεὶς ἐσύστερον ἀπαντᾷ κίνδυνος. ἢν δ' εἰς αὐτὰ κίνδυνος φλέβας τε καὶ μέχρις αὐτοῦ τοῦ δέρματος ἀναχυθῇ, ἴκτερος μὲν τοδὶ τὸ πάθος λέγεται. κρίνεται δέ, ἐπὶ προηγησαμέναις πέψεσιν. ἢν μὲν γὰρ ὦσι πέψεις προηγησάμεναι, τὸ πλέον λόγῳ κρίσεως ταῦτα γίνεται. εἰ δ' οὖν, ἤτοι πλήθει ἐκνικήσας ὁ χυμὸς καὶ βαρύνας ἴσχυσεν, ἢ τῆς καθεκτικῆς δυνάμεως ἡττονηκυίας, ἡ τῆς χολῆς ἀνάχυσις σύμβολον. κἂν μὲν οὖν ἐπικρατοῦσα ἔτι ἡ φυσικὴ τελοίη δύναμις, ἐλπὶς τοῦ πάθους ἀπαλλαγῆναι τὸν κάμνοντα. εἰ δ' ὡς ἡττονηκυία καὶ αὕτη φαίνεται, τί χρὴ προσδοκᾶν ἢ τὰ χείριστα; ἐνίοις γε μὴν ὁ τοιοῦτος ὑπεραυξηθεὶς χυμὸς διά τινα εἰς τοῦτο συντελοῦσαν δίαιταν, καὶ μὴ τὴν κατὰ φύσιν εὐθυπορήσας ἔξοδον, ὡσαύτως τὸν ἄνευ ἐπιδήλου πυρετοῦ ἐπάγει ἴκτερον, ὃς δὴ καὶ ῥᾷόν τε καὶ ἀκινδύνως λύεται, καλῶς τοῦ ἀνθρώπου διαιτηθέντος. ἢν γε μὴν εἰς φλεγμονὴν τὸ ἧπαρ παρατραπείη, τῶν μὲν κυρτῶν αὐτοῦ τὸ πάθος καταδεδεγμένων, βηχία μᾶλλον ἐρεθίζουσι ξηρά, καὶ πλείων ὧδε θέρμης αἴσθησις, ἔσθ' ὅτε καὶ ὀδύνης. τῶν δὲ σιμῶν τοῦ ἥπατος φλεγμαινόντων, μᾶλλον ὧδε ἔμετοι ἐρεθίζουσι, φλεγμάτιά τινα μετὰ χολῆς τὸ πρότερον ἀνάγοντες ἐς ὕστερον δέ, ὅ,τι καὶ λόγου ἄξιον, καὶ πολλῷ ἧττον οἷδε τῶν προτέρων διψώδεις. εἰς σκίρρον δὲ τῆς φλεγμονῆς τραπείσης, βραχεῖαί τινες ἐλπίδες σωτηρίας, κἂν μὴ τάχιον ὁ θάνατος αὐτοῖς ἐπιγένηται. φθάσαν γὰρ ἤδη σκιρρωθῆναι τὸ ἧπαρ, τὸ μὲν εἰς ὑγίειαν ἐπανελθεῖν, τῶν δυσχερεστάτων τῇ φύσει δοκεῖ, αἱμάτωσιν δ' ἀγαθὴν ἀφ' οὕτω καιρίου μορίου καμόντος οὐκ ἔστι γενέσθαι. λείπεται τοίνυν, ὑδαλέου τοῦ αἵματος καὶ ἀτελοῦς γενομέ-

νου, ὑπὸ τοιούτου μὲν ἀναφερομένου δῆθεν, τρέφεσθαι τὸ σῶμα, ὑδέρους δ᾽ ὧδε τοὺς ἀνὰ σάρκα μᾶλλον ἀποτελεῖσθαι, ἀναδιδομένου μὲν, μὴ προσφυομένου δὲ τοῦ μοχθηροῦ τούτου καὶ ὑδαροῦς αἵματος, ὥστε καὶ τῶν ἄλλων μᾶλλον τούτους ὡς ἀπὸ τοιαύτης αἰτίας συστάντας, οἴεσθαι δεῖν ἀψύκτους ὑδέρους· ἐμφράξεις δὲ οὐκ ἀγεννεῖς τοῦ ἥπατος διά τινας ἐκεῖ ἐπιρρυέντας χυμοὺς, καὶ μύσεις τῶν πόρων διά τινας ἡγησαμένας ξηρότητας, τὰ μὲν πρῶτα τὰς ἀναδόσεις ἐλλιπεῖς ποιοῦσιν. ἐς ὕστερον δὲ καὶ μᾶλλον αἱ ἐμφράξεις εἰς σκιρρώδεις διαθέσεις καθιστῶσι τὸ σπλάγχνον. Τὰ παραπλήσια δὲ καὶ ὁ σπλὴν πάσχων, ἧττον τῶν προτέρων βαρύνει καὶ λυπεῖ τὸν πάσχοντα. καὶ ἄμεινον οἱ τοῖς τούτου πάθεσιν ἁλόντες ἀπαλλάσσονται. ὑπεραυξηθέντων δὲ τῶν κατ᾽ αὐτὸν παθῶν, τότε ἧπαρ ἀντιπαρακείμενον, τῆς ἐξ αὐτοῦ μεταλαμβάνει κακίας, καὶ τῷ χρόνῳ εἰς αὐτὸ τὸ ἧπαρ τὰ τοῦ κινδύνου περιΐσταται. ὁποῖον δὲ κατὰ τὸ ἧπαρ ὁ ἴκτερος εἴρηται συμβαίνειν, παραπλήσιός τις καὶ ὁ ἐπὶ τοῦ σπληνὸς παθόντος, μελαντέρου τοῦ χρώματος φαινομένου, γίνεται, τοῦ ἐν αὐτῷ ἀναχεομένου χυμοῦ καθ᾽ ὅλου τοῦ σώματος, μὴ τυχόντος δὲ οἰκείου τοῦ πάθους ὀνόματος· οἱ μὲν οὖν αὐτῶν πρός τι ὕπωχρον, οἱ δὲ πρὸς τὸ χλωρὸν, ἄλλοι δὲ πρὸς τὸ πελιδνὸν ἢ μελάντερον τρέπονται, κατὰ τὴν τοῦ τυχόντος χυμοῦ χροιὰν καὶ ποιότητα. πάντες δ᾽ ἕτεροι τῶν ἰκτεριώντων φαίνονται, καὶ τὸν νοῦν ἐπιστήσας ἐπὶ διαφόροις σπληνώδεσιν ἀνθρώποις, εἴσῃ τὰ λεγόμενα. καὶ ταῦτα μὲν οὕτω. νυνὶ δ᾽ ἐπανιτέον ἐπὶ τὰ πρότερα.

κη΄. Περὶ τῆς κατὰ τὸ ἧπαρ οἰκονομίας τῆς τροφῆς.

Καὶ δὴ τοῦ ἥπατος διὰ τῶν ἐξ αὐτοῦ καθηκουσῶν ἐπί τε τὴν γαστέρα καὶ τὰ ἔντερα φλεβῶν, ἐπισπωμένου τε καὶ οἱονεὶ βδάλλοντος, ὅσον ἐν αὐτοῖς χυμῶδες καὶ εὔχρηστον, δευτέρα τις αὖθις παρὰ τὰ κοῖλα γίνεται τοῦ ἥπατος διάκρισις· τὸ μὲν γὰρ οἷον ἄνθος καὶ κουφότερον, τῆς ἐπὶ τὰ κυρτὰ τοῦ ἥπατος ἐπισπωμένης κύστεως, ἣν δὴ καὶ χοληδόχον φαμέν. ὅσον δὲ τρυγῶδές τε καὶ δυσδιεξ-

ἴτητον, ἀνθέλκει τε καὶ ἀνιμᾶται ὁ σπλήν. τὸ δ' ἀκραιφνὲς καὶ εἰς τροφὴν λοιπὸν ἐπιτήδειον, ἔτι συνημμένον ὂν τῷ ὀρρώδει τούτῳ χυμῷ, διὰ τῶν κοίλων ἐπὶ τὰ κυρτὰ τοῦ ἥπατος, ὥσπερ προοδοποιῷ αὐτῷ δὴ χρώμενον τῷ ὀρρῷ, ἐπεὶ μηδ' ἄλλως ἐνὸν ἐφαίνετο τὸ αἷμα διὰ στενῶν καὶ δυσδιεξιτήτων πόρων καὶ φλεβῶν χωρεῖν, παχύ τε ἱκανῶς ὂν καὶ στάσιμον, ἀλλὰ γὰρ ἐπὶ τὰ κυρτὰ χωρῆσαν ἤδη καὶ τῆς κοίλης φλεβὸς ἁψάμενον, κατὰ μὲν τὴν λαμβδοειδῆ διασχιζόμενον ἐκεῖ που παρακειμένην, καὶ συνεπισπωμένων τὸν ὀρρὸν τῶν νεφρῶν, τὸ μὲν ἐπὶ τὰ κάτω χωροῖ τοῦ σώματος θρέψον, τὸ δ' αὖ ἐκεῖθεν εἰς τὴν καρδίαν φέρεται, καὶ ὡς ἐκ πηγῆς ἑτέρας ἐπὶ τὰ λοιπὰ τοῦ σώματος χωρεῖ μέλη καὶ μέρη. οὐδὲν οὖν ἀπεικὸς ἀφ' οὕτω χρονίσαντος καὶ συνδιατρίψαντος τῷ αἵματι χυμοῦ πολλά τινα καταμανθάνειν, ὥσπερ ἔκ τινος ἡμῖν σπουδαζομένου χωρίου ἀψευδοῦς τινος ἐπανιόντος ἀγγέλου. εἰ δὲ καὶ τούτου πλέον παραμείνας ἕτερος ἐπανήξει ἄγγελος, ὑπ' αὐτὴν δηλαδὴ τὴν τοῦ αἵματος εἰς τὸ ἑξῆς μεταβολήν, ὃ δὴ καὶ ὑπόστασιν ἐν οὔροις φαμέν, ὀλίγα ἂν ἴσως τῶν ἐπὶ ταῖς πέψεσι γενομένων λάθῃ τὸν τοῖς γεγραμμένοις προσέχοντα τὸν νοῦν. καὶ τοίνυν ὥσπερ ἀπό τινος κανόνος τοῦ συμμέτρου οὔρου τῆς ὑποθέσεως ἡμμένοι, οὕτω καὶ ἐπὶ τὰ πόρρω τοῦ συμμέτρου τε καὶ κατὰ φύσιν χωρῶμεν.

### κθ'. Περὶ τοῦ συμμέτρου καὶ κατὰ φύσιν οὔρου.

Οὖρον τοίνυν ἄριστον τῷ κατὰ πάντα συμμέτρῳ ἀνθρώπῳ, ὑπόξανθον ἢ ὑπόπυρρον, καὶ τῇ συστάσει σύμμετρον, ἀναλόγως ἔχον καὶ τὸ ποσὸν τοῦ πινομένου, ὑπόστασίς τε τούτῳ λευκὴ καὶ λεία καὶ ὁμαλή. οὗτος ὁ κανὼν τῆς θεωρίας νῦν προκείσθω τῶν οὔρων. ἀλλ' ἐπειδὴ περὶ ποσοῦ καὶ χρώματος καὶ συστάσεως καὶ παρυφισταμένου ὑφηγεῖται ὁ ὅρος, χρεὼν περὶ ἑκάστου φάναι πλατύτερον, καὶ δὴ περὶ χρωμάτων ῥητέον πρότερον.

λ'. Περὶ τῶν κατὰ τὰ οὖρα χρωμάτων καὶ τῆς ἐξ αὐτῶν διαγνώσεως.

Πολυειδῶς οὖν ὑποχρωννυμένων τῶν οὔρων, διά τε τοὺς χυμοὺς αὐτοὺς καὶ τὰς ἐπιπλοκὰς αὐτῶν καὶ τὰς διαφόρους πέψεις, ἔν σοι διὰ πάντων ἐν μνήμῃ ἔστω, ὡς ὅσα ἂν ἐγγύτερον τοῦ κατὰ φύσιν ᾖ, ἐκεῖνα οἷον καὶ ἀσφαλέστερα, συνεξακολουθοῦντα δηλαδὴ τοῖς ὑγιεινοῖς μὴ μόνον χρώμασιν, ἀλλὰ καὶ συστάσει, καὶ παρυφισταμένοις συμμέτροις. εἰ γὰρ ἄλλως πολλῷ ταῦτα λείποιτο, μόνοις χρώμασιν οὐ δεῖ πιστεύειν. καὶ δὴ τὰ μὲν ἀπὸ τοῦ συμμέτρου ἐπὶ τὸ ὑφειμένον χωροῦντα τοῦ χρώματος, ὠχρὰ καὶ ὕπωχρα ἂν εἴη, χαροπά τε καὶ λευκά, οἷον τὰ ὑδατώδη καὶ γαλακτώδη, ἃ δὴ κατὰ τὸ μᾶλλόν τε καὶ ἧττον τὴν διαμαρτίαν ἐπισημαίνει τῆς πέψεως· ὠχρὰ μὲν γὰρ ἧττον διαπεφευγέναι δηλοῖ τὴν πέψιν, μᾶλλον δὲ τὰ ὕπωχρα, ἐφεξῆς δὲ τούτοις τὰ χαροπά. τὰ δέ γε λευκὰ καὶ οἷον ὑδατώδη, μικροῦ δεῖν μηδ' ἐγχειρῆσαι δηλοῖ τὴν φύσιν τῇ πέψει τῶν χυμῶν. καὶ ταῦτα μὲν ἐπικρατούσης γίνεται ψύξεως ἤτοι διὰ κρᾶσιν ἢ δίαιταν ἢ ἡλικίαν ἢ ἐπὶ ψυχρὸν ἀρρώστημα· ἔσθ' ὅτε γε μὴν ἐπὶ φρενίτισιν ὀλεθρίαις, καὶ λοιμώδεσί τισιν ἀρρωστήμασι, καὶ ἀξιολόγοις τισὶν ἐμφράξεσι, λευκά τισιν ἐπιφαίνεται οὖρα, καὶ τὰ μὲν ὡς ἄνω τρέχοντος τοῦ χρωννύντος χυμοῦ, τὰ δ' ὡς διϋλιζόμενα. ἐκεῖνα δ' ὡς ἐπ' ὠμοτέροις λέγομεν συνίστασθαι χυμοῖς, συσσαπεῖσι καὶ μηκέτι διακριθεῖσι συναναφαινόμενα· οἷς δεῖ σε παρηκολουθηκότα μὴ κατὰ τοὺς πολλοὺς ἀπατᾶσθαι. καὶ τὰ μὲν ἐπὶ τὸ λευκὸν ἀπὸ τοῦ συμμέτρου ἀποχωροῦντα οὖρα, τοιαῦτα ἂν εἴη, καὶ διὰ τοιαύτης γένοιτ' ἂν αἰτίας. ἃ δ' ἐπὶ τὸ πλέον τῆς βαφῆς χωρεῖ, πρῶτα μὲν ἂν εἴη πυῤῥά τε καὶ ξανθά, ἐφεξῆς δὲ ὑπέρυθρά τε καὶ ἐρυθρά, εἶτα οἰνωπά τε καὶ κυανά, χλωρά τε ἐπὶ τούτοις καὶ πελιδνά, εἶθ' οὕτως μέλανα. καὶ τὰ μὲν πυῤῥά τε καὶ ξανθά, γένοιτ' ἂν καὶ διά τινα μέτριον πυρετόν, καὶ οἷοι οἱ ἐφήμεροι, καὶ διὰ κόπον τε καὶ ἀγρυπνίαν καὶ θερμοτέραν δίαιταν, καὶ ὅ,τι ἂν τοιοῦτον λογίσαιο, μετρίως τὴν θέρμην ἐπιτεῖναι δυνάμενον· ὑπέρυθρα δὲ καὶ ἐρυθρὰ τί ἂν ἕτερον ὑποδείξαιεν, ἢ θέρμην ἤτοι οὖσαν ἢ ὅσον οὔπω ἐσομένην, ἐπὶ πλήθει μήπω κα-

λῶς κατεργασθέντος αἵματος. ἐντεῦθεν δὲ ἄρα τοὺς συνόχους φασὶ τῶν πυρετῶν τὰς ἀφορμὰς λαμβάνειν. τά γε μὴν οἰνωπά τε καὶ κυανὰ καὶ χλωρά, ἤδη μὲν ἐπ' ἄλλο εἶδος μοχθηρίας χυμῶν τὸ αἷμα διασημαίνει τετράφθαι, οὐχ ἧττον δὲ τοὺς χολώδεις συσσαπέντας χυμοὺς ἀκμάζειν, πολυειδεῖς καὶ αὐτοὺς τυγχάνοντας, ὠχροὺς καὶ ξανθούς, ἰατώδεις δέ τινας, καὶ ἰώδεις, πρασοειδεῖς τε καὶ ἐρυθροὺς καὶ μέλανας. τά γε μὴν μέλανα τῶν χρωμάτων ἔτι χείρονα καὶ τούτων τυγχάνει. σημαίνει δὲ ψύξιν μὲν ἐπιτεταμένην, πελιδνῶν δηλαδὴ προηγησαμένων οὔρων· οὐχ ἧττον δὲ ἀπὸ μεγίστης θέρμης τῶν χυμῶν δι' ὑπερόπτησιν, τοιαῦτα γίνεται. διακρίνεται δὲ τῶν προῤῥηθέντων ταῦτα, τῷ οἰνωπά τε καὶ κυανὰ καὶ χλωρὰ τῶν τοιούτων προηγήσασθαι οὔρων, ὥστε καὶ ὡς εἰς ἄκρον κακίας ἥκοντα, θάνατον τὸ πλέον προσημαίνει. τοὺς γάρ τοι χρονίοις τεταρταίοις καὶ μελαγχολίαις ἁλόντας, μόνους οἶδα σωζομένους ἐπὶ τοιούτοις οὔροις, ἅτε δὴ τοῦ ἐνοχλοῦντος λόγῳ κρίσεως, ἐνθένδε ἀποκρινομένου χυμοῦ, καὶ χλωρὰ μέν, μοχθηρᾶς τινος καὶ διεφθορυίας χολῆς σημαίνει ἐξόπτησιν. τὰ δὲ ἐλαιόχροα καὶ ἐλαιοφανῆ καὶ ἐλαιώδη, τὸ πλέον ἐπὶ ταῖς ἀρχαῖς τῶν ἑκτικῶν συνίστασθαι πέφυκε πυρετῶν, συντηκομένης ἤδη τῆς πιμελῆς, ὧν τὰ μὲν ἐλαιόχροα καὶ ἐλαιοφανῆ, ἀρχομένης ἤδη τήκεσθαι τῆς πιμελῆς τεκμήρια, τὰ ἐλαιώδη, καὶ κατατηκομένης· καὶ ὁ μὲν περὶ χρωμάτων λόγος τοιοῦτος ἂν εἴη, ὡς ἐν βραχεῖ γοῦν φάναι. ἑξῆς δὲ περὶ συστάσεως ῥητέον τοῦ χύματος.

### λα'. Περὶ τῆς ἐκ τῶν συστάσεων τῶν οὔρων διαγνώσεως.

Ὥσπερ οὖν ἐν ἄλλοις ἡ τῶν ἀκροτήτων μεσότης προτέτακται, οὕτω δὴ καὶ ἐνταῦθα ἡ σύμμετρος τῶν συστάσεων. τά τε γὰρ πάνυ λεπτὰ φεύγειν χρή, ὡς ἀπεψίαν ἐσχάτην σημαίνοντα, καὶ τὰ πάνυ παχέα οὐχ ἧττον φαῦλα λογίζεσθαι· τὰ μὲν γὰρ πρῶτα, μὴ ἐπιχειρεῖν τῇ πέψει δηλοῖ τὴν φύσιν διὰ ποιότητά τινα μᾶλλον ἐπιταθεῖσαν ἁπλῆν, ἢ τινῶν χυμῶν ποσότητα. τὰ δεύτερα δέ γε, διὰ ποσότητα μᾶλλον ἢ ποιότητα· ταῦτά τοι καὶ στίλβοντα

μὲν ἐκεῖνα καὶ πάνυ διαφανῆ, ταῦτα δ' ἀνατεταραγμένα καὶ θολερά. διδάξουσι δὲ τοὺς χυμοὺς καὶ τὰς κατὰ ποσὸν κακίας αὐτῶν τὰ συναναφαινόμενα ταῖς συστάσεσι χρώματα. ἀμείνους δὲ τῶν λεπτῶν συστάσεων αἱ μετὰ τῶν ἐγγὺς τοῦ ὑποπύρρου τε καὶ ὑποξάνθου συνιστάμεναι χρωμάτων· τῶν παχυτέρων δὲ αἱ τὰς λεπτὰς διαδεξάμεναι, καὶ τούτων αἱ τάχιον διακρινόμεναί τε καὶ καθιστάμεναι. αἱ γὰρ ἐξ ἀρχῆς παχεῖαί τε καὶ μὴ διακρινόμεναι, χείρους, πλῆθός τε καὶ ἀδυναμίαν τῆς πεπτικῆς δυνάμεως ὑπεμφαίνουσαι, καὶ αἱ μὲν πάνυ λεπταί, συστάσεις μετὰ τῶν καταλλήλων χρωμάτων, ψύξεως ἀμετρίας καὶ ξηρότητος, καί τινας ἀμέτρους ἐμφράξεις καὶ ἀτονίας σπλάγχνων, διά τινας δυσκρασίας τὸ πλέον σημαίνουσιν, οὐχ ἧττον δὲ καὶ θερμότητα μετὰ ξηρότητος, συνεπιμαρτυρουσῶν εἰς τοῦτο καὶ τῶν συμπαραμιγνυμένων ταῖς συστάσεσι χροιῶν. ταῦτά τοι καὶ ἀγρυπνίαι μᾶλλον καὶ σκοτόδινοι, σιτίων τε ἀποστροφαί καὶ δίψαι, καί τινα τοιαῦτα ἕπεται συναντήματα, τὰ δ' ἔνωμα καὶ θολερὰ καὶ παχέα τῶν οὔρων, ἀκμάζειν μὲν σημαίνει τοὺς χυμούς, οὓς ὑπεμφαίνει τὰ χρώματα· ἀδίψους τε τοὺς πάσχοντας ὧδε τὸ πλέον ἐστὶν ἰδεῖν, ὥστε ἀτμῶν πλειόνων ὧδε ἐπὶ πλήθεσιν ἀναγομένων χυμῶν, βάρη τε καὶ κεφαλῆς ὀδύναι ἕπονται, οὐχ ἧττον δὲ καὶ οἵδε τῶν πρώτων ἀποστρέφονται τὰ σιτία, κἂν μὴ ἐπὶ ταῖς αὐταῖς αἰτίαις συμβέβηκεν. ἐκεῖ μὲν γάρ, ξηρότητος ἐπικρατούσης, ἀλογεῖν ξηρᾶς τροφῆς τὴν φύσιν γίνεται, μᾶλλον δεομένην τέγγοντος. ὧδε δ' ἔξεστιν αὐτῇ πλειόνων, ὡς παρακειμένων ἐπαπολαύειν χυμῶν, ὥστε μὴ τῶν θύραθεν εἰσαγομένων δεῖσθαι. ἀλλ' ὁ μὲν περὶ συστάσεως τοῦ χύματος λόγος, ἱκανῶς ὧδε ἔχει ῥηθεὶς βραχυλογεῖν σπουδάζουσιν. λείποιτο δ' ἂν ἤδη καὶ περὶ παρυφισταμένων ἐρεῖν.

### λβ'. Περὶ τῆς ἐκ τῶν παρυφισταμένων διαγνώσεως.

Ἐπεὶ τοίνυν ὑγιᾶ καὶ κατὰ φύσιν ἔφαμεν τελεῖν τὴν λευκὴν καὶ λείαν καὶ ὁμαλὴν ὑπόστασιν, εἰκότως ἂν λογίσαιο, τὰς μὴ τοιαύτας οὐκ ἀγαθάς· τοσοῦτο δ' ἐπὶ τὸ πονηρότερον προηγμένας, ὁπόσον δηλαδὴ καὶ τὴν κατὰ φύ-

*σιν τε καὶ σύμμετρον ἐκπεφεύγασιν, ἥτις ἔν τε χρώμασι καὶ συστάσει, θέσει τε καὶ ὁμαλότητι καὶ λειότητι φαίνεσθαι πέφυκεν. ἀλλ' ὁ μὲν περὶ χρωμάτων λόγος, τῶν παρυφισταμένων τοιαῦτ' ἂν ὑπεμφήνειεν, ὁποῖα δηλονότι ἔφαμεν καὶ ἐν τοῖς χύμασι δείκνυσθαι. παρὰ τοσοῦτον δ' οἷον ταῦτα μοχθηρότερα τῶν ἐπὶ τῶν χυμάτων, παρ' ὅσον καὶ λευκὰ τὰ κατὰ φύσιν φαίνεται τῶν ὑποστάσεων χρώματα, εἰ δ' ὅτι καὶ ἀπὸ τῶν βαθυτέρων ἔρχεται μερῶν τοῦ σώματος σκοποίης, ἱκανὸν μοχθηρίας γνοίης ἂν ἔχειν ἀπόδειξιν. ταῦτα ἂν εἰκότως λογίσαιο. οὐ δεῖ δὲ πάντως λανθάνειν, ὡς ὠμοί τινες καὶ δύστμητοι καὶ γλίσχροί, τοῖς οὔροις παρυφιστάμενοι χυμοί, ψευδῆ τινα φαντασίαν διδόασι χρηστῆς τινος ὑποστάσεως. ἀλλ' οἶδε καὶ ἄλλως μὲν ἐλέγχονται, οὐχ ἥκιστα δὲ καὶ τῷ κατὰ βραχὺ πέττεσθαί τε καὶ διαλύεσθαι. καὶ ὠχραὶ μὲν οὖν καὶ πυρραὶ ὑποστάσεις, συναναμιγνύμενόν τινα χολώδη σημανοῦσι χυμὸν τῷ αἵματι. ὑπέρυθροι δὲ καὶ ἐρυθραί, τὸν αἱματικὸν αὐτὸν ἀκμάζειν χυμόν, ὥσπερ δὴ καὶ πελιδναὶ καὶ μέλαιναι, ὁποῖα καὶ τὰ τῶν χυμάτων ἔφασκον χρώματα. αἵ γε μὴν ὀροβοειδεῖς καὶ πιτυρώδεις, πεταλώδεις τε καὶ κριμνώδεις τῶν ὑποστάσεων, σαρκῶν τε καὶ τῶν στερεῶν αὐτῶν σημαίνουσιν ἔκτηξιν, καὶ μετὰ τῶν καθόλου μὲν τοῦ σώματος πυρετῶν, τοῦ παντὸς σημαίνουσι σώματος ἔκτηξιν. μὴ ὄντος δέ τινος τῶν ἑκτικῶν πυρετῶν, αὐτῶν δὴ μόνων τῶν νεφρῶν σημαίνουσι καὶ τῆς κύστεως πάθη. καὶ ἀρχόμενα μὲν τὰ πάθη, τὰς ὀροβοειδεῖς ὑπεμφαίνει τῶν ὑποστάσεων, προβαίνοντα δέ, τὰς πιτυρώδεις, προϊόντα δὲ ἐπὶ τὸ χεῖρον καὶ αὐτῶν τῶν στερεῶν καθαψάμενα, τὰς πεταλώδεις τε καὶ κιριμνώδεις ἐφ' ἁδροτέροις δηλαδὴ τεμμαχίοις συνισταμένας, αἳ δὴ καὶ τὰ χείριστα τοῖς κάμνουσιν ἀεὶ προσημαίνουσι. καθόλου τοίνυν ἐπίστασθαι χρή, ὡς αἱ μὲν παχεῖαι τῶν ὑποστάσεων μήπω κεκρατηκέναι τὴν πεπτικὴν δύναμιν προσημαίνουσι, ἤτοι δι' οἰκείαν αὐτῆς ἀρρωστίαν ἢ πάχος ἢ πλῆθος χυμῶν, αἱ δὲ λεπταὶ κεκρατηκυίας ἤδη δυνάμεως. κἀκεῖνο δὲ μὴ διαφεύγειν σε δεῖ, ὡς τοῦ πυθμένος τῆς ἀτμίδος οἰκείας οὔσης ἕδρας τῇ κατὰ φύσιν ὑποστάσει, ἂν ἐπὶ τὰ μέσα τε καὶ*

ἄνω αὕτη χωρῇ, ἐναιωρήματά τινα καὶ τὰς καλουμένας νεφέλας ἀπεργάζεται, πνεύματός τινος ἐνθέρμου ταύτας ἀναρριπίζοντος, ὥστ' εἰκὸς καὶ βεβαρεῖσθαι ἐντεῦθεν οἴεσθαι, καὶ πεπλῆχθαι, οἶται τὴν κεφαλὴν, ἀνακυμῶντος τοὺς περὶ τὰ σπλάγχνα χυμοὺς καὶ ἀναρριπίζοντος κατὰ τὴν ἀναλογίαν τῆς τοῦ παρυφισταμένου θέσεως. ἀλλ' ἐπειδὰν τύχοιεν τὰ ἐνοχλοῦντα αἴτια διαφορηθῆναι, καὶ αὗται ἐπανήκουσιν ἐπὶ τοὺς κατὰ φύσιν σφίσι τόπους. ἀντέστραπται δὲ τῷ τόπῳ πρὸς τὰς κατὰ φύσιν ἢ ἐγγὺς τοῦ κατὰ φύσιν ὑποστάσεις, ἡ ἐξ ὠμῶν καὶ ἀλλοκότων συνισταμένη χυμῶν ὑπόστασις. λεγέσθω γὰρ καὶ ἡ τοιαύτη κοινῷ ὀνόματι ὑπόστασις. τοὺς μὲν γὰρ πυθμένας κατὰ τὰς προτέρας καὶ κατὰ φύσιν ἔχουσα, μακράν τινα τῆς πεπτικῆς καὶ ἀλλοιωτικῆς δυνάμεως ἐπισημαίνει ἀτονίαν· ἐπὶ τὰ μέσα δὲ καὶ ὑψηλότερα χωροῦσα τῆς ἀμίδος, ἐπικεχειρηκέναι δεῖ νομίζειν τὴν φύσιν τῇ πέψει, καὶ μᾶλλον ὅσον ἐπινέφελος γίνεται. ἐσόψει γὰρ μετὰ μικρὸν τὸν νοῦν ἐπιστήσας, λευκὴν καὶ λεπτὴν ὑπόστασιν ἐπὶ τὸν πυθμένα χωροῦσαν. διὰ πάντων τοίνυν προσήκει σε, τὰ μέτρα καὶ τὰς διαφορὰς λογίζεσθαι τῶν πέψεων, ὅσαι τε ἐν χρώματί τοῦ χύματος δηλαδὴ, καὶ ὅσαι ἐν ταῖς συστάσεσιν· οὐχ ἧττον δὲ καὶ ὅσαι ἀπ' αὐτῶν τῶν παρυφισταμένων φαίνονται. ἢν οὖν ἀκριβῶς ἀσκήσαις σαυτὸν, ἀπὸ τῶν τοιούτων τὰς διαφορὰς τῶν πέψεων καὶ τῶν χυμῶν ἐξευρίσκειν, τὰ μέγιστά σοι προξενῆσαι ἔχει ἤτοι αὕτη μέθοδος, κρῖναι τὰ παρόντα καὶ μέλλοντα ταῖς καθ' ἑκάστην δηλαδὴ τούτων ὑφέσεσί τε καὶ ἐπιδόσεσιν, αὐτῆς ἐξακριβούμενον τῆς πεπτικῆς δυνάμεως τὴν ἐνέργειαν. ἀλλ' ὁ μὲν περὶ οὔρων λόγος, καὶ ὧδε ἱκανῶς ἂν ἔχοι ῥηθεὶς, καὶ εἴ σοι μέλλοι καὶ πλείονος καὶ ἐξεταστικωτέρας περὶ ταῦτα ἐπιστασίας, ἔξεστί σοι ἀναλαβομένῳ, ὃ δῆτα ἡμεῖς ἰδίᾳ συντετάχαμεν ἐν ἑπτὰ λόγοις βιβλίον, περὶ θεωρίας οὔρων, ἐκεῖθεν διδάσκεσθαί σε, τὰ μάλιστά σοι συνοίσοντα εἰς τὴν τῶν νοσημάτων ἐπίσκεψιν. ἐκεῖ μὲν γὰρ διαφορὰς καὶ διαγνώσεις οὔρων ἀκριβῶς ἐσόψει ἐκτεθειμένας ἰδίᾳ, οὐχ ἧττον δὲ αὖ προσγεγραμμένας τὰς αἰτίας τε καὶ τὰς προγνώσεις. ὡδὶ καὶ διὰ βραχυλογίας ὑπο-

τεμνομένης τὸν λόγον, μόναι αἱ ἀρχαὶ καὶ τὰ κεφάλαια τῆς ὑποθέσεως λέλεκται. συνετωτάτῳ δ' ἀνδρὶ καὶ οἷος σύ, καὶ ταῦτα μόνα ἱκανὰ ἂν εἴη ἐς εἴδησιν.

### λγ'. Περὶ τῶν κατὰ τὸν ἐγκέφαλον καὶ νωτιαῖον παθῶν.

Ἐπεὶ δὲ καὶ εἰς αὐτὸν κατέστημεν τὸν ἐγκέφαλον, φέρε τι καὶ περὶ τῶν κατ' αὐτὸν ἐνεργειῶν καὶ παθῶν, τὰ δέοντα ἐξαγγείλωμεν, ὡς διὰ πάντων ὁ λόγος ἔχοι τὸ ἄρτιόν τε καὶ ἀσφαλές, εἰ καὶ ἄλλως ἡ συντομία ἀφαιρεῖται τὸ εὐκρινές.

Ὁ τοίνυν ἐγκέφαλος ἀρχή τις ὢν καὶ πηγὴ αἰσθήσεως καὶ κινήσεως, οὐκ ὀλίγας ἀποφύσεις καὶ κινήσεις νεύρων ποιεῖται, νῦν μὲν ὀφθαλμοῖν κινήσεων, ἢ αἴσθησιν αὐτοῖν χαρισάμενος, νῦν δ' αὖ, αἴσθησιν ἢ κίνησιν παντί τε τῷ προσώπῳ καὶ τῇ γλώττῃ παρέχων φαίνεται. ἐπεὶ δὲ μηκέτι οἷόν τε ἦν εὐπαθῆ οὕτω νεῦρα καὶ ἀπωτάτω χωρεῖν μέλλοντα, χωρίς τινος ἀσφαλείας παραπέμπειν τὸν ἐγκέφαλον, αἴσθησιν ἢ κίνησίν τινα παρέξοντα, τὸν νωτιαῖον ἐξέφυσε, τῆς αὐτῆς αὐτῷ τυγχάνοντα φύσεως, διὰ τῶν σπονδύλων τοῦ τραχήλου, ῥάχεώς τε καὶ τῶν ἐφεξῆς ἰόντα. ἀμέλει καὶ κατὰ διαστήματά τινα νεύρων ἀποφύει τινὰς συζυγίας, αἴσθησιν ἢ κίνησιν τοῖς καθεξῆς κώλοις παρέξοντα. ἐπειδὴ δὲ τὰ νεῦρα δέδωκε πᾶσι κινήσεώς τε καὶ αἰσθήσεως ὄργανα, ὡς δι' αὐτῶν τοῦ ψυχικοῦ προϊεμένου πνεύματος, ὃ δὴ τὴν ἀρχὴν καὶ γένεσιν ἀπ' ἐγκεφάλου ἔσχηκε, μηδενὸς μὲν τινος προσισταμένου, ἀπλανῶς αἱ κατὰ φύσιν γίνονται κινήσεις τε καὶ αἰσθήσεις τῶν μελῶν· ἤτοι δὲ τῶν νεύρων πεπονθότων καθ' ὁποιανοῦν δυσκρασίαν, ἢ διακοπήν τινα τῆς ἑαυτῶν οὐσίας, ἢ διὰ χυμῶν τινων ἔμφραξιν, τὰ μετὰ ταῦτα ὀργανικὰ τελοῦντα μόρια τήν τε κίνησιν καὶ τὴν αἴσθησιν ἀφαιροῦνται, ἢ πάντως γε δυοῖν θάτερον· ἐπειδὴ τὰ μὲν τῶν νεύρων αἰσθήσεως, τὰ δ' αὖ κινήσεως χορηγά, οὐχ ἧττον δὲ σπασμοὶ καὶ τρόμοι δι' αὐτὰ τοῖς μέλεσιν ἐπιγίνονται, ἐκεῖ μὲν εἰς τὰς αὐτῶν ἀρχὰς σπωμένων τῶν νεύρων διά τινας πληρώσεις ἢ πληγὰς ἢ ξηρότητας, ὧν δὴ πολλῷ χείρω τὰ διὰ ξηρότητά τινα ἢ πληγὴν σπώμενα.

ὧδε δ' οὐκ ἐξικνουμένων τὸ τυχὸν κατέχειν κῶλον δι' ἀτονίαν τῆς δυνάμεως, ἤτοι βραχυτέρου ἐπιρρέοντος διὰ τοῦ νεύρου πνεύματος, ἢ αὐτοῦ τοῦ νεύρου πεπονθότος, ὡς μηκέτ' ἰσχύος ἔχειν, ἀκραιφνῶς διαπορθμεύειν τὴν ἀπ' ἐγκεφάλου εἰς ταῦτα ἰοῦσαν δύναμιν. ταῦτά τοι κἀπειδάν τινος χεῖρα ἢ σκέλος ἤ τινα τῶν μικροτέρων μερῶν, παθόντας ἤδη εἰς κίνησιν καὶ αἴσθησιν, ἐκεῖνα τῶν νεύρων οἷου τότε ἀτυχεῖν, ἃ δὴ τοῖς πεπονθόσι μέρεσι τὴν αἴσθησίν τε καὶ τὴν κίνησιν ἐχορήγει. ὥσπερ καὶ εἴ τινά γε σπώμενα καὶ τρέμοντα, νικώσης τε καὶ νικωμένης ἐκ μέρους ταῦτα τίθεσο τῆς δυνάμεως ταῦτα. τῶν μὲν βαρέων φυσικῷ τῷ λόγῳ ἐπὶ τὰ κάτω χωρούντων, ἀντιβαινούσης δὲ τούτοις τῆς μετεωριζούσης ταῦτα δυνάμεως, ἰσοπαλῶν δ' οἷον οὐσῶν τῶν ἀπομαχομένων τε καὶ ἀντιβαινουσῶν δυνάμεων, ὁ τρόμος ἔνδειξις τοῦ πάθους γίνεται. ἐκεῖνο δὲ εἰδέναι θέμις, ὡς ὁποῖόν τι τοῖς κατὰ μέρος νεύροις ἕπεται παθοῦσι, τοιαῦτά τινα καὶ ὁ νωτιαῖος πεπονθὼς ἐπάγει συμπτώματα, δευτέρα τις μετὰ τὸν ἐγκέφαλον ἀρχὴ τυγχάνων νεύρων, ἀμέλει τέτανοι σπωμένων τούτων γίνονται. κἂν μὲν ἰσόρροπός τις ὁ σπασμὸς δοκεῖ τυγχάνειν, ἰθυτενεῖς τε καὶ ἀπαρέγκλιτοι οἱ κάμνοντες διατελοῦσιν, ἀνδριάντων δίκην, καὶ τέτανος ἰδίως τουτὶ τὸ εἶδος λέγεται τοῦ πάθους, ἐμπροσθότονός γε μὴν εἰς τὸ ἔμπροσθεν τὴν ῥοπὴν λαβόντος τοῦ σπασμοῦ, ὥσπερ ὀπισθότονος ῥηθείη ἄν, εἰς τοὔπισθεν τοῦ σπασμοῦ ῥέποντος. πληγαὶ δὲ τούτων κατὰ τοῦ νωτιαίου τὰ αἴτια, καὶ ψύξεις καί τινες τοιοῦτοι συρρυέντες ἐκεῖ χυμοί. οἵδε δὲ πάντες κακῶς ἔχοντες, κατά τε τὸ σχῆμα διατελοῦσι τὸ αὐτὸ σπασθέντες, καὶ ἀνοιγνύναι τὸ στόμα οὐ δύνανται ἢ ἄλλως πως κινηθῆναι, ἢ ἐπὶ πάντων μὲν τούτων, εἰκότως ἂν τῶν νεύρων εἶναι πάθη στοχάσαις. αὐτοῦ δὲ τοῦ ἐγκεφάλου πρωτοπαθοῦντος, καὶ ταῦτα μὲν καὶ τὰ τοιαῦτα τεκμήρια λογίσαιο ἄν, εἰ καθόλου εἴη τοῦ σώματος, οὐχ ἧττον δὲ καὶ ἀπὸ τῶν ὁμιλιῶν πάσχων ὁ ἐγκέφαλος καταλαμβάνεται, ἢν μὴ τὰ αὐτὰ δηλαδὴ τοῖς ὑγιαίνουσι τὰς φρένας οἱ πάσχοντες φθέγγωνται, καὶ ἢν ἡ γλῶσσα ἐπέχηται, καὶ τὰ λοιπὰ τῶν αἰσθητηρίων μαραίνηται, καὶ

ἔτι δὲ μᾶλλον ἢν παραληρῇ καὶ μαίνηται ὁ ἄνθρωπος, εἴτ' οὖν καὶ μόλις πρὸς τὰς ἐρωτήσεις καὶ βραδίως ἀπαντᾷ, καὶ εἰ κωματώδης τε καὶ μύων, εἴτ' οὖν ἄγρυπνος καὶ πλέον ἐπεγρηγορῶν τοῦ δέοντος, ἐξαίφνης τε ὡς ἐπιστάντος τινὸς φοβεροῦ σπώμενος, ἀμνημονῶν τε καὶ ἀλλόκοτα φανταζόμενος. ταῦτα γὰρ καὶ τὰ τοιαῦτα ἐπιφαινόμενα, τοῦ ἐγκεφάλου πάθη οἷον ἐπισημαίνειν. εἰ δέ τινα αὐτῶν ἀφ' ἑτέρων μερῶν τὴν τῆς τάσεως ἀρχὴν εἴληχεν, ἀλλ' οὖν ὡς ἐκ κακωθέντος που τῇ συμπαθείᾳ τοῦ ἐγκεφάλου, ταῦτα διαφαίνεται· καὶ μωρώσεις μὲν καὶ κάρους καὶ ληθάργους ὕπνους τε τοὺς κωματώδεις καὶ νωθροτάτους, ψυχροὶ ἂν ἢ ὑγροὶ χυμοὶ ἢ ἀτμοὶ ποιήσαιεν ἂν αὐτά, ἢ τινες τοιαῦται δυσκρασίαι ἁπλαῖ, ἢ καὶ ἀμφότερα. κἂν συσσαπῶσι δὲ οἱ τοιοῦτοι χυμοί, μετ' ἀβληχρῶν καὶ ταῦτ' ἂν πυρετῶν συστήσαιεν. ἀγρυπνίαι δὲ ἄμετροι καὶ φρενίτιδες, θερμότητος ἂν ἢ ξηρότητος εἶεν ἔγγονα, ἢ καὶ τοῖν ἀμφοῖν ποιοτήτοιν, ἤτοι κατὰ ψιλήν τινα δυσκρασίαν συνισταμέναιν, ἢ μετὰ τοιούτων χυμῶν ἢ ἀτμῶν. τὰ μὲν γὰρ ἐξικμάζει τε τὸ μόριον, καὶ διὰ τοῦτο ποιεῖ τὸ πνεῦμα εὐκίνητον τῶν ῥηθέντων, τὰ δ' αὖ τέγγει τε καὶ διαβρέχει, πλεόν τοῦ δέοντος, καὶ διὰ τοῦτο καὶ βραδυκινητότερον ἀπεργάζεται.

### λδ'. Περὶ μανίας καὶ μελαγχολίας.

Μανίαι δέ γε καὶ μελαγχολίαι, χωρὶς μὲν ὡς ἐπίπαν πυρετοῦ συνίστασθαι πεφύκασιν, αἷμα δὲ τὸ πρῶτον τῶν παθῶν τούτων ὑπέκκαυμα ὀπτηθέν, τὸ μετ' αὐτὸ δέ, χολὴ μέλαινα. εἰ δέ γε τὴν ἀρχὴν καὶ σύστασιν ἀπὸ ξανθῆς χολῆς ἡ μέλαινα εἰληφυῖα ᾖ, τὰς θηριώδεις τε καὶ φοβερὰς ποιεῖ μανίας, αἳ μηδὲ σαρκῶν οἰκείων φείδεσθαι τοὺς πάσχοντας παραθήγουσιν· ἐπιληψίαι δ' ἤτοι διὰ φλεγματικὸν ἐκεῖ που χυμὸν περὶ τὰς τοῦ πνεύματος ἐξόδους ἐπισκήψαντα ἢ μελαγχολικὸν γινόμεναι, σπασμοὺς τοῦ ὅλου σώματος καὶ ἀναισθησίας ἐπάγουσι κατὰ τοὺς παροξυσμούς. ληγόντων δὲ μετ' οὐ πολὺ τῶν συμπτωμάτων, μηδὲν ἀνιαρὸν τοῖς κάμνουσι συμβῆναι νομίζεται. καὶ αἵδε γίνονται, καὶ αὐτοῦ μὲν τοῦ ἐγκεφάλου πρωτο-

παθοῦντος, χυμῶν τινων ἀήθων δηλονότι καὶ παχυτέρων ἀτμῶν τὰς τοῦ πνεύματος ἐξόδους ἐπιφραττόντων· κἀντεῦθεν τῆς μὲν αἰσθητικῆς δυνάμεως μὴ ἐξοχετευομένης τῷ προσίστασθαι τοὺς τυχόντας χυμούς, τῇ διαμάχῃ τε καὶ πάλῃ τῶν χυμῶν τε καὶ τοῦ πνεύματος, ἀκολουθούντων τῶν σπασμῶν, οἷς ἕπονται καὶ ἀφροὶ ἐκρέοντες τοῦ στόματος, μίγμα χυμῶν καὶ πνεύματος πεφυκότες, ἐπὶ καιρίοις μέρεσιν ἐγγινομένης δηλαδὴ τῆς ἐμφράξεως, οὐχ ἧττον δὲ καὶ τῷ τῆς συμπαθείας λόγῳ, αὐτοῦ δὴ τοῦ στομάχου μοχθηροὺς τε καὶ διεφθορότας ἀναπέμποντος χυμούς τε καὶ ἀτμούς, ἐπιληψία τις γίνεται ἑτέρα. ἕτερόν γε μὴν τούτων εἶδος ἐπιληψίας συνίστασθαι πέφυκε, κώλου τινὸς αὔραν τινα ἐκεῖθεν ψυχράν τε καὶ διεφθορυῖαν κατὰ τοὺς τῶν ἰοβόλων ἰοὺς εἰς αὐτὴν τὴν κεφαλὴν ἀναπέμποντος, ἤδη ἐκεῖ συστάντος ὀλεθρίου χυμοῦ. τοσοῦτο δὲ τῶν ἄλλων οἵδε διενηνόχασιν, ὡς αἴσθησιν ἤδη τινὰ κινουμένης καὶ ἀναγομένης τῆς φθαρτικῆς ἐκείνης αὔρας λαμβάνειν τοὺς πάσχοντας, πρὸ αἰσθήσεως τοιαύτης δηλονότι, τοῦ κατὰ τὸν ἐγκέφαλον αὐτὸν πρωτοπαθοῦντα γινομένου τοῦ πάθους· ὥσπερ δ' ἐν μεταιχμίῳ οἱ ἀπὸ τοῦ στομάχου πάσχοντες πεφύκασι, μήτε πάνυ ἀναισθήτως ἔχοντες τὴν ἀρχήν, μήτε κατὰ τοὺς ὑστάτους τούτους αἰσθανόμενοι ῥᾳδίως οὕτω κινουμένου τοῦ πάθους. καὶ ταῦτα μὲν ἐπιληψίας εἴδη.

### λς΄. Περὶ μελαγχολικῶν παθῶν.

Τὸ δὲ τῶν ἐνθεαστικῶν, μελαγχολίας ἄν τις θείη εἶδος. οἵδε γὰρ δοκοῦσιν ὑπὸ μείζονός τινος ἐφορᾶσθαι δυνάμεως, καὶ προλέγειν οἷον πειρῶνται τὰ ἐσόμενα, καθαπερεί τινες ἐνθεάζοντες, ὥσπερ ἕτεροι φοβοῦνται τὰ μὴ φόβου ἄξια, καὶ σπῶνται παραλόγως, ἀθυμοῦσί τε καὶ ὁμιλίας φεύγουσιν ἀνθρώπων, καὶ ἤτοι γέλωτες, ἢ ἀγριότητες αὐτοῖς, τὸ τέλος τοῦ ἀρρωστήματος, ὧν τὸ μὲν μανία λέγεται τὸ δ' αὖ μελαγχολία.

Ταύτης δέ γε εἶδος καὶ ἡ λυκανθρωπία καλουμένη, ἀναπείθουσα τοὺς ἁλόντας μέσον νυκτῶν ὧδε κἀκεῖσε περιϊέναι, ἔν τε μνήμασι καὶ ἐρημίαις κατὰ τοὺς λύκους,

μεθ' ἡμέραν δὲ ἐπιστρέφειν τε καὶ πρὸς ἑαυτοὺς γίνεσθαι, καὶ οἴκοι διατρίβειν. ἀλλ' οἵδε μέν, τούς τε πόδας καὶ τὰς κνήμας ἔχουσιν ἡμαγμένους τῷ προσπταίειν τοῖς λίθοις καὶ ταῖς ἀκάνθαις, καὶ ξηροὶ τοὺς ὀφθαλμοὺς καὶ τὴν γλῶτταν καὶ διψώδεις, καὶ ἀδρανὲς βλέπουσιν. ἐῶ δὲ λέγειν ὅσα πάσχουσιν ἕτεροι, ὧν οἱ μὲν ἀεὶ τὸν θάνατον φοβούμενοι διατελοῦσιν, οἱ δ' αὖ τούτου ἐπιθυμοῦντες, ὥσπερ ἕτεροι τὰς τῶν πολλῶν ὁμιλίας φεύγουσι, καὶ ἄκραν σιωπὴν ἀσκοῦσιν, αὖθις δὲ ἕτεροι, ἢν μὴ ὁμιλῶσιν ἄλλοις καὶ διαχεόμενοι ὦσι, θορυβούμενοί τε καὶ ἐκθαμβούμενοι. καὶ ταῦτα γίνεται παρὰ τὸ ποιὸν τοῦ ἐνοχλοῦντος χυμοῦ, ἔτι τε τὸν τόπον, ὃν ἐγγίσας ἐρεθίζει καὶ διανιστᾷ τὴν κατ' ἐκεῖνον τῆς ψυχῆς ἐνέργειαν.

Ὁ δὲ ἐφιάλτης οὕτω καλούμενος, πάθος ὢν κατὰ τοὺς ὕπνους συμβαίνων, οὐ πάνυ μὲν καθ' αὑτὸν κακός, μεγάλα δέ τινα προσημαίνει κακά. ἐπιληψιῶν γὰρ καὶ μελαγχολιῶν εἴδη, ἔτι τε ἀποπληξίαι καὶ ὅ,τι σύνεγγυς, αὐτοῦ θαμίζοντος τοῦ ἐφιάλτου, προσημαίνεται. λέγεται δὲ ἀπὸ τοῦ δοκεῖν ἐφάλλεσθαί τινα τοῖς πάσχουσιν· ὡς τινος γὰρ αὐτοῖς ἐπικειμένου καὶ οἷον πνίγοντος αἰσθάνονται οἱ τῷ τοιούτῳ κάτοχοι πάθει, μηδ' ὁτιοῦν μέλος αὐτῶν κινῆσαι δυνάμενοι. φεύγειν δέ φασιν αὐτούς, τῶν δακτύλων σωρευθέντων. καὶ τοῦτο μὲν συνεχέσιν ἀπεψίαις ἕπεται, καὶ ἐφθαρμένοις τισὶ καὶ ἀλλοκότοις χυμοῖς περὶ τὸν στόμαχον ἠθροισμένοις. δεῖ οὖν κἀνταῦθα προφυλάττεσθαι μετὰ τῶν ἄλλων καὶ ἀπεψίας τοὺς πάσχοντας.

Τὸ σκοτωματικὸν δὲ πάθος, καὶ αὐτὸ τῆς κεφαλῆς ὄν, οὔτε δίνας οὔτε τροχοὺς ἐᾷ τοὺς πάσχοντας καθορᾶν, ὡς συγκινουμένης αὐτῶν τῆς ὄψεως, κἀντεῦθεν σκοτουμένης. καὶ ὅταν ἀθροώτερον κινηθῶσιν οἵδε, τὰ παραπλήσια πάσχουσιν. ἀτμοὶ δὲ ἄρα ἢ χυμοὶ τὰ αἴτια, ἀναδοθέντες περὶ τὰς ἐμπροσθίους κοιλίας τοῦ ἐγκεφάλου, οἳ ταράττουσί τε καὶ κλονοῦσι τὸ ἐκεῖθεν προϊὸν ψυχικὸν πνεῦμα. ὅτι δὲ ἐκ τῆς διαφορᾶς τῶν τεσσάρων χυμῶν διάφορα καὶ τὰ ψυχικὰ πάθη γίνονται, δῆλον ἐκ τῶν κατὰ μέρος αὐτῶν ἐπικρατούντων χυμῶν. ὥσπερ γὰρ ἰδίως τὸ μὲν αἷμα τὴν μανίαν συνίστησι κατὰ τὴν ποιὰν αὐτοῦ

τροπὴν καὶ θέσιν περὶ τὸν ἐγκέφαλον, ἡ δὲ μέλαινα χολὴ τὰς μελαγχολίας, τὰς δὲ φρενίτιδας ἡ ξανθὴ χολή, οὕτω δὴ καὶ τὰ κώματα καὶ τὰς μωρώσεις, ἔτι τε ληθάργους καὶ δυσαισθησίας, ποιαί τινες συστάσεις καὶ ἀναδρομαὶ τῆς φλεγματώδους οὐσίας. συνεπιμίγνυνταί γε μὴν τὸ πλέον οἱ χυμοὶ καὶ συνεπιδείκνυνται τοῖς ἐξ αὐτῶν συμπτώμασι τὰς ἐν ταῖς μίξεσι πλεονεξίας. οὐ δεῖ δέ σε διὰ ταύτας ἀγνοεῖν τοὺς μᾶλλον τῶν χυμῶν ἐπικρατοῦντας, ἅπαξ ἐγνωσμένης σοι τῆς κατ' αὐτοὺς ἰδιότητος, καὶ ὅσα ἑκάστου τούτων γνωρίσματα· κἀκεῖνο δέ σε εἰδέναι θέμις, ὡς μνήμης μὲν ἀπώλεια, τῆς ὀπισθίου κοιλίας πεπονθυίας τοῦ ἐγκεφάλου ἕπεται, ἤτοι ποιᾶς τινος δυσκρασίας, ἤ τινος χυμοῦ ἐκεῖ που συρρυέντος, αὐτήν τε καὶ τὴν ἀμφ' αὐτὸν λωβησαμένων ἐνέργειαν. φαντασίας δέ, τῆς ἔμπροσθεν τοῦ ἐγκεφάλου κοιλίας, ὥσπερ καὶ τῆς μεταξὺ αὐτοῦ κοιλίας πεπονθυίας, τὸ λογιστικὸν μάλιστα σφάλλεται. καὶ τούτου μὲν τοῖς πάθεσι κἀκεῖνα συνεπάγεται τὸ πλέον, οὐκ ἐξ ἀνάγκης δὲ θατέρου τούτων πεπονθότος, τὸ λογικὸν συμφύρεται. ἐν πᾶσι γὰρ εἰδέναι δεῖ, ὡς τῶν καιριωτέρων μὲν πασχόντων, συμπάσχει καὶ μετ' αὐτά, καὶ μάλιστα ἣν τοπικήν τινα ἔχῃ ἐγγύτητα. οὐκ ἐξ ἀνάγκης καὶ τοῖς ἀκυρωτέροις τὰ καιριώτατα συνυπάγεται. ἐκεῖ μὲν γὰρ καὶ μετρίως τοῦ πάθους ἐνοχλήσαντος, συνυπάγεται καὶ τὰ ἐγγύτητά τινα ἔχοντα. ὡδὶ δέ, πολλῷ ἂν ἐπὶ τὸ φαῦλον ἐπιταθείη τὰ πάσχοντα τῶν μορίων, εἰ συνυπαχθείη, τὰ κυριώτερα τοῖς συνεγγίζουσι σφίσι πεπονθόσιν· ἀλλ' ὁ μὲν περὶ τῶν κατὰ τὸν ἐγκέφαλον καὶ νωτιαῖον παθῶν λόγος, ὧδέ πῃ καὶ ληγέτω· ἑξῆς δ' ἰτέον τῷ λόγῳ.

### λς'. Περὶ τῶν κατὰ τὸν πνεύμονα καὶ θώρακα παθῶν.

Ἐπεὶ δὲ μετὰ τὰς ἀρχὰς τὰς πρώτας αὖθις γεγόνασιν ἕτεραι, ἀξιώματι μὲν δεύτεραι, οὐχ ἧττον δὲ ἐκείνων συνιστᾷν πεφυκυῖαι τὴν ζωήν, πνεύμων δὲ καὶ θώραξ ταῦτα, καὶ προσέτι γαστὴρ καὶ τὰ ὑπὸ γαστέρα, δίκαιον ἂν εἴη φάναι καὶ περὶ τούτων τὰ δέοντα.

Καὶ δὴ τοῦ θώρακος τὰ μεταξὺ τοῦ φάρυγγός τε καὶ

διαφράγματος, στήθους τε καὶ τῶν μεταφρένων, καὶ τῶν παρ᾽ ἑκάτερα τὰ μέρη πλευρῶν τοῦ σώματος διειληφότος, καὶ διὰ τῶν ἀπὸ τοῦ τραχήλου καθιεμένων εἰς αὐτὸν νεύρων τὴν οἰκείαν εἰληφότος κίνησιν, συγκινεῖται μὲν αὐτῷ καὶ ὁ πνεύμων, καὶ ὁ ὑπεζωκὼς χιτών, μύες τε οἱ μεσοπλεύριοι καὶ πᾶν ὅτι ἄλλο τῷ τοῦ θώρακος ὅρῳ συμπεριείληπται· εἴσεισι δ᾽ ἐν μὲν ταῖς ἐμπνοαῖς διὰ τοῦ λάρυγγος καὶ τῆς τραχείας ἀρτηρίας ὁ ἀήρ, ἐμψύξων τε καὶ θρέψων καὶ ἀναζωπυρήσων τὸ ἐν τῇ καρδίᾳ πῦρ· ταῖς δ᾽ ἐκπνοαῖς ἐκκρίνεται πᾶν ὅτι πέφυκε καπνῶδές τε καὶ λιγνυῶδες. ταῦτά τοι ὑγιῶς μὲν αὐτοῦ ἔχοντος, καὶ ἡ ἀναπνοὴ σύμμετρος τὰ πάντα πέφυκεν· ἀξιολόγως δ᾽ ἀλλοιωθέντος, τάχιστα καὶ αὐτὴ συμμετατίθεται, καὶ θέρμης μὲν ἐπαυξηθείσης, μέγισται καὶ τάχισται ἀναπνοαὶ τελοῦσι. τοὐναντίον δέ, πολλῆς ἡγησαμένης ψύξεως· ὥσπερ οὖν μικράς τε καὶ πυκνὰς ἀναπνοάς, τῶν ὁτιοῦν σφοδρότερον ὀδυνωμένων τῶν μερῶν τοῦ σώματος, εἰκὸς συμβαίνειν. μεγάλας δὲ καὶ ἀραιάς, παραφρονούντων ἔσθ᾽ ὅτε, καὶ αὗται μὲν αἱ ἀλλοιώσεις τῷ κοινῷ δὴ λόγῳ γίνονται, τοῦ παντὸς ἀλλοιωθέντος σώματος. αὐτοῦ δὲ τοῦ θώρακος πολλά τε καὶ διάφορα πάθη πάσχοντος, καὶ ἄλλοις μὲν τρόποις, ἁπάντων δὲ πάλιστα ταῖς ἀναπνοαῖς, καὶ ἄμεινον τὰ κατ᾽ αὐτὸν δοκιμάζεται πάθη, καὶ ἄπνοιαι μὲν καὶ κακόπνοιαι τῶν προτέρων νεύρων, ἃ δὴ πέφυκε κινεῖν τὸν θώρακα, πάθη τυγχάνουσιν· ὁποῖαι κἀν ταῖς ἀποπληξίαις τε καὶ ἡμιπληξίαις συμβαίνειν εἰώθασι, καὶ ταῖς ὑστερικαῖς πνιξίν.

*Δύσπνοιαι* δὲ διά τινα κακῶς διατεθέντα τῶν περὶ τὸν θώρακα μερῶν προσγίνονται· ἤτοι γὰρ χυμῶν τινων ἐπίρροια τὰς ὁδοὺς τοῦ πνεύματος ἐπιφράττουσα τὴν δύσπνοιαν ἐπάγει, ἤ τινα τῶν περὶ τὸν θώρακα μερῶν φλεγμαίνοντα ἢ σκιρρωθέντα, συνεχεῖς τε καὶ πυκνὰς τὰς ἀναπνοὰς παρασκευάζει γίνεσθαι, ὁποῖα ἔν τε ταῖς κατὰ τὸ μεσαίτατον, καὶ ταῖς κατὰ τὸ διάφραγμα καὶ τὸν ὑπεζωκότα ὑμένα φλεγμοναῖς καὶ σκίρροις, καὶ ὁποιαισδήτισιν ὀδύναις, διά τινα συμβαίνοντα ἄνωθεν. καὶ γὰρ ἐπεὶ μὴ ἔχει ἱκανῶς ὁ θώραξ ὧδε διαστέλλεσθαι, ἐμποδὼν προσ-

ισταμένου τινὸς πάθους, ἡ χρεία δ' ἐπείγει, ταῖς συνεχέσι καὶ μικραῖς διαστολαῖς ἀναπληροῦται τὸ λεῖπον, ὁποῖόν τι κἀν τοῖς μικροῖς σφυγμοῖς συμβαίνειν ἔφαμεν· προσαυξομένης τῆς πυκνότητος, ἐπὰν ἡ χρεία ἐπείγῃ. ἀλλὰ μὴν καὶ ἃ μὲν καθ' αὐτὸν ὁ πνεύμων ὑφίστασθαι πέφυκε πάθη, ῥήξεις τέ εἰσι τῶν κατ' αὐτὸν φλεβῶν, καὶ ἀρτηριῶν ἐμπνεύματα, καὶ φθόαι, ἃ δὴ τῷ μὲν βιάζεσθαι τὴν ἔξοδον τῶν κατ' αὐτὸν ὑγρῶν, βῆχας ἐρεθιζούσας ἐπεγείρει, τῷ δὲ τὰς ὁδοὺς ἔσθ' ὅτε ἐπιφράττεσθαι τοῦ πνεύματος, δύσπνοιαί τινες ἐπιγίνονται, καὶ ὧδε μὲν ὡς κατ' αὐτὸν νοσήσαντος ἀεικινήτου μέρους, βραχεῖαι πάνυ τῆς σωτηρίας ἐλπίδες φαίνονται. ἀντίκειται γὰρ παντὸς μορίου φλεγμονῇ μεθ' ἕλκους κίνησις, καὶ ἄλλως δὲ δυσκάθαρτον τὸ μέρος τοῦτο πέφυκε, καὶ φθάνει πρὶν ἢ ἀκριβῶς ἐκκαθαρθῆναι τὸ λυποῦν, τῇ νομῇ τοῦ ἕλκους ἐπιλυμαίνεσθαι ῥαδίως τὰ συνεχῆ, τῆς πλείονός τε καὶ νοσώδους θερμότητος οἰκειότητά τινα ἐχούσης τοῦ σήπειν τὰ σύνεγγυς. εἰ δ' ἀφ' ἑτέρων εἰς αὐτὸν μερῶν παραρρυεὶς χυμός τις τὰς ὁδοὺς ἐμφράξειε τοῦ πνεύματος, δύσπνοιαι μὲν ἕπονται ὧδε, ἀναλογοῦσαι τοῖς μεγέθεσι τῶν ἐμφράξεων· οὐκ ἀεὶ δ' ὁ πνεύμων ἐξ αὐτῶν εἰς τὴν αὐτοῦ οὐσίαν πάσχειν πέφυκε.

Ἐὰν μὲν οὖν ἀπὸ τῆς κεφαλῆς τὸ ῥεῦμα ἴσχῃ τὴν ἀρχὴν, ἀθρόον δὲ καὶ φλεγματῶδες ᾖ, τὰς οὕτω πως ἰδίως καλουμένας δυσπνοίας ἀπεργάζεται, αἷς ἐπιταθείσαις, εἰς ὀρθόπνοιαν τὸ πάθος ἀποτελευτᾷ, ἀπὸ τοῦ σχήματος τοῦ πάσχοντος τὴν ἐπωνυμίαν τοῦ πάθους ἀπειληφότος, καὶ ὧδε μὲν ἀξιολόγως δυσπνοεῖν ὁ ἄνθρωπος, ἀθρόου τε καὶ γλίσχρου φλέγματος εἰς τὰ τοῦ πνεύμονος ἀγγεῖα ἐμπίπτοντος, οὐχ ἧττον δὲ δυσπνοήσειεν ὁ ἄνθρωπος, κἂν τῶν θερμοτέρων ῥευμάτων τὸ ἀπὸ τῆς κεφαλῆς ἰὸν τύχῃ, ὁποῖον κἀν τοῖς περιπνευμονικοῖς συμβαίνειν εἴωθεν· ἐπὶ φάρυγγα μὲν ἔσθ' ὅτε καὶ γαργαρεῶνα, καὶ τὰς ἀντιάδας, ἐνστηριζομένου πρότερον τοῦ χυμοῦ, ὅτε καὶ τὰ κυναγχικὰ πάθη συνίστανται, αὖθις δ' ἐπιφερομένου τῷ πνεύμονι, καὶ οἵδε μὲν σπανίως ἀπαλλάττουσι, φθάνοντες τὸν χρόνον τῆς πέψεως, τῆς ἐπὶ τῇ νόσῳ ὀξύτητος. οὐχ ἧττον

δέ γε τούτου εἰς κακίαν περιπνευμονίας εἶδος ἕτερον, ὁπόταν τῶν μεσοπλευρίων μυῶν τοῦ τε διαφράγματος καὶ τοῦ ὑπεζωκότος φλεγμονήν τινα καὶ ἀπόστασιν ἐσχηκότων, αἴφνης ἐπιστῇ τὸ πᾶν τοῦ ῥεύματος ἐπὶ τὸν πνεύμονα. προκεκμηκυίας γὰρ ἤδη τῆς δυνάμεως, ὡς ἀπ' ἀρχῆς ἑτέρας ὁ πνεύμων τὸ πάθος δεξάμενος, οὐκέτι ἰσχύει ἀπώσασθαι τὸ λυποῦν. φθάνει γὰρ ἤδη προαποκαμὼν ὁ κάμνων τῆς πτώσεως, ὥστε καὶ ὀλίγους πάνυ ἐσόψει ῥᾳδίως οὕτω δύο χαλεπὰ διαφυγόντας πάθη. ἐπεὶ δὲ καὶ φλεγμοναὶ καὶ σκίρροι καὶ ὁποιαιδήτινες ὀδύναι διά τε ἡγησαμένας αἰτίας τῶν κατὰ τὸν θώρακα μερῶν, ἧττον αὐτὸν ἐῶσι διαστέλλεσθαι τῆς χρείας, λείπεται ταῖς πυκνότησι τὸ ἐνδέον ἀναοώσασθαι, ὡς δυσπνοεῖν ἐντεῦθεν κινδυνεύειν τὸν ἄνθρωπον. τὸ πλέον γάρ τοι τῆς διαστολῆς τοῦ θώρακος, κωλύει ἥ τε τῆς ὀδύνης αἴσθησις, καὶ εἴ τις ὄγκος τε καὶ σκίρρος εἴη προσιστάμενος. ταῦτ' ἄρα τοὺς τοιούτους ἅπαντας κατὰ τὸ μᾶλλόν τε καὶ ἧττον δυσπνοοῦντας ἐσόψει, κατὰ τὸ τοῦ πάθους μέγεθος, καὶ τὴν τῶν κινούντων μυῶν ἐγγύτητα, εἰ μή που γε τὸ πεπονθὸς τῶν πορρωτέρων μερῶν ὄν, ταῖς μείζοσι ἀπελέγχεται τῶν εἰσπνοῶν, ἄλλως δ' οὐκ ἐνοχλοῦν τὸν ἄνθρωπον ᾖ. ἐπὶ πάντων δὲ τῶν δυσπνοούντων, ἢ κατὰ μικρὰς καὶ συνεχεῖς εἰσπνοάς, ἢ κατὰ τὰς μεγίστας μόνον εἰσπνοάς, καὶ ὀδυνωμένων καὶ βιαζομένων, ὡς μηκέτι οἵων τε ὄντων μετὰ ῥᾳστώνης τοῦ θύραθεν ἀπολαύειν ἀέρος· κοινῷ γὰρ δὴ ὀνόματι, πάντα ταῦτα δυσπνοίας εἴδη ῥητέον· ἓν τὸ μέγιστον βοήθημα, τὸ τῶν συνεχόντων αἰτίων ῥᾳδίως αὐτοὺς ἀπαλλάττεσθαι. ἄλλως δὲ ἀδύνατόν τινα τὸν κίνδυνον διαφυγεῖν. οὐ γὰρ ἐπὶ πολὺ τὸ δυσπνοεῖν ἡ φύσις στέγει, εἴ τινος ἑτέρου καὶ τοῦ πνεύμονος χρῄζουσα διὰ τὴν καρδίαν. τῷ συνεγγίζειν αὐτήν, ῥᾳδίως τῶν ἀπ' αὐτοῦ καὶ αὐτὴ μεταλαμβάνει παθῶν, καὶ δῆτα ἀπαλλάσσεται μὲν ὁ πάσχων, πεπαινομένων ταχέως τῶν φλεγμονῶν, ἀναβηττομένων δὲ ῥᾳδίως τῶν ὑγρῶν· καὶ αὐτῶν δὴ τούτων ταῖς χροιαῖς καὶ ταῖς συστάσεσιν ἐπισημαινομένων τὴν εἰς ὑγίειαν ῥοπὴν τῆς φύσεως, ὧν οὐ δεῖ πάμπαν ἀλογεῖν, τὰ μέγιστα λυσιτελούντων εἰς τὴν τῶν κατεχόντων παθῶν

τὸν θώρακα διάγνωσιν. καὶ τῶν μὲν ἰδίως δυσπνοϊκῶν καὶ ἀναφορικῶν οὕτω καλουμένων, ἀφρώδη τε καὶ δίυγρα καὶ γλίσχρα καὶ παχέα ἑσύστερον τὰ ἀναπτυόμενα, ἃ δὴ τὸ τάχος τῆς ἀπαλλαγῆς τῶ τῆς βηχός τε καὶ τῆς πτύσεως, ῥαδίως ἐπισημαίνεται. βραδέως δὲ καὶ διὰ συνεχῶν βηχῶν μόλις πτυόμενα, ἤτοι πάχος ἢ γλισχρότητα, ἢ πλῆθος ὑγρῶν ἢ ἀπεψίαν ἤ τινα ἀδυναμίαν τῆς φύσεως ἐπισημαίνει. καὶ τοῦτο κοινὸν ἐπὶ παντὸς βηχὸς ἀναγομένου ὑγροῦ οἵου.

Οὐ δεῖ δέ σε λανθάνειν, ὡς ἐπὶ μόνων τούτων τῶν ἀναφορικῶν τε καὶ δυσπνοϊκῶν, ἤτοι ἡ γαστὴρ ἐκμαλαχθεῖσα ἢ ἀθρόα διακριθέντα οὖρα, τὴν ἀπαλλαγὴν τῆς νόσου πεποίηκεν ἐξαίφνης, δηλονότι τῶν ὑγρῶν ἐκεῖ που καταρρυέντων.

Ἐπί τοι γε ἐπὶ πλευρίτιδος καὶ περιπνευμονίας, φθίσεώς τε καὶ τῶν λοιπῶν τῶν κατὰ τὸν θώρακα μερῶν ἀποστημάτων, τὸ μὲν διὰ βηχὸς ῥαδίως τὰ ὑγρὰ ἀνάγεσθαι, σωτήριόν πως καὶ ἀσφαλές. τὸ δ' ἐφ' οὕτως ἐπικρατοῦσι πάθεσι τὴν γαστέρα ἐκταράττεσθαι, τῶν οὐκ ἀκινδύνων τὸ πλέον πέφυκε. ταῖς γάρ τοι συνεχέσι τῆς γαστρὸς ἐκκρίσεσιν ἐκλυομένης τῆς δυνάμεως, σχολαίτερον διὰ βηχὸς ἀνάγεται τὰ ὑγρά. φθάνει μὲν γὰρ συρρεῖν ἐπὶ τὴν ἄνω ἔξοδον τὰ τοιαῦτα ὑγρά, εἰς τὰς κοιλίας ῥέοντα τοῦ πνεύμονος. οὐκέτι δ' ἰσχύει διὰ βηχὸς ἀνάγεσθαι, ἀδυναμίᾳ νικωμένου τοῦ κάμνοντος, ὡς κινδυνεύειν ἤδη τῶν εἰσπνοῶν τὰς ὁδοὺς συγκλείεσθαι ἐντεῦθεν, καὶ τὸ τῆς καρδίας πῦρ συμπνίγεσθαι, τὰ δὲ πτύσματα μὴ ῥαδίως ἀναγεσθαι, μηδὲ πέψιν ἤδη ἴσχειν. ἐπὶ δὲ πλευρίτιδός τε καὶ περιπνευμονίας σύστασίν τινα ἐκ πέψεως εἰληφότα, φαίνεταί τε καὶ ὑπόλευκα ὕφαιμα. τἀναντία δέ γε τούτων, πρασώδη καὶ μέλανα καὶ γλίσχρα ὄντα, καὶ μὴ ῥαδίως ἀναγόμενα, καὶ ὀψέ ποτε τῆς νόσου ἐπιφαινόμενα. σὺν μὲν γὰρ ἰσχυρᾷ δυνάμει, μῆκος νόσου σημαίνει, σὺν ἀσθενεῖ δέ, τὸ πλεῖστον θάνατον. χεῖρον δὲ καὶ τὸ μὴ πρὸς βῆχα διερεθίζεσθαι τὸν πάσχοντα, κἂν που τύχῃ, μηδὲν ἄξιον λόγου πτύῃ· ταῦτα γὰρ δὴ πάντα, κακοήθειαν μὲν τῆς νόσου, ἀτονίαν δὲ ἐπισημαίνει δυνάμεως.

*Ἐπὶ δὲ τῶν αἷμα μόνον ἀναγόντων, δύσπνοια μὲν οὐδεμία τις ἕπεται, εἰ μὴ ὁπόταν περὶ τὰς ὁδοὺς τοῦ πνεύματος τὸ αἷμα ῥέῃ, φλεβός τινος ἢ ἀρτηρίας δι' ὁποιανδήτινα ῥαγείσης αἰτίαν. ἤτοι γὰρ διὰ πτῶμα ἢ πληγήν, ἢ βιαίαν τε καὶ ἰσχυρὰν φωνήν, ἢ διάβρωσίν τινα καὶ ἀναστόμωσιν, αὗται πάσχουσι, καὶ τὰ μὲν ἄλλα, δι' ἐπιδήλους αἰτίας γίνονται· διάβρωσις δέ, διά τινας ἐκεῖ που συρρυέντας δριμεῖς καὶ διαβρωτικοὺς χυμούς, οἱ χρονίσαντες ἐν ἁπαλοῖς μορίοις τῆς κατ' αὐτοὺς κακίας τοῖς σύνεγγυς μεταδιδόασι· τὴν δ' ἀναστόμωσιν, καὶ δι' ἀτονίαν μὲν εἰκὸς τῆς καθεκτικῆς δυνάμεως γίνεσθαι· οὐχ ἧττον δὲ καὶ διά τινα λεπτὰ καὶ δριμέα ῥεύματα, τὴν ἀναστόμωσιν ἐρεθίζοντα· ἔτι δὲ καὶ διὰ πλῆθος βιασάμενον. καὶ τὰ μὲν λεπτά τε καὶ ξανθὰ καὶ ὕπαφρα ὄντα, τῆς ἀρτηρίας μᾶλλον τίθεσο ῥαγείσης σύμβολα. τὰ δὲ πορφύρεά τε καὶ παχύτερα τῶν φλεβῶν. τὸ δὲ ποσὸν τοῦ αἵματος, τὸ τοῦ ἀγγείου μέγεθος καταγγέλλει, καὶ τὰ μὲν πάνυ εὔχροα καὶ διειδῆ, τοὺς ὑψηλοτέρους τόπους τοῦ θώρακος· τὰ δ' ἤδη μελανίζοντα καὶ πελιδνά, τὴν ἀπὸ βάθους ἀναγωγὴν σημαίνει. ὥσπερ καὶ τὰ μὲν ἀπὸ τοῦ πνεύμονος, ἀφρώδη τὸ πλέον φαίνεται, τὰ δ' ἀφ' ἑτέρων μερῶν, οὐχ οὕτω. κοινὸν δὲ πάντων τῶν ἀπὸ τοῦ θώρακος ἀναγομένων, τὸ μετὰ βηχὸς τὴν ἀναγωγὴν αὐτῶν γίνεσθαι, ὥσπερ ἔμετος σύμπτωμα τῶν ἀναγομένων διὰ οἰσοφάγου. διάγνωσις δὲ τοῦ πεπονθότος τόπου, τὸ κατὰ τὸν θώρακα βάρος, ἢ ὀδύνης που αἰσθάνεσθαι, ἤτοι ἐν ταῖς μείοσι ἢ ἐν ταῖς μείζοσι τῶν ἀναπνοῶν κατὰ τὸ πεπονθὸς μόριον. ἴδιον δὲ καὶ μάλιστα ἐπὶ τῶν μήπω ῥαγέντων ἀποστημάτων, ἐπ' ἐκείνου μᾶλλον τοῦ μέρους ᾧ ἐμπέφυκε τὸ ἀπόστημα, ῥᾶον κατακλίνεσθαι τοὺς πάσχοντας ἢ ἐπὶ τοῦ ἀντικειμένου. ὥσπερ τινὸς ἐκκρεμαμένου καὶ βαρύνοντος, καὶ τὴν ἀναπνοὴν συγχέοντος ταῖς ἀντικειμέναις ἀνακλίσεσι. ταῦτά γε μὴν καὶ τὰ τοιαῦτα, ἢ ἄνω γε ῥαγέντα χωρεῖ ἢ κάτω, ἢ ἅμα τοῖς περιέχουσι ταῦτα χιτῶσιν, ὃ δὴ καὶ εἰς ἀσφάλειαν ἄμεινον. οὐ γὰρ δὴ αὖθις ἐκεῖ που τὰ αὐτὰ συνίσταται, ἢ μετὰ τὴν τοῦ ὑγροῦ ἐξαγωγήν, ὕστατοι καὶ οἱ ὑμένες διαλυθέντες ἐξίασιν. οὐ γὰρ μικρόν τι*

δέος μὴ τῶν ὑμένων ἐξιόντων, αὖθις ἐπισυστῆναι τὴν ὑπόστασιν, ὥσπερ ὀποῦ τινος τοῦ λείποντος, τῆς ὅσον οὔπω ἐσομένης ἀποστάσεως γεγονότος. δεῖ δὲ καὶ τούτων τὰ ὑγρὰ συρρηγνυμένων, λεῖα φαίνεσθαι τὴν ἀρχήν, καὶ μεθ' αἵματος, καὶ τὴν ἐπὶ τῇ πέψει σύστασιν ἐμφαίνειν, καὶ τὸ πλέον, ὁμοιοειδῆ τυγχάνειν καὶ μὴ βαρέως ὄζειν, ῥᾳδίως τε ἀνάγεσθαι, καὶ εὐφορίαν ἔχειν ὧδε τὸν πάσχοντα. τὰ γὰρ μὴ τοιαῦτα μῆκός τε καὶ κακοήθειαν ἐπισημαίνει τῆς νόσου.

### λζ. Περὶ τῶν κατὰ τὴν γαστέρα παθῶν διάγνωσις.

Ἐπεὶ δὲ περὶ τῶν τοῦ πνεύματος ὀργάνων τὰ εἰκότα εἴρηται, νυνὶ καὶ περὶ τῶν τῆς τροφῆς λεκτέον ὀργάνων, ὅπως τε καὶ ὑφ' οἵων αἰτίων πάσχει καὶ ἅτινα τὰ ἐξ αὐτῶν ἐπιόντα ἢ ἀναγόμενα ἐπισημαίνεται. οὕτω γὰρ ἀποδοθέντος τοῦ λόγου καὶ ἡ κατὰ τῆς τροφῆς τὰ ἀγγεῖα ὑπόθεσις, τὸν ἄρτιον ἀπειληφυῖα ἔσται λόγον. καὶ δὴ καὶ μήτε τῷ ποσῷ τῆς τροφῆς τὸν στόμαχον βαρυνούσης, μήτε τινὶ ποιότητι δακνούσης καὶ ἀλλοιούσης αὐτόν, ὑγιῶς δὲ καὶ αὐτοῦ τοῦ στομάχου καὶ τῆς γαστρὸς κατὰ τὴν ἑαυτῶν οὐσίαν τε καὶ δύναμιν ἐχόντων, εὐφορία μὲν ἐπὶ τῇ πέψει ἕπεται, οὐδαμῶς δὲ ἢ βραχεῖαι καὶ ἄπονοι γίνονται ἐρυγαί. τά,τε ἔντερα μετὰ τὴν πέψιν τῆς γαστρός, αὐτὴν διαδεξάμενα τὴν τροφὴν καὶ κατ' οὐδὲν βαρυνθέντα, ὅσον τε χυμῶδες ἐν αὐτῇ προσειληφότα, μεθ' ἱκανὸν τὸν χρόνον, ῥᾳδίως τε καὶ ἀλύπως τὸ περιττὸν ἐκκρίνει. λεῖόν τε καὶ μαλθακὸν καὶ ἱκανῶς ὠχρόν, ἤτοι οὖν ὑπόξανθον φαινόμενον, εἰ μή τις ἀποκαταβαφῆς τινος τροφῆς ἑτέρα χροιὰ ἐπιγένηται ἀναλογίαν μέντοι δεῖ τινα πρὸς τὴν τῆς τροφῆς ἀποσώζειν ποσότητα τὰ κενούμενα· ἂν δ' ἤτοι τῷ ποσῷ ἢ τῷ ποιῷ τὰ προσφερόμενα τοῦ συμμέτρου ἐξήλλακται, ἤ τις δυσκρασία ᾖ, ἢ χυμοί τινες ἀλλόκοτοι ἐμπεπλεγμένοι τὰ τῆς τροφῆς λυμαίνονται ὄργανα, πολλά τε καὶ ποικίλα ἀναφαίνεται πάθη.

Καὶ τῷ μὲν ποσῷ βαρύνουσα ἥ τε τροφὴ καὶ ἡ πόσις ἤτοι ἐμέτους τε καὶ διαρροίας εἰώθασιν ἐπάγειν, ἢ μὴ ἐμεθέντα ἢ διαρροΐσαντα βραδυπεψίας τε καὶ ἀπεψίας. εἰ

δέ κατὰ ποιότητα πολλῷ γε τοῦ συμμέτρου ἐξαλλάττοιντο, θερμῆς μὲν τῆς ἐπικρατούσης οὔσης ποιότητος, δηγμοὶ κατά τε τὴν γαστέρα καὶ τὰ ἔντερα νύσσοντες, κεφαλαλγίαι τε καὶ ἐρυγαί, κνισσώδεις τε καὶ ἀηδεῖς. ψυχρᾶς δὲ φῦσαι σύνεισι καὶ ἐρυγαὶ ὀξώδεις, ἢ καὶ ἕτεραι αὐτὴν δὴ ταύτην ἐμφαίνουσαι τὴν τῆς τροφῆς ποιότητα, στρόφοι τε καὶ κλύδωνες. καὶ ταῦτα μὲν ἐμέτοις ἢ ὑπεξαγωγαῖς σκυβάλων, βραχείαις ἅμα καὶ καθαραῖς τροφαῖς ἀποκαθίστανται· αἱ δυσκρασίαι δὲ ταῖς ὁμοίαις μὲν εἰκότως παροξύνονται τροφαῖς, ταῖς δ' ἐναντίαις ῥαΐζουσι, καὶ οὐδέν γε ἴσως ἄτοπον, εἰ τὰ μὲν ὅμοια αὐξητικὰ ἀλλήλων ᾖ, ἐξ ἐναντιωτάτων δὲ κιρνᾶται σύμμετρον· ὅπου γε τὸν λόγον φθάνουσα ἡμᾶς διδάσκει ἡ αἴσθησις. ἀμέλει τὸν μὲν ξηραῖς ἠλλοιωμένον ἢ θερμαῖς ποιότησιν, ὄρεξις τῶν ὑγρῶν ἢ τῶν ψυχρῶν ὀχλοίη ἂν μάλιστα· τῶν δ' ἐναντίων ἡ ψυχρά τε καὶ ὑγρὰ ἐφίεται δυσκρασία, καὶ ὧδε μὲν ποιότητος τινὸς ἐπικρατούσης, ταῦτα γίνεται. εἰ δέ τις εἴη καὶ χυμῶν διεφθορότων ἐπικράτησις, ὅσα δεινὰ συμβαίνειν εἰκός. ψυχρῶν μὲν γὰρ καὶ γλίσχρων καὶ ὠμῶν χυμῶν ἐμπεπλασμένων τῇ γαστρί, βραδυπεψίαι μὲν καὶ δυσπεψίαι ἕπονται, οὐχ ἧττον δὲ καὶ ἴλιγγοι, ὀξυρεγμίαι τε καὶ ἄλογοι ὀρέξεις, καὶ ἄδιψοι τὸ πλέον οἵδε μένουσιν, εἰ μή τις αὐτοὺς νιτρώδης τε καὶ ἁλυκὸς χυμὸς λυποίη. τότε γὰρ καὶ δίψος αὐτοῖς ἀξιόλογον ἕπεται, εἰ δὲ χολώδεις τε καὶ σεσηπότες ἕτεροι διενοχλοῦντες ὦσι χυμοί, ὅσης ἀηδίας ἐμπίπλασθαι τοὺς πεπονθότας εἰκός; οἱ μὲν γὰρ αὐτῶν πικρότητος μόνης ἔχουσιν αἴσθησιν, οἱ δ' αὖ ἀρρήτου τινὸς ἀηδίας, ὥσπερ ἔνιοι βρωμώδους τε καὶ ἰχθυώδους αἰσθάνονται ποιότητος, καὶ ἄλλος ἄλλης. πάντες δ' ἀηδοῦς καὶ πεφυκυίας ἐκταράττειν τοὺς πάσχοντας. ἅπαντες δ' οὗτοι ἐπὶ διαφθοραῖς τε καὶ σήψεσι πολυειδῶν χυμῶν, οὕτως ἀηδῶς διάκεινται. οὐ θαῦμα δ' εἰ ἀπόσιτοι καὶ δίψους μᾶλλον ἥττους ὅσοις ἀηδεῖς καὶ σεσηπότες οὕτω χυμοὶ πρὸς τῇ γαστρί τε καὶ αὐτῆς τῷ στόματι ἐγκάθηνται, τὴν μὲν τῶν καθηκόντων ἀπὸ τοῦ ἐγκεφάλου νεύρων ἐπὶ τὸ τῆς γαστρὸς στόμα ἐπὶ τῇ πείνῃ αἴσθησιν τῆς τῶν ἀηδῶν χυμῶν ἀπαμβλυνάσης ἐπικλύσεως. τῆς δὲ ξηρότητος αὐτῶν

συνδιατιθείσης τὸ τῆς γαστρὸς στόμα καὶ διερεθιζούσης τὴν ἐπὶ τὸ πάθος αἴσθησιν. καὶ οἶδε μὲν οὖν ἅπαντες οἱ ἐνοχλούμενοι τοιούτοις πάθεσι, ῥυπτικοῖς τε καὶ τμητικοῖς φαρμάκοις τισίν, ἐμέτοις τε χρησάμενοι καὶ ταῖς συμφερούσαις καθάρσεσιν, ἐπὶ τὸ ὑγιὲς αὖθις καθίστανται. ἐπεὶ δ᾽ εἰκὸς ἐνίους ἁλίσκεσθαι ἐμέτοις τε καὶ διαρροίαις καὶ χολέραις, τεινεσμοῖς τε καὶ δυσεντερίαις, ἔτι τε λειεντερίαις, στρόφοις τε καὶ κλύδωσι γαστρός, ἀλγήμασί τε κώλου καί τισι τοιούτοις, φέρε τι καὶ περὶ τούτων τὰ εἰκότα λέξωμεν ὡς ἂν μηδὲ τούτων εἴης ἄπειρος, καὶ πρῶτον μὲν περὶ τῶν ἐμουμένων λέξωμεν, εἶθ᾽ οὕτως δὲ καὶ περὶ τῶν διὰ γαστρὸς χωρούντων.

### λη΄. Περὶ διαγνώσεως ἐμουμένων.

Ἐν πᾶσιν οὖν τοῦτό σε δεῖ προεπίστασθαι, ὡς συνηθείας μὲν τὰ πρῶτα δεῖ χαρίζεσθαι, εἶθ᾽ οὕτως ἐπὶ πᾶσι τοῖς ἐκκρινομένοις τὰς ἀποφάσεις ποιεῖσθαι. ἐνίοις γὰρ τοσούτῳ φαίνεται χείρω τὰ ἐμούμενα, καὶ διὰ γαστρὸς χωροῦντα, συνήθεσί τε τῆς φύσεως ἐκκρίσεσιν, ὡς ἀγνοῶν μὲν διαμάρτοις ἂν πολλῷ τοῦ δέοντος. καταμαθὼν δὲ ἀμείνων ἔσῃ διαγνώμων. καὶ δῆτα τῆς τροφῆς καὶ πόσεως τὴν συμμετρίαν τηρούσης, εἴ γέ τινες ἕποιντο ἐπ᾽ αὐταῖς ἔμετοι, ἤτοι ἐψύχθαι δι᾽ ἀήθη προσβολὴν ψυχροῦ, ἀπό γε τῶν ἐκτὸς ἢ τῶν ἐντὸς λυπήσαντος, ἢ τεθερμάνθαι καὶ διηρεθίσθαι φαίνεται τὴν γαστέρα, διά τινα δριμεῖάν τε καὶ δάκνουσαν προσισχομένην τῇ γαστρὶ χολήν. καὶ ἥδε μὲν ἤτοι συνεξεμεθείη ἂν πᾶσα τοῖς βρώμασιν, ἢ τό γε δεύτερον, ψιλήν τινα τῆς κατ᾽ αὐτὴν αἴσθησιν δοίη ἂν ποιότητος, πικρότητός τινος τοῦ κάμνοντος ᾐσθημένου. εἰ δὲ δὴ ἐπισυμβάσης τινὸς ψύξεως, ἀκολουθοίη ἔμετος, αὐτὴ ἂν μόνη ἡ τροφὴ ἐξεμεθείη, ἢ καὶ μετά τινος βραχέος φλέγματος, οὐδέν τι δ᾽ ἄξιον ἀκολουθήσει λόγου βλάβος, εἰ μή που συνδιαδοθείσης τῇ γαστρὶ καὶ τοῖς ἐντέροις τῆς βλάβης, διάρροιά τις ἐπιγένοιτο, ἢ δὴ τῷ ποσῷ ἂν μόνῳ ἐνοχλήσειε· καὶ ἴσως ἄν γε περὶ τούτου προϊόντες φαίημεν. νυνὶ δὲ περὶ τῶν ἑξῆς, ὡς δι᾽ ἐμέτου φερομένων, εἴπωμεν. εἰ μὲν οὖν οὐδεμιᾶς αἰτίας ἔξωθεν βια-

σαμένης ἐξεμοῦντες ἤτοι φλεγματώδεις τινὰς χυμοὺς ἐξάγουσιν ἀποίους ἢ ὀξώδεις ἢ γλυκάζοντας ἢ ἀλυκοὺς ἢ καὶ μετά τινος ἀναμεμιγμένης ποιότητος πικρᾶς, ἤτοι αὐτῷ τῷ πλήθει βαρύνοντας καὶ ἐμουμένους διὰ τοῦτο, ἢ τινος ἐμφωλευούσης καὶ διερεθιζούσης χολῆς τούτους, ἢ δὴ καὶ ὑστάτη μετὰ τούτους ἐνίοτε συνεξάγεται. ταῦτά τοι καὶ πυνθάνεσθαι ὧδε χρή, εἴ τινος ἐπὶ τοῖς ἐμουμένοις αἴσθοιντο πικρότητος. οἱ δὲ δὴ μόνας χολὰς ἀνάγοντες ἤτοι ὠχρὰς ἢ ξανθὰς ἢ πρασοειδεῖς τε καὶ ἰώδεις ἀνάγουσιν, ἢ ἀκραιφνεῖς καὶ καθαράς, ἢ μετ' ἀλλήλων μεμιγμένας, ἢ καὶ μετά τινος φλέγματος, καὶ ἢ παχείας καὶ θρομβώδεις, ἢ λεπτὰς καὶ λείας, καὶ ἢ τις εὐφορία ἕπεται, προηγησαμένης δυσφορίας, ἢ μᾶλλον δυσφορίαι καὶ ἀθυμίαι καὶ λειποψυχίαι ἕπονται. καὶ εὐφορίαι μὲν ἐπὶ δεούσαις ἕπονται ἐκκρίσεσιν. ἀνάπαλιν δὲ ἐπὶ ἐνδεούσαις, δι' οἱασδήτινας προφάσεις, ἃς ἐν ἰδίοις τόποις λέξομεν. τὰ χρώματα δὲ τῶν χολῶν, ὁπόσον ἂν τοῦ κατὰ φύσιν, τοῦ ὠχροῦ φημι καὶ τοῦ ξανθοῦ ἐκβαίη, τοσούτῳ χείρω φαίνεται, καὶ δυσφορίαι ὧδε πλείους ἕπονται. ἀμείνους δὲ τῶν ἐμουμένων χολῶν, αἱ μετὰ φλέγματος. δεύτεραι δὲ αἱ ὑγρότεραι, ἥκιστα δὲ αἱ θρομβώδεις. πᾶσαι δὲ ἡγησαμένων πέψεων καὶ τῆς φυσικῆς συνδραμούσης ῥώμης, κἂν διαφέρωσιν ἀλλήλων ἐπὶ μοχθηρίᾳ, ἀλλ' οὖν εἰς ἀγαθὸν τείνουσι τέλος. τἀναντία δὲ ἕπεται, μὴ προφανείσης πέψεως, καὶ μάλιστα ἢν μὴ ὁ ζωτικὸς συνεξακολουθοίη τόνος. τοῦτο δὲ κοινὸν καὶ ἐπὶ τῶν λοιπῶν οἴεσθαι δεῖν ἐκκρίσεων. οὐ δεῖ δὲ τῷ ποσῷ τεκμαίρεσθαι, ἀλλ' ἢν οἷα δεῖ καθαίρεσθαι, καθαίρωνται καὶ ὅπως. ἐντεῦθεν γάρ σοι τὸ διαγινώσκειν ἔσται ἄμεινον. περὶ δὲ χολῆς μελαίνης ἐμουμένης, οὐκ οἶδα ὅτι ἂν καὶ φῶ, ἀεὶ τὰ χείριστα προσημαινούσης τοῖς ἐμέσασι. διαγνωσθείη ἂν σοι αὕτη, εἰ κατὰ σποδοῦ χυθεῖσα ὑπερζέσει, οἷόν τι κἂν τοῖς δριμέσιν ὄξεσι συμβαίνειν εἴωθε· κἂν που ἔροιο τὸν κάμνοντα, ὀξέος πάνυ ἐρεῖ σοι αἰσθάνεσθαι καὶ στρυφνοῦ τοῦ ἐμουμένου χυμοῦ. εἴρηται δὲ ὡς διὰ τούτων εἴη σοι διαγιγνώσκειν τοῦτον, καὶ μὴ ῥᾳδίως ὑφ' ὁμοίων ἐξαπατᾶσθαι χυμῶν. ἡ γὰρ ἰώδης τε καὶ ἰσατώδης ἐπὶ μᾶλλον χρονίσασαι καὶ συσσαπεῖσαι,

τοιαῦται μὲν φαίνονται ἐνίοτε τῷ χρώματι. πικρὰν δὲ ἀεὶ παρέχουσι τὴν αἴσθησιν· αἷμα δέ ποθεν εἰς τὴν γαστέρα ῥυὲν καὶ παραμεῖναν, μέλαν γίνεται, οὐχὶ τοιαύτης δὲ τελοῦν ποιότητος ἐξελέγχεται.

λθ'. Περὶ ἐμουμένου αἵματος.

Ἐπεὶ δὲ εἰς τὸν περὶ αἵματος λόγον κατέστημεν, προσεπιθῶμεν καὶ τὸν περὶ τούτου λόγον. ἐνίοις γὰρ αἷμα ἀναφέρεται ἐμούμενον, ἢ καθαρὸν ἢ μελαινόμενον ἤδη, καὶ ἢ ἐπὶ προηγησαμένοις πτώμασιν, ἢ πληγαῖς, ἢ τισιν ἑτέραις ἔξωθεν αἰτίαις, ἢ τὸ δοκεῖν, ἐξ αὐτομάτου. καὶ ἐπὶ μὲν ταῖς ἔξωθεν δήλαις οὔσαις, οὐ πολυπραγμονεῖν θέμις. ταῖς δὲ ἐντὸς ἀγνοουμέναις, διαφύγοι ἂν καὶ εἴ τις ἐπ' αὐταῖς βοήθεια νομίζοιτο. ἢ τοίνυν πλήθους προηγησαμένου καὶ βαρύνοντος, καὶ τὴν ἔξοδον σπεύδοντος, ἢ τῆς καθεκτικῆς δυνάμεως τῶν φλεβῶν καὶ τοῦ ἥπατος ἀτονούσης, σφοδρότερον δὲ διὰ τυχοῦσαν ἔνδειαν τῆς γαστρὸς ἑλκτικῆς δυνάμεως ἐνεργησάσης τῇ ἀνθολκῇ, μετήχθη τὸ αἷμα ἐπὶ γαστέρα. ἅπαξ δὲ ῥοπὴν τοιαύτην εἰληφὸς δυνάμεων, διαφόρων μορίων ἀῤῥωστίᾳ τε καὶ ἰσχύϊ, ἤδη εἰς συνήθειαν τῷ χρόνῳ τὸ πάθος περιέστη, ὑφ' ᾗ καὶ ὁ τοῦ αἵματος ἔμετος ἐνίοις ἕπεται, καὶ μάλιστα ἐπὶ πλέον νηστεύσασι. τισὶ δὲ ῥῆξίς τε καὶ ἀναστόμωσις ἀγγείων γίνεται διά τινα διάβρωσιν, ἢ πλῆθος ἡγησάμενον, ἢ πληγήν, ἢ πτῶμα· καὶ ἄχροα μὲν τὰ ἐξ ἐπιπολῆς, μελαινόμενα δ' ἤδη τὰ ἀπὸ βάθους ἀναγόμενα. καὶ ὧδε μὲν ὁ περὶ ἐμέτων ἀποληγέτω λόγος. ἑξῆς δ' ἂν εἴη φάναι περὶ τῶν διὰ γαστρὸς χωρούντων.

μ'. Περὶ διαγνώσεως ἐκκρινομένων.

Καὶ τοίνυν τῆς τροφῆς πλεονεκτούσης τῷ ποσῷ, καὶ μὴ κρατουμένης τῇ πέψει, ὑπόλευκά τε καὶ ὑγρὰ διαχωρεῖ ἀθρόα, καὶ ποτε καὶ διαῤῥοίας εἴδη τούτοις ἕπεται. καὶ τὰ μὲν αὐτῶν, οἷα τὴν ἀρχὴν ἐφάνη, παραμένει. τὰ δ' αὖ εἰς ἕτερα μεθίσταται χρώματα, καὶ ἢ εἰς ἀμείνω τε καὶ πεπεμμένα, ἢ εἰς ξανθά τε καὶ ὑγρά, καὶ οἷα τὰ ἀπὸ χολῆς ἐκκρίνεται. καὶ οὔπω ἀπεικός. καὶ γὰρ ἐνίοτε ὀργώ-

σης τῆς ἐκκριτικῆς δυνάμεως, ἐπὶ τῷ τοὺς λυποῦντας τῶν χυμῶν ἀπώσασθαι, πρόφασις ἡ διάρροια εὑρεθεῖσα, συνεξήγαγε τοῖς ἀπεπτηθεῖσι τὰ δεόντα. ἀμέλει προσέχειν ἀκριβῶς δεῖ ἐνταῦθα, μήπως ἀπροόπτως ἀποπειρώμενος τὴν ἐπὶ διαρροίαις ἐπισχεῖν φορὰν, λάθῃς ἐπισχὼν τὴν ὁρμὴν τοῦ δέοντος ἐκκρίνεσθαι χυμοῦ. οὐκ ἀγνοεῖν δὲ δεῖ, ὡς ἔσθ' ὅτε καὶ εἰς χολέρας εἴδη ταῦτα μεθίσταται, καὶ ὁτὲ μὲν ἄνω τε καὶ κάτω, ὁτὲ δὲ κάτω μόνον φέρεται, καὶ ὑδατόχολα μὲν λέγεται καὶ φαίνεται τὰ ἐκκρινόμενα· ἀτονίας δὲ καὶ ἀθυμίας, ἔτι τε συγκοπὰς καὶ καταψύξεις ἐπιφέρει ὕστερον πλεονάσαντα, καὶ μὴ βοηθούμενα. καὶ τὰ μὲν ὑπόλευκα καὶ γαλακτώδη, καὶ ἀσύστατα τῶν ἐκκρινομένων, οὐχὶ μικράν τινα κατηγορεῖ τὴν ἀτονίαν τῆς πεπτικῆς καὶ ἀλλοιωτικῆς δυνάμεως διά τινα ἐπικρατήσασαν ψύξιν. ὥσπερ δὴ τὰ πυρρά τε καὶ ξανθά, χολώδους πλεονάζοντος χυμοῦ διατελεῖ ἔκγονα, διά τινα πλεονεκτήσασαν θερμότητα, ἔσθ' ὅτε δὲ ἐνίοις λευκὰ καὶ μᾶλλον συνιστάμενα, καὶ οἷον τῶν κυνῶν αἱ κόπροι φέρονται, καὶ οὐκ ἀθρόα, οὐδὲ συχνάκις, ὁποῖα καὶ ἐπὶ διαρροίαις. καὶ διασημαίνει ταῦτα, μᾶλλον τὸν ἐξοχετεύοντα ἐπὶ γαστέρα τῆς χολῆς πόρον ἐμπεφράχθαι. ταῦτά τοι καὶ χολώδη τὰ οὖρα τὸ πλέον αὐτοῖς φαίνονται, ὧδε τῆς πλείονος μετοχετευομένης χολῆς, ἢ καὶ ἄνω συνήθως ἐμουμένης. τὸ πλέον δὲ ἰκτέροις ταῦτα ἐπιγίνεται, τοῦ χρωννῦντος ἐπὶ τὸ δέρμα συνεξορμῶντος χυμοῦ. καὶ τὰ μὲν ξανθά τε καὶ πυρρά, ὡς εἴρηται, καὶ οἷον ἐρυθρὰ ὑποχωρήματα, ἀπό τε τῆς ξανθῆς καὶ ἐρυθρᾶς χολῆς χρώννυται. ὥσπερ δῆτα τὰ πρασώδη καὶ ἰώδη καὶ κραμβίζοντα, τοιούτων ἔκγονα χυμῶν. τὰ δέ γε μέλανα, ὁτὲ μὲν ἐξοπτηθέντος τε καὶ ἐκκριθέντος αἵματος, τοιαύτη φαντασία γέγονεν, ὁτὲ δὲ αὐτῆς ἐστι τῆς ἀναιρούσης χολῆς ἔκκρισις, ἔσθ' ὅτε μὴν, ποικίλα τε καὶ ἀναμεμιγμένα φαίνεται χρώματα, τῶν προτέρων χείρονα, ὅτε καὶ τοὺς ἀκμάζοντας πλέον διασημαίνει χυμούς· καὶ οἵδε μὲν ἅπαντες οἱ χυμοί, οὓς ἐξεθέμην τῷ λόγῳ, ῥαδίως τε καὶ ἀλύπως, καὶ ἐπὶ κρισίμοις ἐκκρινόμενοι ἡμέραις, καὶ πέψεως ἡγησαμένης, καί τινα εὐφορίαν συνεπάγοντες ταῖς ἐκκρίσεσιν, πάντως ἂν εἶεν ἀγα-

*θοὶ φαινόμενοι. τἀναντία δὲ αὐτῆς πέφυκεν ἐπὶ τοῖς ἐναντίως γινομένοις συμβαίνειν. λειποψυχίαι γὰρ καὶ ἀθυμίαι, ἔτι τε ἀναισθησίαι καὶ παραφροσύναι, ῥιπτασμοὶ καὶ θάνατοι ἔσθ᾽ ὅτε ἐξαπιναῖοι ἕπονται. προσκείσθω δὲ τῷ λόγῳ καὶ τὰ ἀπὸ τῶν δυσκρασιῶν τῆς γαστρὸς κοιλιακὰ πάθη καλούμενα. καὶ γὰρ ψυχθείσης καὶ θερμανθείσης σφοδρότερον, ξηρανθείσης τε καὶ ὑγρανθείσης, καὶ εἰς ἕξιν ἤδη καταδεξαμένης τὴν δυσκρασίαν, αἱ ἀπ᾽ αὐτῆς κοιλιακαὶ καλούμεναι γίνονται διαθέσεις. καὶ τούτων τοὺς μὲν διψώδεις τε ἐσόψει καὶ ἀβληχρῶς πυρέσσοντας, ξανθά τε καὶ πυρρὰ διαχωροῦντας, καὶ προσαγωγῇ ψυχρῶν ὠφελουμένους, τοὺς δ᾽ αὖ βραδυπεπτοῦντας καὶ ἀδίψους τὸ πλέον καὶ ἔνωμα διαχωροῦντας, ὥσπερ τοὺς δι᾽ ὑγρότητα, ἀσώδεις τε καὶ ὑγρότερα καὶ ὕπωχρα ἀποπατοῦντας· τοῖς δὲ τῆς ξηρότητος τῷ πάθει εἰλημμένοις ὀλίγα μὲν προΐεται μετὰ συντηγμάτων. διψῶσι δὲ πλέον οὗτοι, καὶ δυσιατώτεροι καὶ μᾶλλον ἐκτετηγμένοι, ἐκδαπανηθείσης αὐτῶν ἤδη τῆς φυσικῆς ἰκμάδος τοῦ σώματος. καὶ ἔμετοι μὲν καὶ γαστρόῤῥοιαι ἀδικοῖεν ἂν τῇ τῶν φερομένων κακίᾳ, οὐχ ἥκιστα δὲ καὶ τῷ τῶν ἐκκρινομένων ποσῷ, ἐπειδὰν καὶ πλείω εἴη τοῦ δέοντος τὰ κενούμενα, συνεξατμιζομένου μὲν ταῖς ἐκκρίσεσι τοῦ θερμοῦ, ξηραινομένου δὲ καὶ ἀτροφοῦντος ἤδη τῇ πλείονι κενώσει τοῦ σώματος.*

### *μα´. Περὶ διαγνώσεων τεινεσμῶν.*

*Τεινεσμοὶ δὲ καὶ δυσεντερίαι, καὶ ἡπατίτιδες οὕτω τοῖς πολλοῖς δυσεντερίαι λεγόμεναι καὶ λειεντερίαι, οὐ μᾶλλον τῷ ποσῷ ἢ τῇ κακίᾳ φθείρουσι. καὶ γὰρ ὁπόταν αἱ χολαὶ πάνυ τοι δριμεῖαι καὶ καυσώδεις ὦσιν, εὐπαθῆ δὲ τὰ ἔντερα ᾖ, φθάνουσι τῷ ἐξιέναι ἀμύσσειν τε καὶ ξύειν τὰ ἔντερα. κἂν μὲν οὖν ἐν τῷ ἀπηνθυσμένῳ γένηται, τεινεσμὸς τὸ πάθος λέγεται, τῷ τὸ μόριον ὃ πέπονθεν, ἐκτείνεσθαί τε καὶ πρὸς ἔκκρισιν βιάζεσθαι. καὶ οὐδὲν οὖν ὅ τι καὶ ἄξιον λόγου ὧδε φέρεται ἐπὶ ταῖς συνέχεσί τε καὶ μετὰ βίας ἐκκρίσεσιν, εἰ μὴ μυξώδη τε καὶ ὕφαιμά τινα ὑγρά, γλίσχρα τε καὶ δυσαπόσπαστα, ὥστε μᾶλλον ἂν καταλυθείη ὧδε τῷ συνεχεῖ τῶν ἐξαναστάσεων ἡ δύναμις,*

καὶ τῷ διατείνεσθαί τε καὶ ἐρεθίζεσθαι σφοδρότερον τὸν κάμνοντα, ἔτι τε, τῷ τῶν ἐκκρινομένων ποσῷ· εἰ δὲ προσίσχεταί που τῶν ἐντέρων ὁ δακνώδης χυμὸς οὗτος, ξύει τε καὶ ἐρεθίζει πρὸς ἔκκρισιν, καὶ δυσεντερία μὲν τὸ πάθος καλεῖται. ἐπισημαίνει δὲ τὸν πεπονθότα τόπον ἡ συνεδρεύουσα ἀεὶ τῷ κάμνοντι ὀδύνη, καὶ τὰ μὲν κάτωθεν τοῦ ὀμφαλοῦ ὀδυνωμένου τοῦ κάμνοντος, τὰ παχέα τῶν ἐντέρων νομίζεται καταδέχεσθαι τὸ πάθος. τὰ δὲ ὑψηλότερα, τοῖς λεπτοῖς τῶν ἐντέρων ἐπαπειλεῖται τὸ πάθος. κἂν μὲν οὖν μὴ πάνυ πονηραὶ αἱ ἐκκρινόμεναι χολαί εἰσιν, ὁποῖαι αἱ πρασώδεις καὶ αἱ ἰώδεις (αἱ γὰρ ἀπὸ μελαίνης ἀρχόμεναι δυσεντερίαι, θανατώδεις), μηδὲ ὁ πυρετὸς σφοδρός, μήτε πλήρης σεσημμένων χυμῶν τὸ σῶμα ᾖ, οὐ πάνυ τοι φοβεῖσθαι δεῖ. καὶ μάλιστα ἢν εἰς τὰ κάτω τοῦ ὀμφαλοῦ τὸ πάθος ἐνστηριχθείη, ἢν δὲ τὰ χείρω ἐπικρατοῦντα ᾖ, οὐχὶ μικρὸν τὸ δέος πέφυκεν, ἀπολέσθαι τὸν ἄνθρωπον. καὶ οἱ μὲν πρὸς τῷ ἀπηυθυσμένῳ τὸ πάθος ἔχοντες, ἰδίᾳ μὲν ἐκκρίνουσι τὰ ἀπὸ τροφῆς περιττώματα. ἰδίᾳ δέ, τὰ ἀπὸ τοῦ πεπονθότος τόπου ξυόμενα. ἐπὶ δὲ τοῖς ὑψηλοτέροις πεπονθόσι μέρεσιν, ἑνῶσθαι φθάνει τοῖς ἀπὸ τῆς τροφῆς τὰ αὐτοῦ τοῦ πάθους ξύσματα, καὶ μάλισθ᾽ ὅσον ἀφ᾽ ὑψηλοτέρων μερῶν ταῦτα ἔρχεται. κἂν μὲν οὖν τὰ τῶν σκυβάλων χρώματα, καὶ αἱ συστάσεις, πρὸς τὸ κατὰ φύσιν ἤδη χωρῇ, φορητότεραι καὶ αἱ ὀδύναι γίνονται, καὶ τὰ ἀπὸ τῆς πληγῆς φερόμενα ἀμείνω τε καὶ μείω διὰ πλείονος φερόμενα τοῦ χρόνου. καὶ χρὴ τὸν θεραπεύοντα τἄμεινω προσδοκᾶν περὶ τοῦ κάμνοντος, ὡς ἐκφευξομένου τὸν κίνδυνον. τἀναντία δέ, ἐπὶ τὰ χείρω δηλοῖ τετράφθαι τἀρρώστημα, καὶ μετρίως μὲν τοῦ πάθους ἔχοντος, ὀλίγα τε τὰ ξύσματα καὶ ὕφαιμα καὶ μυξώδη, καὶ ἀνιῶσιν αἱ ὀδύναι, καὶ διὰ μειζόνων διαλειμμάτων αἱ ἐξαναστάσεις. ἐπιτεινομένου δέ, καὶ αἱματώδη πλέον ἔνεστι τὰ ἐκκρινόμενα, εἰ δ᾽ ἐπὶ πλέον αὔξοιτο τὸ κακόν, καὶ εἰς νομὴν τὸ ἕλκος χωροίη, τὰ πρῶτα μὲν ἀθρόον αἷμα φέρεται· εἶθ᾽ οὕτως δὲ καὶ κρεώδη ξύσματα· τοσούτῳ δὲ μείζω ὅσῳ καὶ χείρω, δυσώδη τε, καὶ ὅσον οὔπω μελαινόμενα. φαῦλον δὲ πρὸς τοῖς ἄλλοις, καὶ τὸ

ἀπόσιτον τελεῖν τὸν ἄνθρωπον. καὶ ταύτῃ μὲν εἰ μὴ κακόηθες, ἢ μή, τὸ νόσημα διασημαίνεται.

### μβʹ. Περὶ διαγνώσεως λειεντερίας.

Λειεντερία δ' ἐκ μεταπτώσεως τὸ πλέον γινομένη, χρονιούσης διαῤῥοίας ἢ δυσεντερίας, τοσούτῳ χαλεπωτέρα, ὅσῳ καὶ ἐπὶ προηττονηκυίᾳ τῇ δυνάμει γίνεται. ἐπισημαίνεται δὲ τὸ πάθος, ἀπ' αὐτοῦ δὴ τοῦ ὀνόματος, λείων τε καὶ οἷον ὀλισθηρῶν γεγονότων τῶν ἐντέρων, καὶ μηδ' ἐπὶ βραχύ τι χρόνου παρακατέχειν τὴν τροφὴν δυναμένων· ὁμοίου τοῦ συμβαίνοντος ὄντος τοῖς ὑπτιασμὸν παθοῦσι τοῦ στομάχου, οἳ μηδέν τι διακαρτερήσαντες, αὖθις τὰ καταποθέντα ἀνάγουσιν. ὀξυρεγμίαι δέ τινες ἔτι γεγενημέναι ἐλπίδας τινὰς ὑγείας ὑποτρέφουσιν, ἤδη πρὸς ἑαυτὴν τῆς καθεκτικῆς καὶ πεπτικῆς δυνάμεως ἐπανερχομένης, καὶ οἷον ἀποπειρωμένης ἐπιτιθέναι πέψιν τοῖς προσληφθεῖσιν.

### μγʹ. Περὶ διαγνώσεως αἵματος διαχωρουμένου.

Περὶ δὲ αἵματος φερομένου δεῖ ἐκεῖνα νοεῖν· ἄνω μὲν ἰόν, ἀεὶ κακόν, κάτω δ' οὐκ ἀεί· τοῖς μὲν γὰρ καὶ ἀπ' αὐτομάτου πλεονάσαν, διὰ τῶν ἐντέρων κάτω ῥεῖ, τοῖς δὲ καὶ διὰ τῶν αἱμοῤῥοΐδων. ἀλλὰ τὸ μὲν αὐτῶν μελαινόμενον ἤδη, ὡς ἀφ' ὑψηλοτέρου τόπου ἐξιόν, καὶ χρόνον τινὰ ἐγκατατρίψαν. τὸ δ' ἀκραιφνὲς καὶ καθαρὸν καὶ οἷον τὸ τῶν νεοσφαγῶν ζώων, τὸ γὰρ ἀφ' ἥπατος ἰόν, ἄλλο ὂν παρὰ ταῦτα, πλύμασι κρεῶν νεοσφαγῶν μᾶλλον ἔοικε, καὶ τὸ μὲν ὡς περιττὸν καὶ πλεονάσαν, ἐκρυὲν ἀθρόον τε, καὶ δι' ὀλίγων ἐκφανὲν ἐξαναστάσεων, βάρους τε καὶ πυρετοῦ ἔσθ' ὅτε τὸν νοσήσαντα ἀπήλλαξε. τὸ δὲ δι' ἀτονίαν τε καὶ θέρμην τοῦ ἥπατος ἐκκρινόμενον, δίδωσι τοῖς ἁπλουστέροις οἴεσθαι δυσεντερίᾳ ἔχεσθαι τὸν κάμνοντα· τὸ δ' οὐχ οὕτως ἔχει. οὔτε γὰρ ἄλγος ἐντέρων ὧδε, οὔτε συνεχεῖς ἐξαναστάσεις τε καὶ τεινεσμοί· ἀλλ' οὐδὲ κατὰ βραχὺ ἐκκρίνεται. εἰ γάρ τι ἄλγος τε καὶ βάρος εἴη, πρὸς τὸ ἧπαρ μᾶλλον ἂν εὕροις ζητήσας, ὥστε ἐν ἐκείνῳ δεῖ προσάγειν τὰ βοηθήματα. ῥᾳδίως δὲ καὶ οὗτοι ἀπαλλάτ-

τονται, τῆς προσηκούσης ἐπικουρίας τυχόντες. τό γε μὴν ἀφ' αἱμορροΐδων ἐξιὸν, πολλῶν παθῶν ὑποπτευομένων, ἀπαλλάσσει τοὺς ἔχοντας. μανίαις γάρ τοι καὶ μελαγχολίαις, περιπνευμονίαις τε καὶ πλευρίτισι, καὶ φθόαις καὶ ἀναστομώσεσιν αἵματος οὐκ ἂν ἁλοίη ὁ συμμέτρως δι' αὐτῶν ἐκκαθαιρόμενος. ἀλλ' ἐπειδὰν συνήθεις ἤδη γεγονυῖαι τῷ χρόνῳ, αὖθις τύχοιεν ἐπισχεθεῖσαι, πρὸς τῷ μὴ ῥύεσθαι παθῶν ὡς ἔφην, βάρη τε καὶ ὄκνους πρῶτον ἐπιφέρουσιν, εἶτα σκοτοδυνίας τε καὶ ἀμβλυωπίας, καὶ ἀποστροφὰς σιτίων, κἄπειθ' οὕτως ἐπάρσεις τε καὶ βάρη σπλάγχνων, ἔσθ' ὅτε δὲ καὶ φλεγμονὰς ἢ σκίρρους, καὶ ὑδερικάς τινας παρεγχύσεις καὶ σκοτώματα. εἰ δέ γε τύχοι ἐπὶ τὰ κάτω ἐξορμῆσαν, τὸ δι' αὐτῶν συνήθως πάλαι ἐκκρινόμενον αἷμα, καὶ ποδαλγίας τὰς ἀφ' αἵματος ποιεῖ, ὥσπερ ἐπὶ τὸ δέρμα, ἐξανθήματα πολλά τε καὶ διάφορα. ἢν δ' ἀμέτρως τύχοι κινηθὲν διὰ τῶν συνήθων πόρων, ἀπεψίας τε καὶ καχεξίας καὶ ὑδερικὰς οὐχ ἧττον παρεγχύσεις ἐπάγει, ὑποψυχομένου ἤδη τοῦ ἥπατος, καὶ τοῦ παντὸς ὁμοῦ σώματος. τὴν ἀρχὴν δ' αἱμορροΐδες συμβαίνουσι τοῖς τε καταλύσασιν ἀπὸ συνήθων γυμνασίων, καὶ τοῖς ἐπὶ τὸ ἁδρότερον τὴν δίαιταν ἐξαλλάξασι, καὶ τοῖς ἐπισχεθεῖσι συνήθεις ἐκκρίσεις ἀπὸ ῥινὸς ἢ μήτρας, ὡς ἐπὶ γυναικῶν, ἢ ἔθος φλέβα τέμνειν, ἢ ἄλλως πως αἷμα κενοῦν, καὶ μηκέτι κεχρημένοις τῇ συνηθείᾳ, ὡς διὰ πάντων ἥκειν, πλῆθός τε καὶ ἀτονίαν εἶναι τὸ αἴτιον.

### μδ'. Περὶ βουλίμου.

Ἀντιπεπόνθασι δὲ πᾶσι τούτοις τοῖς προρρηθεῖσιν οἵ τε κωλικαῖς ὀδύναις καὶ εἰλεοῖς ἁλόντες, στρόφοις τε καὶ τῷ βουλίμῳ πάθει. καὶ βούλιμος μὲν στομάχου πάθος, πάντη ἀποστραφέντος τὴν προσαγωγὴν τῶν σιτίων, μέγαν λιμὸν τοῦ πάθους σημαίνοντος. κακοήθων δέ τινων χυμῶν τὴν αἰσθητικὴν τῆς πείνης κακωσάντων δύναμιν, ἢ τινος ἁπλῆς ἐπιταθείσης δυσκρασίας, καθάπερ ὀξωδῶν τε καὶ στρυφνῶν ἐρεθιζόντων τὴν τοῦ στομάχου δύναμιν, αἱ ἄλογοί τε καὶ δακνώδεις ὀρέξεις γίνονται, ὥσπερ ἀλλοκότων δή τινων χυμῶν, ἐν ἄλλοις ἐπισωρεύσεις κατὰ τὸ

τῆς γαστρὸς στόμα, διαφόρων δή τινων εἰδῶν καὶ ἀλλοκότων ὀρέξεις ἐπάγουσιν, ὡς μηδὲ πηλοῦ τε καὶ ἀνθράκων καὶ ὀστράκων φείδεσθαι τοὺς οὕτως ἀθλίως ἔχοντας. καὶ τοῦτο δῆλόν σοι καὶ ἀπὸ τοῦ τῶν κυουσῶν γυναικῶν πάθους, ὃ δὴ κίσσαν φάσκουσι. καὶ τὰς μὲν ἀλλοκότους τε καὶ παραλόγους ταύτας τῶν τροφῶν ὀρέξεις, τάχ' ἄν τις καὶ ἰάσαιτο προσαγωγαῖς φαρμάκων ἁρμαζόντων. τὰς δ' ἀποστροφὰς πάντων ὡς εἰπεῖν τῶν σιτίων, τῶν συνιστᾶν τὸ ζῶον πεφυκότων, σχολῇ γ' ἄν τις ἐξιῷτο, νεκρουμένης ἤδη τῆς αἰσθητικῆς δυνάμεως, καὶ οἷς μὲν δέον ἐπὶ τῶν τοιούτων κεχρῆσθαι, τάχ' ἂν καὶ ἑξῆς προσγράψαιμεν. νῦν δὲ περὶ ὧν προυθέμεθα εἴπωμεν.

με'. Περὶ διαγνώσεως ἐπισχέσεως γαστρός.

Αἱ τοίνυν ἐπισχέσεις τῆς γαστρὸς ἢ δι' ὀλιγότητα σιτίων ἢ διά τινα αὐτῶν ποιότητα γίνονται, ἢ διὰ μετοχέτευσιν ἐπ' ἄλλα τῶν περιττῶν. οὖρα δὲ ταῦτα πλείω καὶ ἱδρῶτες, καὶ ἄδηλοι διαφορήσεις πλείους. καὶ οἵδε μὲν οὐδὲν δεινὸν πάσχουσι, δι' ἄλλων πόρων ἐξοχετευομένων τῶν περιττῶν, οἳ καὶ αὖθις ἐπανέρχονται ἐπὶ τὴν συνήθη ἔκκρισιν. οἷς δ' ἐπίσχεσις μὲν γίνεται γαστρός, καὶ μὴ ἀφ' ἑτέρων πόρων τὰ περιττὰ ἐκκρίνεται τούτοις ἄλγη τε καὶ δυσφορίαι διάφοροι. ἢ γάρ τοι τῶν προηγουμένων ἐξικμασθέντων τε καὶ σκληρυνθέντων σκυβάλων, καὶ μετὰ γλίσχρων τε καὶ κολλωδῶν φλεγμάτων προσπλασθέντων τοῖς ἐντέροις, ἡ φυσικὴ ἐπίσχεται ἔξοδος, ἢ καὶ φλεγμηνάντων τῶν ἐντέρων, ἢ διὰ πληγήν, ἢ χυμῶν τινων ἐπιρροήν, ὡς ἀτονεῖν κατὰ μικρὸν ἐντεῦθεν τὴν ἐκκριτικὴν τῶν ἐντέρων δύναμιν. ἐντεῦθεν οὖν ἀποσιτίαι τε καὶ ἄλγη τῶν ἐντέρων γίνονται, καὶ ἐρυγαὶ μέτριαι μετρίως τὴν ἀρχὴν κουφίζουσαι. προβαίνοντος δὲ τοῦ δεινοῦ, τὰ κάτω μὲν ἄρχονται ψύχεσθαι, τὰ δ' ἄνω μᾶλλον θερμότερα γίνεσθαι, πρὸς ἑαυτὸ συστελλομένου τοῦ θερμοῦ. εἶθ' οὕτως καὶ βρωμώδεις τε καὶ ἀηδεῖς ἐρυγαὶ γίνονται, μηκέτ' οὕτω κουφίζουσαι.

μς'. Περὶ διαγνώσεως εἰλεοῦ.

Καὶ πρῶτα μὲν χυμῶν τε καὶ τροφῶν ἀκολουθοῦσιν ἔμετοι, μηδὲ βραχέος πνεύματος κάτω που διαφορουμέ-

νου, εἶθ' οὕτως ὥσπερ κολοφὼν τῶν κακῶν ἐστι, κόπρος διὰ στόματος ἐμεθεῖσα, ὅτε καὶ ἄψυκτος λοιπὸν τὸ πλέον ὁ θάνατος νομίζεται. καὶ τὸ μὲν πάθος εἰλεὸς ὠνόμασται, διὰ τὸ τὰς τῶν ἐντέρων ἕλικας εἰλεῖσθαι ὑφ' ὧν αἰτίων εἴπομεν.

μζ. Περὶ κωλικῆς ὀδύνης.

Κώλου δὲ ἀλγήματα, ἐμπνευματώσεις τε καὶ στρόφοι ἐπὶ προηγουμέναις μὲν ἐμφράξεσι γίνονται, οὐχ ἧττον δὲ καὶ ἐπὶ καταχρήσεσι ψυχρῶν τε καὶ ὑγρῶν ἐδεσμάτων. τῆς γὰρ ψυχρᾶς διαίτης ἐπιωρευσάσης πολλὰ φλεγμάτια καὶ καταδεδεγμένων ταῦτα τῶν ἐντέρων, καὶ μάλιστα τοῦ κώλου, οὕτως ἐπιτηδείως ἔχοντος αὐτοῦ τῇ φυσικῇ διαθέσει, ἢ διαπλάσει, καὶ πλήθει μὲν βαρύνοντα, λυποῦντα δὲ ποιότητι, καὶ μὴ συγχωρούμενα ῥᾳδίως τὴν ἔξοδον τῷ προσίσχεσθαι τῇ γλισχρότητι, διατείνει μὲν τὸ κῶλον, περιζωννύει δὲ ταῖς ὀδύναις τὸν ἄνθρωπον, καὶ ἄνω μὲν ἐμέτους ἐρεθίζει χυμῶν, καὶ τῆς τροφῆς ἔσθ' ὅτε, κάτω δ' οὐδὲν ῥᾳδίως ὑπέξεισι. κἂν τύχῃ κλύσμασιν ὁ ἄνθρωπος βοηθούμενος, ἢ τισιν ἄλλοις φαρμάκοις φλέγμα ἐκκρίναι ἀθρόον, τῆς ὀδύνης ἀνίεται. ἂν δὲ μὴ τύχῃ ἐξιὸν τὸ λυποῦν ἐκεῖνο φλέγμα, ἤτοι δὲ πρὸς ἰσχία ἢ τὴν κύστιν αὐτὴν χωρήσῃ, τοὺς ἰσχιαδικοὺς καὶ δυσουροῦντας ὧδε γινομένους ὁρῶμεν. ἢν δὲ πρὸς τὰ σκέλη τε καὶ τοὺς πόδας χωρήσαιεν οἱ λυποῦντες χυμοί, τοὺς ἐξ αὐτῶν πόδας ἐργάζονται. κἀπειδὰν τύχοιεν οὕτως ῥᾳδίαν ἑαυτοῖς ποιησάμενοι τὴν ὁδόν, εἰς συνήθειαν ἤδη τὸ πάθος καθίσταται, καὶ ῥᾳδίως ἐπὶ ταῖς τυχούσαις αἰτίαις οἱ κάμνοντες ἁλίσκονται. ὅτι μὲν οὖν διὰ τοὺς λοιποὺς χυμοὺς ἀκμάσαντας, καὶ μήτε τέχνῃ μήτε τύχῃ ἀγαθῇ διαφορηθέντας, ἢ ἐκκριθέντας, ἐπὶ τὰς χεῖρας καὶ τοὺς πόδας χωροῦντας, τὰς ἐξ αὐτῶν χειράγρας καὶ ποδάγρας οἱ κάμνοντες ὑφίστανται, ἰδεῖν ἐστι γινόμενον ἀπό τε ἁπλῶν καὶ συμπεπλεγμένων αὐτῶν τῶν χυμῶν. τὸ πλεονάζον δὲ καὶ μάλιστα καὶ ἐπισυνιστῶν ποδάγρας τε καὶ ἀρθρίτιδας, ἡ ἐκ συνεχῶν ἀπεψιῶν συνισταμένη ὠμοχυμία πέφυκε. ταῖς γὰρ ἑκάστοτε πλημμελείαις ἐφ' ὠμοῖς δηλονότι ἔτι τοῖς σιτίοις

ἐντέρων σιτίων προσφοραῖς, ὁ ὠμὸς ἐπισυναγόμενος χυμὸς καὶ μήτε δι' ἐμέτων τύχῃ τινὶ καὶ τέχνῃ ἀναγόμενος, μήτ' αὖ διὰ γαστρὸς χωρῶν, ὁτὲ μὲν ἐπὶ κώλου στηριχθείς, τὰς ἐκεῖθεν καλουμένας ἐπεγείρει κωλικὰς ὀδύνας, ὁτὲ δ' αὖ εἰς ἰσχίον καὶ τοὺς ἰσχιαδικοὺς οὕτω πως καλουμένους ἀπὸ τοῦ πάθους συνίστησιν, ἐνίοτε δ' εἰς κύστιν ἐξορμήσας, τὰς ἐξ αὐτῶν συνίστησι δυσουρίας, μηδενὶ δὲ τούτων ἐνστηριχθείς, ἀλλ' ἢ ἐπὶ χεῖράς τε καὶ πόδας σκεδασθείς, τὰς ἐξ αὐτῶν χειράγρας τε καὶ ποδάγρας, ἔτι τε καὶ ὀρθρίτιδας συνίστησι· καὶ οἵδε μέν, καὶ οἱ λοιποὶ χυμοὶ ἀπό τε τῆς προηγησαμένης διαίτης καὶ τῆς κράσεως καὶ ἡλικίας τοῦ κάμνοντος διαγιγνώσκονται, οὐχ ἧττον δὲ καὶ ἀπὸ τῶν ἐξανθούντων τοῖς κώλοις χρωμάτων. ὑπέρυθρα μὲν γὰρ τὰ ἀφ' αἵματος ἐνσκήψαντος ὀδυνώμενα κῶλα. ὠχρὰ δὲ μᾶλλον τὰ ἀπὸ ξανθῆς χολῆς, καὶ ὑποπέλιδνα μᾶλλον τὰ ἀπὸ μελαίνης, ὥσπερ καὶ ὑπόλευκα τὰ ἀπὸ φλέγματος. συμπλέκεται δὲ καὶ τὰ χρώματα ἐπὶ τοῖς συμπεπλεγμένοις χυμοῖς, καὶ ἀναλόγως φαίνεται. ῥᾷον δ' οἱ θερμότεροί τε καὶ λεπτότεροι διαφοροῦνται χυμοί, ὥσπερ καὶ σχολαιότερον αἱ παχύτεροι· πάντες δὲ βοηθούμενοι, ἄμεινον ἀπαλλάττουσιν. ἐκεῖνο δὲ πρὸς τούτοις θέμις εἰδέναι, ὡς ἐπειδὰν τύχῃ ἀθρόον φλέγμα περὶ τὴν γαστέρα καὶ τὰ ἔντερα ἀθροισθέν, εἶθ' οὕτως μετρίως κατὰ τὴν ὁποιανδήτινα θέρμην, παχέα τε καὶ ὁμιχλώδη καὶ δυσδιέξοδα ἐγείρει πνεύματα, ἃ δὴ στενοχωρούμενα ταῖς τῶν ἐντέρων ἕλιξι, τοὺς στρόφους τε καὶ τὰς ἐμπνευματώσεις ἀπεργάζεται μὴ βοηθούμενα· τῷ χρόνῳ δὲ καὶ τὸν μεταξὺ τοῦ περιτοναίου τε καὶ τῶν ἐντέρων διειληφότα τόπον, τοὺς τυμπανίας διατείνει ὕδρωπας, τυμπάνου δίκην δηλαδὴ συνεξογκοῦντος ἐν ταῖς κρούσεσι τοῦ ἐπιγαστρίου τοῦ κάμνοντος. καὶ ὧδε μὲν τὰ ἐξ ἐπισχέσεως γαστρός τε καὶ ἐντέρων διαγιγνώσκεται πάθη.

### μη'. Περὶ διαγνώσεως ἑλμίνθων.

Ἐπεὶ δὲ καὶ ἕλμινθες καὶ ἀσκαρίδες καὶ πλατεῖαι οὕτω καλούμεναι ἕλμινθες ἐν τοῖς ἐντέροις τε καὶ τῇ γα-

*στρὶ φέρονται, βραχίαττα καὶ περὶ τούτων εἰπόντες, ἐπὶ τὰ ἑξῆς τὸν λόγον προάξομεν. ὥσπερ οὖν ἐπὶ τῶν ἐκτὸς τούτων, ὑγρότητός τινος συσσαπείσης ὑπὸ μετρίας τῆς θέρμης, μυῖαί τε καὶ σκώληκες, καὶ πολλά γε τῶν ἐντόμων φαίνεται ζωογονούμενα, οὕτω καὶ ἐπὶ γαστρὸς καὶ τῶν ἐντέρων νόει. καὶ τὰς μὲν πρὸς τῷ ἀπηνθυσμένῳ γινομένας, καὶ μηδέποτε ἐπὶ τὰ ἄνω χωρούσας, μικρὰς ἰσόψει καὶ λεπτάς, ἀεὶ δ' ἐρεθιζούσας καὶ γαργαλιζούσας τὸν κάμνοντα. ἀσκαρίδες δ' αὐταῖς τοὔνομα. αἱ δὲ λοιπαί, ἃς ἕλμινθας οὕτω φασὶν ἁπλῷ ὀνόματι, οὐχ ἕνα καὶ τὸν αὐτὸν τόπον ἔχουσιν, ἀλλ' ἔντερά τε καὶ γαστέρα διέρχονται, καὶ ἐς αὐτὸ τὸ στόμα ἀποτελευτῶσιν ἀνιοῦσαι. αἱ μὲν οὖν αὐτῶν μείζους, αἱ δὲ μείους, καὶ αἱ μὲν ὑπόλευκοι, αἱ δὲ ὑπέρυθροι. ἔσθ' ὅτε δὲ καὶ πρὶν ἢ φθάσαι ζωογονηθῆναι ἀκριβῶς, καὶ ἀπ' ἀλλήλων διακριθῆναι, φθάνουσιν ὡς σφαῖραι δή τινες λεπτῶν σχοινίων ἐκκρινόμεναι. ὅτι μὲν οὖν ἀεὶ σήψεσι τῶν ἐν τοῖς ἐντέροις τε καὶ τῇ γαστρὶ χυμῶν, τὸ πλέον δὲ καὶ μετὰ πυρετῶν εἰώθασιν ἀναφαίνεσθαι, τοῖς πᾶσιν οἶμαι δῆλον. ὅτι δὲ καὶ χαλεπὰ καὶ φοβερὰ εἰώθασιν ἀπογεννᾶν συμπτώματα, κἂν μὴ ἀκόλουθα τὸ πλέον τὰ ἀποβάματα τοῖς συμπτώμασιν ᾖ, καὶ τοῦτο δῆλον. σπασμοὶ γὰρ καὶ λυγμοί, λειποψυχίαι τε καὶ ῥιπτασμοί, ἀναισθησίαι τε καὶ ἔμετοι, καὶ ὀφθαλμῶν κοιλότητες, καὶ μετρίως κεχηνὸς στόμα καὶ ἄλλα τοιαῦτα, ἢ πάντα ἤγουν ἔνια συμβαίνουσι τοῖς ὑποτρέφουσιν ἕλμινθας· χείρους δὲ τούτων αἵ τε ὑπέρυθροι καὶ αἱ ἐν ἀρχαῖς τῶν νόσων ἐπιφαινόμεναι· ἑκάτεροι δὲ αὐτῶν τὴν ὕλην τῆς σήψεως ὅθεν ὑπέστησαν ὑποσημαίνουσιν. αἱ μὲν γὰρ ὑπόλευκοι, ἐξ ἀπεψιῶν συνεχῶν σιτίων σιτωδῶν τὸ πλέον φαίνονται γινόμεναι· αἱ δὲ λοιπαὶ ἀπό τε μὴ διακριθείσης ἀκριβῶς τροφῆς εἰς αἷμα καὶ συσσαπείσης ἤδη, καὶ τινων λοιπῶν τροφῶν ἐνδέρμων. ἔοικε δὲ ἰσχυρότερα τελεῖν τὰ ἀπὸ ἰσχυροτέρας ὕλης συσσαπείσης συνιστάμενα. ὅτι δὲ ἀεὶ τὰ προεξορμῶντα τῆς νενομισμένης κρίσεως, ἢ πλήθει φαίνονται βαρύνοντα, ἢ ἀτονίαν τῆς καθεκτικῆς δυνάμεως δηλοῖ, καὶ ἐφεξῆς ἂν εἴποιμεν σαφέστερον. ἕλμινς δὲ πλατεῖα μία ἐν τοῖς ἐντέροις γίνεται,*

γλίσχρου δή τινος καὶ ὑποθέρμου χυμοῦ τῶν ἐντέρων τὴν ἐντὸς ὑπαλείφοντος ἐπιφάνειαν, ζωογονηθέντος δ' ὑφ' οἱασδήτινος θέρμης, καὶ ὁτὲ μὲν εἰς τὰ πλείω τῶν ἐντέρων αὕτη ἐπεκτείνεται, ἔσθ' ὅτε δὲ καὶ διὰ τῶν ὅλων ἥκει, βάρος μὲν καὶ ὄγκον δή τινα κατὰ τὴν γαστέρα ποιοῦσα, ῥᾳδίως δ' ἀναπίνουσα τὴν ἐδηδεσμένην τοῦ στομάχου τροφήν. ταῦτά τοι, καὶ οὐδὲ ῥᾳδίως φέρουσι νηστείαν, οἱ ταύτην ὑποτρέφοντες. συνεκκρίνονται δέ σφισι διὰ γαστρός, οἷα τὰ κολοκύνθης σπέρματα. καὶ τοῦτ' ἀχώριστος διὰ γαστρὸς πλατείας ἕλμινθος ἔνδειξις. ἐκκρίνεται δὲ αὕτη, ποτὲ μὲν ἐπισωρευθεῖσα ὡς σφαῖρα, καὶ μίαν ἔχει τὴν συνέχειαν, ποτὲ δ' εἰς πηχυαῖα καὶ μείζω τε καὶ μείω διαιρεθεῖσα τμήματα. καὶ ἥδε μὲν οὕτω χαλεπὸν θηρίον. σπανίως δὲ καὶ οὐκ εἰσαῦθις ἄν τινι γένοιτο, ὁλοκλήρως ἐξαιρεθεῖσα. αἱ δὲ λοιπαὶ καὶ πλείους γινόμεναι ἕλμινθες, μικροῦ καὶ πᾶσι καὶ πάντοτε γίνονται, τοσοῦτον ἧττους εἰς κακίαν οὖσαι πλατείας ἕλμινθος, ὅσον ἀσκαρίδες τούτων πεφύκασιν· ἀλλ' ὁ μὲν περὶ τούτων λόγος ὧδέ πη λεγέτω. λείπεται δ' ἐφεξῆς καὶ περὶ τῶν γεννητικῶν εἰπεῖν μορίων, καὶ ὅσα ἐν αὐτοῖς παθήματα συνίστασθαι πέφυκε. ῥητέον οὖν πρότερον περὶ τῶν κοινῶν ἀνδράσι τε καὶ γυναιξίν, ἔπειθ' οὕτως καὶ περὶ τῶν ἰδίων ἑκάστου.

### μθ'. Περὶ διαγνώσεως τῶν κατὰ τὰ γεννητικὰ μόρια παθῶν.

Αἵματα οὖν καὶ πύα, ψήγματά τε καὶ λίθοι, διὰ τῶν οὐρητικῶν ἀγγείων φέρονται, ἰσχουρίαι τε καὶ δυσουρίαι καὶ αἱ εἰς ἀμίδα διάρροιαι συμβαίνουσι. καὶ αἵματα μὲν φέρεται, ῥήξεως ἢ διαβρώσεως, ἀναστομώσεώς τε καὶ διιδρώσεως τῶν περὶ τοὺς νεφροὺς φλεβῶν γινομένης. ἔσθ' ὅτε δὲ καὶ ἀπ' αὐτῆς τῆς κύστεως καὶ τοῦ τραχήλου αὐτῆς τὸ αἷμα φέρεται. καὶ ταῦτα μὲν ὅθεν φέρεται διασημάνοιεν ἂν ἥ τε ὀδύνη τοῦ πεπονθότος μορίου, καὶ τὸ βάρος. οὐχ ἥκιστα δὲ καὶ τὸ ποσὸν καὶ τὸ ποιὸν τοῦ αἵματος, καθὼς κἀν τοῖς περὶ τοῦ θώρακος λέγοντες, φθάσαντες διειλήφαμεν. Πύα δὲ φέρεται, ἀποστημάτων καὶ φυμάτων καὶ πληγῶν ἐκ διαφόρων αἰτιῶν γεγονότων

περὶ τὰ αὐτὰ μόρια. τὴν γὰρ ἑτέρωθι συστᾶσαν ἀπόστασιν δι' οὔρων ἐκκριθῆναι τῶν γινομένων μέν, σπανίως δέ. καὶ οἵδε νεφροὶ μὲν ἢ κύστιν οὐκ ὀδυνῶνται, εἰ μή που γε τῷ ἀλλοτρίαν αὐτοῖς ἐπιδημῆσαι ὕλην. καὶ τοῦτο οὐκ ἐπὶ πολύ, εἴ που γε μὴν ἤλγουν μόριον πρότερων, τοῦτ' οὐκέτ' ἀλγοῦσιν, ἐκκριθέντος ἤδη τοῦ τὴν ὀδύνην ἐπάγοντος. οἱ λίθοι δ' ἤτοι περὶ τοὺς νεφροὺς συνέστησαν τὴν ἀρχήν, ἢ κύστιν, ἐπισωρευθέντων ἱκανῶν ψηγμάτων. καὶ γὰρ δὴ πόρων ἐξ ὁποιωνοῦν χυμῶν συστάντων τε καὶ ὀπτηθέντων ὑπὸ θέρμης, καὶ ἀεὶ προσισχομένων τῶν ἐπιρρεόντων ψαμμίων, καὶ συγκολλωμένων γλίσχροις τισὶ χυμοῖς, εἰς λίθου σύστασιν τὰ συναγόμενα γίνονται.

### ν'. Περὶ διαγνώσεως λιθιάσεως πρὸς κωλικὴν ὀδύνην.

Καὶ ἀπὸ νεφρῶν μὲν ἐπὶ ἔξοδον χωρῶν ὁ λίθος, κωλικῆς ὀδύνης φαντασίαν δίδωσιν. ἐκείνης μέντοι αὕτη διαστέλλεται τῷ μὴ κατ' ἐκείνην ταύτην διαζωννύειν τὸ ἐπιγάστριον, ἀλλ' ἐπὶ τὸ ἐφήβαιόν τε καὶ πρὸς τὴν κύστιν αὐτήν, ἔσθ' ὅτε δὲ καὶ τοὺς διδύμους ἀποτείνειν μᾶλλον τὸ ἄλγος. ψήγματά τε τούτοις ἐπιφέρεται ἐν ταῖς ἀμίσι. καὶ οὐχὶ ῥᾳδίως ἔσθ' ὅτε χωρεῖ τὰ οὖρα, ἀλλ' οὐδὲ ἡ γαστὴρ ἐπέχεται καὶ ὑπιοῦσα οὐχ ὑφίησι τῆς ὀδύνης. ἐσύστερον δὲ διαδοθεὶς ὁ λίθος εἰς κύστιν, πάντων ἀνίησι τῶν δεινῶν· κἂν μὲν εὐθυπορῆσαι τύχῃ πᾶν τὸ ἔξιόν, πολλῶν ἀπήλλαξε τὸν κάμνοντα ὀδυνῶν· εἰ δ' αὐτοῦ που παραμένει, ἔτι τε προσαύξεται τῷ χρόνῳ, καὶ τὸν τῆς κύστεως ἐπιπωματίζων τράχηλον, ἰσχουρίαν τε καὶ δυσουρίαν ἀπεργάζεται. ἔσθ' ὅτε δὲ τῷ φέρεσθαι ὧδέ τε κἀκεῖσε τῆς κύστεως, ἀμύσσει τε τοὺς τόπους καὶ πληγὰς ἐντίθησιν, ἢν γωνιώδης ᾖ, ὥστ' ἤδη αἷμά τε καὶ πύον συνεξάγεσθαι τοῖς οὔροις. καὶ οὕτω μὲν νεφρίτιδας καὶ τὰς ἀπὸ τῶν λίθων δυσουρίας διαγνοίης ἄν. ἔσθ' ὅτε δὲ παχέων καὶ γλίσχρων ἐνσκηψάντων χυμῶν τῇ κύστει, καί πως ἐπιφραγνύντων τὸν ἐξοχετεύοντα τὰ οὖρα τῆς κύστεως τράχηλον, παρόμοιοι δυσουρίαι γίνονται. διακρίνονται δὲ πρὸς τῷ μὴ τὰ τῶν λίθων σημεῖα φαίνεσθαι, καὶ τῷ τεμάχιά τινα τοῦ ἐνοχλοῦντος χυμοῦ ἐν ταῖς ἀμίσιν

ἐφιζάνοντα φαίνεσθαι πύοις ἐοικότα, τῇ ὀδμῇ δὲ διαλλάττοντα· καὶ ταῦτα μὲν κοινὰ ἀνδρῶν καὶ γυναικῶν πάθη.

να΄. Περὶ διαβήτου.

Ὥσπερ καὶ ἡ εἰς ἀμίδα διάρροια, θέρμης τῶν νεφρῶν ἡγησαμένης καὶ τοῦ ἥπατος οἱ μὲν γὰρ ἕλκοντες ἀπὸ τῶν φλεβῶν καὶ τοῦ ἥπατος εἰς κύστιν τὸν ὀρρὸν πέμπουσι. τὸ δ' αὖ, ἀπὸ γαστρός, ἡ δέ γε τὴν πόσιν θύραθεν. ταῦτά τοι καὶ δίψαι τούτοις γίνονται. λεπτὰ δὲ τούτοις πάνυ καὶ λευκὰ τὰ οὖρα ὧδε καὶ πολλά. τὸ γὰρ δὴ συχνάκις τε καὶ κατ' ὀλίγον ἐξουρούμενον, ἄλλης διαθέσεως. καὶ ἀτονίαν δή τινα μᾶλλον τῆς τῶν νεφρῶν καθεκτικῆς δυνάμεως σημαίνει.

νβ΄. Περὶ γονορροίας.

Γονόρροια δὲ καὶ πριαπισμὸς καὶ καυλοῦ πάρεσις ἀνδρῶν ἴδια πάθη. καὶ γονόρροια μὲν οὔτε μετ' ἐντάσεως τοῦ καυλοῦ γίνεται οὔτε μετ' αὐτῆς τῆς ἐπὶ τοῖς ὑγιαίνουσιν ἡδονῆς, ἀλλ' ὡς τινος ἐκκρινομένου περιττοῦ, ὁ κάμνων ἀναισθήτως ἔχει. εἰ δὲ χρονίσαν τύχοι τὸ πάθος, εἰς ἔκτηξιν ἀνάγκη προχωρεῖν τὸν κάμνοντα, καὶ ὄλλυσθαι, τοῦ πιοτέρου τῶν χυμῶν ἐκκρινομένου, οὐκ ὀλίγου δὲ τοῦ ζωτικοῦ συνεκρέοντος πνεύματος. αἰτίαι δὲ ἤτοι εὔροια τῶν σπερματικῶν ἀγγείων ἢ ἀκράτεια, ἢ διά τινα συμβᾶσαν δυσκρασίαν, ἤ τις χυμὸς δακνώδης ἐρεθίζει, ἐκεῖ που πλεονάσας.

νγ΄. Περὶ πριαπισμοῦ.

Πριαπισμὸς δέ ἐστιν ἐπίμονος τοῦ καυλοῦ ἔντασις. εἴληφε δὲ τοὔνομα ἀπό τινος Πριάπου, σεβομένου θεοῦ τοῖς Ἕλλησιν, ὃς τῷ ἀκρατέστατος εἶναι, ἐντεταμένος τοῖς πίναξι τὸ αἰδοῖον ἐγράφετο. συμβαίνει δὲ τὸ πάθος, ἐνθέρμου τε καὶ παχέος ἐν τῷ καυλῷ ἐνσκήψαντος πνεύματος, ὃ δὴ μὴ ῥᾳδίως συγχωρούμενον τὴν ἔξοδον, τὴν τοῦ αἰδοίου ἔντασιν βιάζεται. καὶ οἵδε μὲν βραχύ τι ἢ οὐδὲν γονῆς προΐασιν. αἴσθονται δὲ συνεκκρινομένου μᾶλλον τοῦ πνεύματος. καί πως δοξάσαντες ῥαΐσαι, αὖθις

τοῖς αὐτοῖς ἐνέχονται, μέχρις ἂν ἀναιρεθεῖσα τύχῃ ἡ αἰτία τῆς ἐντάσεως.

### νδʹ. Περὶ παρέσεως καυλοῦ.

Πάρεσις δὲ τοῦ καυλοῦ ἢ τῶν κατ' αὐτὸν ἠτονηκότων νεύρων γίνεται διά τινα δυσκρασίαν, ἢ τοῦ εἰς αὐτὸν ἐπιλείποντος πνεύματος, ὥσπερ καὶ ἐμφράξεσί τε καὶ διακοπαῖς τῶν πόρων γίνεται.

### νεʹ. Περὶ ἐντεροκηλῶν, ὑδροκηλῶν καὶ τῶν λοιπῶν.

Οὐχ ἧττον δὲ ἀνδρῶν πάθος ἐντεροκῆλαί τε καὶ ἐπιπλοκῆλαι καὶ ὑδροκῆλαι, ὧν χεῖρον μὲν αἱ ἐντεροκῆλαι, μεῖον δὲ αἱ ἐπιπλοκῆλαι. αἱ ὑδροκῆλαι, ῥάους. καὶ ἐντεροκῆλαι μὲν συμβαίνουσι, διαρραγέντος τοῦ περιτοναίου, καὶ προπεπτωκότων τῶν ἐντέρων. εἶθ' οὕτω δὲ καὶ εἰς ὄσχεον καταρρυέντων, ἐκ κρημνοῦ καὶ ἅλματος σφοδροῦ, καὶ γεγονοτέρας φωνῆς, ἔτι τε ἀπὸ γῆς ἀρθέντος φορτίου, καί τινων τοιούτων προηγησαμένων σημείων, καὶ προσέτι συντονωτέρου δρόμου. ἐπὶ τῆς αὐτῆς δ' αἰτίας καὶ τὸ ἐπίπλοον προσπίπτει, διασχὸν καὶ τὸ περιτόναιον, καὶ εἰς τὸ κάτω χωρῆσαν. αἱ δ' ὑδροκῆλαι οὐδὲν ἕτερον ἢ χυμοί τινες γλίσχροι τε καὶ παχεῖς ἐπὶ τὸν ἐλυτροειδῆ χιτῶνα κατασκήψαντες, ἢ καὶ αὐτὸ τὸ ὄσχεον, φαντασίαν κήλης ἀπεργάζονται, καὶ ὧδε μὲν ἀνδρῶν ἴδια πάθη.

### νςʹ. Περὶ τῶν κατὰ τὴν μήτραν παθῶν.

Γυναῖκες δὲ πλεονεκτοῦσι τοῖς ἀπὸ τῆς μήτρας πάθεσι. καὶ δυσκρασίαι μὲν κοινὸν πάθος πᾶσι μορίοις τοῦ σώματος. θερμαίνονται γὰρ καὶ ψύχονται, ξηραίνονταί τε καὶ ὑγραίνονται ὑφ' οἱασδήτινος αἰτίας. αἱ μείζους δὲ ταῖς μήτραις βλάβαι ἕπονται, τῷ τε ἐπίσχεσθαι καὶ ἀμέτρως τὰς καθάρσεις φέρεσθαι. καὶ ἐπίσχεσις μὲν ἐμφράξεσι ἀκολουθεῖ δῆλον μύσεσι τῶν πόρων, ἔτι τε πλαγιασμοῖς αὐτῆς, καὶ καταχρήσεσι φαρμάκων ἐπεχόντων, καὶ τοῦ αἵματος ἐπ' ἄλλα μέρη μετοχετεύσεσι, καὶ προσέτι μακραῖς νόσοις καὶ ἀσιτίαις καὶ γυμνασίοις πλείοσιν, οὐχ ἧττον δὲ καὶ διὰ φλεγμονῆς γλισχρότητα, μύοις δέ, δια

ξηρότητα. αἱ πλείους δὲ φοραὶ καὶ διὰ πλῆθος μὲν εἰώθασιν αἵματος γίνεσθαι, οὐχ ἧττον δὲ καὶ διὰ φάρμακα ἀναστομώσαντα, καὶ δι' ἐπισχέσεις ἄλλων ἐκκρίσεων συνήθων, ἢ καὶ διὰ δακνώδεις ἐρεθίζοντας χυμούς, καὶ διαλείξαντα γυμνάσια συνήθη. φθάνουσι δὲ ἢ ὑστεροῦσι τὸν καιρὸν νοσοῦσαι μῆτραι, καὶ οὐχὶ τὸν αὐτὸν τῶν ἡμερῶν ἀριθμὸν φυλάττουσιν ἐν ταῖς περιόδοις τῶν καθάρσεων. καὶ αἷς μὲν πλείους αἱ καθάρσεις γίνονται, τὸ πλέον αἵδε προσλαμβάνουσιν. ὑστεροῦσι δέ, αἷς ἐλάττους. ἤτοι δ' ἀκραιφνὲς ἐμφέρεται τὸ ἐπιμήνιον αἷμα, ἢ χυμοῖς τισιν ἀναμεμιγμένον, χολώδεσί τε καὶ φλεγματώδεσι. τοίνυν ἐπὶ ταῖς ἐπισχέσεσιν αὐτῶν, δυοῖν μὲν ἤδη παρωχηκότων μηνῶν, βάρος τε εἰς ὅλον τὸ σῶμα, καὶ μάλιστα εἰς τοὺς νεφροὺς καὶ τὰς λαγόνας καὶ εἰς τοὺς μηροὺς ἐγγίνεται, καὶ κεφαλήν· ἢ καὶ τεττάρων παρεκμετρηθέντων μηνῶν, καὶ ταῦτα μὲν ἐπιτείνεται, οὐχ ἥκιστα δὲ καὶ ὁ τῆς γαστρὸς ὄγκος αἴρεται, καὶ ὑδρωπός τινος φαντασίαν δίδωσιν. καὶ ἐπὶ μᾶλλον αὔξει τὸ κακὸν μηνὶ τῷ πέμπτῳ καὶ ἕκτῳ. κἂν μὲν τύχοιεν τὰ ἐπισχεθέντα καταρραγέντα, πάντη ἄνεσις τῶν δυσχερῶν συμβαίνει· εἰ δ' οὔ, χρονίσαντα μετ' ἀλλοτρίας θερμότητος διαπυΐσκει. καί που τῆς λαγόνος ἀποκορυφουμένης τῆς μήτρας, ἔκρηξις ἐκεῖθεν τῶν λυπούντων γίνεται ἐνίαις. συνεκρήγνυται δὲ τὸ πλέον καὶ ἡ ψυχὴ τῷ πάθει. οὐ γὰρ δὴ οἵα τε ῥᾳδίως προαποκαμοῦσα ἡ δύναμις ὑπενεγκεῖν ἀθρόαν κένωσιν, καὶ καιρίου τε καὶ εὐαισθήτου μορίου διαπύησιν. ταύταις ἀποσιτίαι μὲν καὶ πυρετοὶ πλάνητες καὶ ἀβληχροὶ γίνονται, καὶ ἀηδὴς τῆς ἐκπνοῆς αἴσθησις, καὶ τὰ ἄνω μᾶλλον ἰσχνά, καὶ χρώματα οἷον ἰκτερώδη, οὖρα ταύταις ἐρυθρά, καὶ μᾶλλον τὰ παρυφιστάμενα, ἅτε διϋλιζομένου ἐν ταῖς κύστεσι τοῦ πλεονάζοντος ἐν ταῖς μήτραις. ταῖς δ' ἀμετρότερον ἐκκαθαιρομέναις, τὰ πρῶτα μὲν ἔκλυσις στομάχου γίνεται, συνεξιόντος τοῦ θερμοῦ τῷ αἵματι. εἶθ' οὕτως δὲ καὶ καχεξίαι ἕπονται. διάφορα δ' αὐταῖς ἐστι χροιᾷ τε καὶ συστάσει τὰ ἐκκρινόμενα. ὧδε δὲ ὁ ἐρυθρὸς καὶ ὁ λευκὸς ῥοῦς λεγόμενος γίνεται, τὸν ἐπικρατοῦντα ἕκαστος τῶν χυμῶν σημαίνων. καὶ χολώδη δ' ἔσθ' ὅτε ἐκκρίνεται καὶ

*ποικίλα. εἰ δ' ἐπὶ πλέον πρόεισι τὸ κακόν, ἰσχναὶ μὲν τὸ πρῶτον καὶ ἄχροοι· οἰδίσκονται δ' ἔπειθ' οὕτως, καταψυχθέντος τοῦ ἥπατος, καὶ ὁ ἐπὶ ταῖς ἀμέτροις ἕπεται κενώσεσι καὶ ὧδε ὕδερος, τῶν παραπλησίων κατὰ τὰ φαινόμενα σφίσι συμβαινόντων ἔν τε ταῖς ἐποχαῖς τῶν συνήθων καὶ ταῖς ἀμέτροις κενώσεσι. κἂν διάφοροι καὶ αἱ ποιήσασαι αἰτίαι, τὰ παρακολουθοῦντα σφίσι συμπτώματα. φλεγμοναὶ δὲ καὶ σκίρροι καὶ ἐρυσιπέλατα, πληγαί τε καὶ ἀποστήματα, ὡσαύτως τοῖς ἄλλοις μέλεσι καὶ τὴν μήτραν ἐνοχλεῖ, τοσούτῳ διαφέροντα ἀλλήλων, ὅσον ἡ αἴσθησίς τε καὶ ἡ καιριότης διαφέρει τῶν μορίων. καὶ ταῦτα μὲν ὀδύναις τε καὶ ἐπαφαῖς δακτύλων καὶ τοῖς ἐκεῖθεν φερομένοις διαγινώσκεται.*

*Ἡ δὲ μύλη, ἕτερόν τι παρὰ ταῦτα οὖσα, ἀλλοίας δεῖται διαγνώσεως. ὄγκος γάρ τις αὕτη πέφυκε σαρκώδης ἐμπλέων ταῖς μήτραις, τὴν μὲν ἀρχὴν καὶ τὴν σύστασιν τὸ πλέον ἀπὸ ἀγόνου εἰληφυῖα σπέρματος. ἔσθ' ὅτε δὲ καὶ κατ' αὐτὴν ἡ μήτρα τοιαῦτα συνίστησι πάθη, ἐπαύξει δὲ κατὰ τὰ ἔμβρυα, καὶ τοῦ μὲν συνήθους αἵματος ἐκεῖσε ἀναλισκομένου, οὐδέν τι ἐπιφαίνεται. τοῦ δὲ χρόνου προσθήκην τε αὐτῇ καὶ ὄγκον τῇ γαστρὶ ἐπάγοντος, πλάνη τις ταῖς ἀφελεστέραις γίνεται κυήσεως. τῷ γὰρ ἐμπλέειν τῇ μήτρᾳ καί τινα ψευδῆ φαντασίαν δίδωσι κινήσεως. κἂν μὲν οὖν τύχῃ βαρύνουσα ῥῆξαι τὴν μήτραν καὶ ἐξιέναι, πλάνης ἤδη καὶ πάθους ἀπήλλαξε τὰς ἐχούσας. ἂν δ' ὑπερβῇ τὸν ἐννεάμηνον χρόνον, πλάνης μὲν ὧδε ἀπήλλαξεν, οὐκέτι δὲ πάθους τὴν πάσχουσαν. καὶ αὕτη μὲν διαγιγνώσκεται τῇ ἐπαφῇ τῶν δακτύλων. οὐ γὰρ ἂν εὕρῃς κατὰ τὰς κυούσας ἔχον τὸ τῆς μήτρας στόμα, ἀλλ' ἢ φλεγμαῖνον ἢ σκιρρούμενον ἢ πλαγιάζον. καὶ ἡ δοκοῦσα δὲ κίνησις, οὐδέποτε ἡσυχαζούσαις γινομένη φαίνεται, ἀλλ' ἐφ' ὁποῖα ἂν μέρη ἔχουσα τὸ πάθος κατακλιθῇ, ἐπ' ἐκεῖνο καὶ τὸ ἐμπλέον φέρεται, μὴ τούτου συμβαίνοντος ἐπὶ ταῖς ἀληθῶς κυούσαις· καὶ ἡ γαστὴρ δ' οὐκ εὐαφής, καὶ ἆσαί τε καὶ ἀηδίαι πολλαὶ περὶ τὴν πάσχουσαν.*

*Πρόπτωσις δὲ μήτρας γίνεται πληγαῖς τε κατὰ τῶν νεφρῶν καὶ κρημνοῖς καὶ ἀμέτροις ἐξωθήσεσιν ἐπὶ τῷ*

κνεῖν τε καὶ τῶν μυῶν τῶν ἐξαρτώντων ταύτην ῥαγέντων, ἢ χαλασθέντων νεύρων. καὶ τοῦτο μὲν ταῖς μήτραις ἔοικε τῶν γυναικῶν.

Ὑδροκῆλαι δέ τινες ἐγγίνονται τοῖς προφανέσι τοῦ αἰδοίου μέρεσι, παχέων τε καὶ γλίσχρων ἐνσκηψάντων χυμῶν. Ὑστερικὴ δὲ πνὶξ τὸ πλεὸν ἕπεται ταῖς στειρευούσαις τῶν γυναικῶν, οὐ μὴν ἀλλὰ καὶ ταῖς χηρευούσαις. αἰτία δὲ τοῦ πάθους ἡ γυναικεία γονὴ ἢ τὸ μεμυκέναι τὸν σπερματικὸν αὐτῆς πόρον. αὕτη τοίνυν ἡ γονὴ τῷ τε πλήθει βαρύνουσα καὶ τῷ χρόνῳ διαφορουμένης ἣν ἔχη θέρμην, μικροῦ δεῖν εἰς δηλητηρίου κρᾶσιν ἐνίαις μεθίσταται. ἐπειδὰν οὖν εἰς ἔκκρισιν κινηθεῖσα μὴ τύχη, παλίνδρομός τε γίνεται καὶ ἐπὶ τὰ ἄνω χωρεῖ. συναντισπᾶται δὲ καὶ ἡ μήτρα ὧδε, καὶ τοῖς σπλάγχνοις αὐτοῖς προσπίπτει. κἂν μὲν οὖν εὐθὺ τῆς καρδίας τύχη ἐξορμήσασα, καὶ τοὺς φθαρτικοὺς ἀτμοὺς ἐκεῖ που παραπέμψασα, ψύξιν τε καὶ ἄπνοιαν ἐφ᾽ ἱκαναῖς ταῖς ὥραις καὶ ἀσφυξίαν ἢ κακοσφυξίαν ἐπάγει, καὶ δυσαισθησίαν ἢ ἀναισθησίαν τελείαν· εἰ δ᾽ ἐφ᾽ ἧπαρ ἢ γαστέρα ἢ σπλῆνα, μετριώτερα μὲν πολλῷ τῶν πρώτων τὰ συμβαίνοντα κατὰ τὴν ἀναλογίαν τῆς καιριότητος τῶν δεδεγμένων ταύτη μορίων καὶ τῆς πρὸς τὴν καρδίαν ἐγγύτητος, ἐπειδὴ καὶ ἐκ τῆς τῶν ἰδιωμάτων συμπαθείας ἑκάστου ἐφ᾽ οἷστισι τόποις ἡ ὁρμὴ τῆς μήτρας καταλαμβάνεται. ἐπαίρεταί τε γὰρ καὶ βαρύνεται ἐκεῖνα τῶν σπλάγχνων καὶ δυσπνοεῖ ὁ ἄνθρωπος, καθίσταται δὲ αὖθις ταῦτα, τῷ εἰς τὴν οἰκείαν ἕδραν ἐπανήκειν κατασπωμένην τὴν μήτραν, βορβορυγμοῦ τινος ἡγησαμένου. οὐχ ἧττον δὲ κἂν τοῖς ἰσχίοις ἢ ταῖς λαγόσιν ἐμπίπτει, ἔτι τε τῷ ἀρχῷ καὶ τῇ κύστει, ἃ δὴ βαρυνόμενα, καὶ τὰ οἰκεῖα ποιεῖν ἐμποδιζόμενα, τὸν ὃν κατέχει τόπον ἡ μήτρα, ἤδη διδάσκουσι. χωλότητες γὰρ ἐντεῦθεν καὶ ἐπισχέσεις γαστρὸς καὶ δυσουρίαι ἢ στραγγουρίαι ἕπονται, κατὰ τὰς ἐπιθέσεις δηλαδὴ τῆς μήτρας· ἀνίεται δὲ τούτων ἕκαστον, παλινδρομούσης ἤδη τῆς μήτρας ἐπὶ τοὺς οἰκείους αὐτῆς τόπους. ἔχεις καὶ τὸν περὶ τῶν γεννητικῶν μορίων λόγον ἱκανῶς ἐκτεθειμένον βραχυλογεῖν σπουδάζουσιν.

Ἐπεὶ δὲ φθάσαντες καὶ περὶ τῶν ἐκκρινομένων τὰ προσήκοντα διειλήφαμεν, λέλειπται δὲ ὁ περὶ τῶν ἱδρώτων λόγος, προσῆκον ἂν εἴη καὶ αὐτοῦ μνησθῆναι καὶ τούτῳ συμπερᾶναι τὸν λόγον, ἱκανὸν μέτρον ἀπειληφότα.

νζ. Περὶ ἱδρώτων.

Ἐν πᾶσιν οὖν, τοῦ σώματος ὑγιαίνοντος, οὐκ ἂν ποτε ἱδρῶτας ἐσόψει. μετρίως δὲ γυμνασθέντος ἢ ἀραιωθέντος ἢ βιασαμένου πλήθους ἢ κατεπειγούσης τῆς ὥρας, ἱδρῶτες τὸ πλέον γίνονται. καὶ οἵδε μὲν ἐφ᾽ ὑγιαίνουσιν ἔτι γινόμενοι, οὐδὲν ἔτι ξένον σημαίνουσιν· ἐπί γε μὴν πυρέσσουσιν ἤδη καὶ βαρουμένοις ὁτιοῦν τοῦ σώματος, ἱδρῶτες ἔσθ᾽ ὅτε γινόμενοι, τὴν ἐπ᾽ ἐκεῖνα ῥοπὴν τῆς ὕλης διασημαίνουσιν. καὶ πάντες μὲν ἱδρῶτες ἀγαθοί, ἡγησαμένης πέψεως. φαῦλοι δέ, οἱ μή. οἱ δὲ ψυχροὶ καὶ οἱ κολλώδεις καὶ μὴ διὰ παντὸς γινόμενοι τοῦ σώματος, καὶ οἱ μὴ θρομβώδεις, ἀλλ᾽ ὡς μικροὶ φαινόμενοι κέγχροι, καὶ οἱ μὴ ῥαΐζοντες, ἀλλὰ παροξύνοντες μᾶλλον, μακρονοσίαν τε καὶ μορίων ὀδύνας τε καὶ ἐμφράξεις, πλῆθός τε ἀπεψίας καὶ θάνατον ἔσθ᾽ ὅτε σημαίνουσιν. οἱ μὲν γὰρ ψυχροὶ σὺν μὲν ὀξεῖ πυρετῷ θάνατον, σὺν πρᾳοτέρῳ δὲ μῆκος νόσου σημαίνουσιν· οἱ δὲ κολλώδεις ἀπεψίαν καὶ γλισχρότητα χυμῶν, ὥσπερ καὶ οἱ κατά τινα μέρη τοῦ σώματος, κατ᾽ ἐκείνων καὶ τὰς νόσους σημαίνουσι. καὶ οἱ κεγχρώδεις δέ στενοχωρίαν τε τῶν πόρων καὶ νωθρότητα τῆς ἀποκριτικῆς δυνάμεως. οἱ δὲ ἐπιπαροξύνοντες, πλῆθος οὐχὶ μέτριον τῶν ἀκμαζόντων χυμῶν. ὥσπερ δὲ ἐμποδιζόμενοι πολλά γε ἀδικεῖν εἰώθασιν ἱδρῶτες, οὕτω δὴ καὶ σφοδρότερον ὁρμήσαντες, πρῶτον μὲν τὴν δύναμιν ἐκλύουσι καὶ τὴν φυσικὴν διαφοροῦσι θερμότητα· εἶθ᾽ οὕτως δὲ ἐπιταθέντες καὶ συγκοπὰς ἐπάγουσι καὶ καταψύξεις, ὡς καὶ ἀπ᾽ αὐτῶν ἔστι καταμαθεῖν τῶν κατ᾽ αὐτοὺς σφυγμῶν. καὶ τὰ μὲν λεπτότερα τῶν περιττωμάτων οὕτω διὰ τοῦ δέρματος χωρεῖ, ἀναλωθέντα εἰς ἱδρῶτας· ἃ δὲ παχύτερα τῶν περιττῶν, καὶ διὰ τοῦτο δυσδιεξίτητα δοκεῖ, αὐτοῦ που παρὰ τὸ δέρμα ὑποφαινόμενα, κατὰ βραχὺ λαμβάνει τὴν διαχώρησιν· ἐντεῦθεν γὰρ αἱ

τε κνησμοναὶ καὶ αἱ ψωρώδεις διαθέσεις καὶ τὰ πολλά τε καὶ διάφορα ἐξανθήματα. τοῖς μὲν γὰρ οἷον ὑπὸ κνίδης ἢ κωνώπων δηχθεῖσι κατὰ τὸ δέρμα φαίνεταί τινα ἐξανθήματα, ἃ δή ποτε μὲν παραμένει, ποτὲ δ' αὖ ὑποστρέφει, ἢ πάχος ἢ πλῆθος ἢ ἀδυναμίαν τῆς ἀπωστικῆς δυνάμεως ὑποφαίνεται. ἐνίοις δὲ ἐρυθρά τινα ἢ πορφύρεα καὶ ἔτι μέλανα ὑποφαίνεται, ὁποῖα καὶ κατὰ τὰ δήγματα τῶν ψυλλῶν τε καὶ κόρεων ἑκάστοτε ἡμῖν ἐπιφαίνεται. ταῦτα δ' οὐχὶ ῥαδίως ὑποστρέφει, λεπτοτέρας τε καὶ μείονος ὕλης πεφυκότα. καὶ τῶν μὲν ἐρυθρῶν χείρω τὰ πορφύρεα· πάντων δὲ χείριστα τὰ μέλανα, τὸ πλέον θάνατον ὑποφαίνοντα. ἣν δ' ἀναμεμιγμένα ᾖ ἀπό τε τῶν πλεοναζόντων καὶ τῆς ἄλλης δεῖ τεκμαίρεσθαι τῶν φυσικῶν δυνάμεων καταστάσεως· ἐνίοις δὲ καὶ ὥσπερ ἵδρωα ἐπιφαίνεται, καὶ οὐδέν τι χεῖρον διασημαίνει. ὀργώσης δὲ ὕλης ἐπὶ τὸ δέρμα, καὶ ταῦτα φορᾷ ἁλμώδους ἢ δακνώδους μετέχοντα ποιότητος, ἤδη τυχόντα ὕλης, καὶ νύσσει τε καὶ διερεθίζει τὴν αἴσθησιν, τὴν διαφόρησιν ἐπισπεύδοντα· κνησμονὰς δὲ ὧδε διαφόρους ποιεῖ. τούτων δὲ τὰ μὲν κνηθόμενα αἷμα χωρεῖ, τὰ δ' αὖ ὑπόλευκον ἢ ὕπωχρον ὑγρόν, ὡς ἐντεῦθεν τὸν ἀκμάζοντα χυμὸν ὑποφαίνεσθαι, ἐπεὶ τὸ μὲν ἁλμυροῦ τινος δοκεῖ φλέγματος ἀναμεμιγμένα ᾖ ἀπό τε τὸ δ' αὖ ξανθῆς χολῆς. τὸ πρῶτον δὲ μᾶλλον αἵματος δριμυτέρου. ἔνια δὲ εἰς ψωρώδεις μεθίσταται διαθέσεις, καὶ ἑλκώσεις ἐπάγει τοῖς ἐξανθήμασιν. ἀμέλει καὶ μείζους τε καὶ ἐρεθιστικώτεραι ὧδε αἱ κνησμοναὶ γίνονται, παχυτέρας τε καὶ δυσδιεξιτήτου πεφυκυίας τῆς ὕλης. ἀλλ' ὁ μὲν περὶ τῶν ἱδρώτων τε καὶ ἐξανθημάτων λόγος ὧδέ πη καὶ λεγέτω.

Ἐπεὶ δὲ νότος τε ἤδη πνεῖ καὶ καιρός σοι ἀπιέναι, σὲ μὲν εἴη καλῶς κατὰ θάλασσαν καὶ ἤπειρον διελθεῖν, καὶ μή τινος ἀνιαροῦ πειραθῆναι, καὶ ἀγαθῶν πρέσβιν ἡμῖν ἐπανήξειν. ἡμῖν δὲ ἱκανὸν ἤδη μέτρον ἐπιτεθεικόσι τῷ λόγῳ, ὧδε λῆξαι εἰκός. ἐπανήξαντι δέ σοι, ἣν γε καὶ ἡμῖν τῷ περιϊέναι ἔσται τοῦ Θεοῦ εὐδοκοῦντος, καὶ τὸ λοιπὸν τῆς ὑποθέσεως ἐκπερανθὲν ἀποφληθήσεται, ἆθλον πρεσβείας καὶ ἡδείας ἀφίξεως τὴν βίβλον ἀποτιννύοι. τὸ δὲ νῦν ἔχον, ἐπ' ἄλλα τὴν σπουδὴν τρέψωμεν.

## ΤΟΥ ΑΥΤΟΥ ΠΕΡΙ ΔΙΑΓΝΩΣΕΩΣ ΠΑΘΩΝ ΛΟΓΟΣ ΔΕΥΤΕΡΟΣ.

Οὐ κατ' ἐκείνους τῶν φίλων ἡμεῖς, οἳ παρόντας μέν, οἷς ἂν φιλίαν συστήσαιεν, στέργουσί τε καὶ πάνθ' ὑπισχνεῖσθαι πρόχειροι, ἐπειδὰν δέ τις ἀνάγκη τὰς συνεχεῖς σφῶν αὐτῶν διαστήσειεν ὁμιλίας, ἤδη φθάνουσιν ὑποκλεπτόμενοι τὰς ἐπὶ φιλίᾳ συνθήκας ὑπεκκρουομένου τῆς μνήμης τοῦ τῆς φιλίας καλοῦ, ἀλλ' οἷά τινος ὑπόχρεω φίλοι, ἤδη σοι ἡμεῖς, καὶ τὸ λοιπὸν ὧδὶ τῆς ὑποσχέσεως ἐκπεραίνοντες. ἐπειδὴ καὶ γὰρ ἀγαθῇ τινι τύχῃ νότου πνεύσαντος, εἰς ἣν ἐστέλλου πρεσβείαν ἄρας ἱστία ἔπλεες, οὔπω δ' ἔτυχε πέρας λαβεῖν ἡ ὑπόσχεσις, ἡμεῖς μὲν τοῦ πρόσω βαίνειν ἐλήγομεν, σοὶ τὴν χάριν ἀποταμιευόμενοι, καὶ ἦρος ἤδη ἀρχομένου, τὴν σὴν προσεδοκῶμεν ἐπιδημίαν. ἐδεδίειν γὰρ ἵνα τἀληθὲς ἐρῶ σοι τὴν χάριν τοῦ βιβλίου προμνηστευσάμενος, μήπω πέρας εἰληφὸς τὸ βιβλίον λάθῃ χερσὶν ἑτέρων προεμπεσόν, καὶ δεύτερος τῶν ἄλλων, τῶν τοῦ βιβλίου καλῶν ἀπολαύοις. ἀμέλει τῷ θειοτάτῳ φίλῳ καὶ πατρὶ ἡμῶν καὶ σοφωτάτῳ καὶ ἀλήπτῳ ἐν τοῖς ὑπὸ τὴν αἴσθησιν πράγμασι, τῷ τὸ τῆς φιλοσοφίας ἀξίωμα μετὰ λόγου καὶ ἀρετῆς ὑποδείξαντι, ὅσον τῷ ἐπὶ τὸν νοητὸν διάκοσμον ἀνατρέχοντι, τῇ τιμίᾳ μοι κεφαλῇ, τὸν κάλλιστον οἶδ' ὅτι οἶει Ἰωσήφ, ἀξιώσαντί με ἐκδοῦναί οἱ βιβλίον περὶ τῆς κατὰ τὸ ψυχικὸν πνεῦμα διαίτης, τὸ μὲν ὑπεῖξαι καὶ παρασχεῖν ἐκείνῳ τὰ ὑπεσχημένα, ἕτοιμος αὐτὸς ἐγεγόνειν· εἰ μή τι ἕτερον, τό γε μὴν εἴκειν φιλίαις πρόχειρος ὤν. δεῆσαν δ' ἐπιμνησθῆναι ἐν τῷ πρὸς ἐκεῖνον βιβλίῳ καὶ τοῦ πρὸς σὲ τουτουῒ βιβλίου, γραφῆναι εἰσ-

*πραττόμενοι, οὐκέτι πρόχειρος ἐγεγόνειν ἐκείνῳ, σοὶ τὴν πρώτην χάριν ἀποταμιευόμενος. ἔφθην γε μὴν ὑποσχέσθαι ἐπανήξαντί σοι καὶ τέλειον τὸ βιβλίον ἀπειληφότι, ἐκείνῳ πρώτως παρασχεῖν τὰ ἀντίγραφα. χαρίζεται καὶ γὰρ ἡμῖν οὐκ οἶδ' ὅπως εἴτε φιλίᾳ εἴκων, εἴτε τι κἂν ἡμῖν ἄξιον ἐκείνου εὑρήσειν οἰόμενος. καὶ ἐθέλει μηδὲ τουτὶ τὸ βιβλίον λελεῖφθαι τῆς κατ' αὐτὸν προθυμίας, ἀλλ' ἔχειν ἅμα τῷ προεκδοθέντι οἱ βιβλίῳ, ὡς αὐτὸς φιλίαν τε καὶ ἰατρικὴν τιμῶν διϊσχυρίζεται, τῆς εἰς ἡμᾶς αὐτοῦ ἀκραιφνοῦς φιλίας ταῦθ' ὑπόμνημα εἶναι διατεινόμενος. Ἐπεὶ τοίνυν ὁ κάλλιστος ἡμῶν ἐπανῆκες φίλος, ἤδη σοι καὶ ἡμεῖς κατὰ τὰ ὑπεσχημένα, καὶ τὸ λεῖπον τοῦ βιβλίου προστίθεμεν τῷ προτέρῳ, κἀκείνῳ παρασχεῖν ἕτοιμοι τὰ ὑπεσχημένα, οὐκ ἔλαττον καὶ τῆς ἐπ' ἐκείνῳ χάριτος ἀναπειθούσης, τάχιον εἴ τις δύναμις ἐκδοθῆναι τὸ βιβλίον. καὶ μή τις ἔστω κἂν ταῖς ἀκραιφνέσι φιλίαις φθόνος, σοῦ γε πυθομένου, ὡς κἀκείνῳ χάριν τινὰ ἐντεῦθεν ἀποτιννύντες ἐσόμεθα, τάχιον τὸ βιβλίον προσαποδόντες. ἀλλ' ὃ δὴ καὶ αὐτὸς περὶ σαυτοῦ οἴομαι τοῖς ἀμείνοσιν εἴκοντος, τοῦτ' αὐτὸς ἀποφαίνου τοῖς ἔργοις. μᾶλλον δὲ αὐτὸς πρὸ τῶν ἄλλων οἶδά σε ἀμείνοσιν εἴκοντα, καὶ διαφερόντως τὴν ἀρετήν τε καὶ φιλοσοφίαν τιμῶντα. καὶ οὔ τί μοι δέος, ἄλλως διατεθῆναί σε ἢ ὡς αὐτὸς οἶμαι, πάλαι ἀκριβῶς σε εἰδώς· ἀλλὰ ταῦτα μὲν παίζοντες μᾶλλον ἢ σπουδάζοντες, ὡς καὶ αὐτὸς οἶσθα, τῷ λόγῳ προσενείραμεν· νυνὶ δ' ἐντεῦθέν ποθεν χρεὼν, τῆς προκειμένης ἐφάψασθαι ὑποθέσεως. ἐπεὶ δ' ἐν τῷ πρὸ τούτου λόγῳ περί τε κρίσεων καὶ φυσικῶν διείληπται δυνάμεων, ἔτι τε παθῶν τῶν ὀργανικῶν καὶ καιρίων μορίων τὰ προσήκοντα, καὶ προσέτι σφυγμῶν καὶ οὔρων καὶ τῶν ἄλλων, ἃ δι' ἐκκρίσεως φαίνεται, λείπεται ἐν τῷ παρόντι φάναι περί τε πυρετῶν καὶ τῶν κατὰ τὴν ἐκτὸς τοῦ σώματος ἐπιφάνειαν συνισταμένων παθῶν, εἶθ' οὕτως περὶ τῆς κατ' αὐτὰ θεραπευτικῆς μεθόδου διεξιέναι. οὕτω γὰρ ἂν καθ' εἱρμὸν προβαίη τοὐγχείρημα, καὶ τῶν μὲν ἀπὸ φλεγμονῆς τῶν προορηθέντων καιρίων μορίων ἢ τινος ἐπιταθείσης σφίσι δυσκρασίας ἀναπτομένων πυρετῶν, τὴν αἰτίαν ἐκείνοις*

ἀποδοτέον, ἃ φθάσαντα θερμῶς οὕτω διατεθῆναι, μέχρις αὐτῆς καρδίας τὸ πάθος παρέπεμψαν καὶ πυρετὸν ἐντεῦθεν ἐπήγαγον. Νυνὶ δὲ περὶ τῶν καθόλου μᾶλλον πυρετῶν ῥητέον, ὡς ἂν ἁπάντων ἔχοις τὰς αἰτίας καὶ τὰς διαγνώσεις εἰδέναι.

### α΄. Περὶ διαγνώσεως πυρετῶν. Ὅρος πυρετοῦ.

Οὐδὲν οὖν ἕτερον ὁ πυρετὸς πεφυκὼς ἢ ἐπίδοσις θέρμης ἀλλοτρίας διά τινας προηγησαμένας αἰτίας, πολλά τε καὶ διάφορα τῶν κατὰ μέρος πυρετῶν ἐπάγει εἴδη. οἱ μὲν γὰρ αὐτῶν τῶν πυρετῶν ἐφήμεροι λέγονται, οἱ δὲ συνεχεῖς τε καὶ σύνοχοι, οἱ δὲ διαλείποντες, ἕτεροι δὲ ἑκτικοί. καὶ οἱ μὲν ἐφήμεροι ἐπὶ μόνῳ τῷ πνεύματι διαθερμανθέντι συνίστανται. οἱ δὲ συνεχεῖς τε καὶ διαλείποντες, ἐπὶ χυμοῖς τισι συσσαπεῖσιν, ὥσπερ οἱ ἑκτικοί, εἰς ἕξιν ἤδη τῆς καρδίας δεξαμένης τὸ πάθος τῶν πυρετῶν. τούτων ἁπάντων μετριώτατοι οἱ ἐφήμεροι καλούμενοι, ἅτε ἀπὸ μετρίας γεγεννημένοι προφάσεως. οἱ μὲν γὰρ αὐτῶν διά τινα τοῦ περιέχοντος ψῦξιν ἢ θέρμην συνίστανται· οἱ δὲ αὖ διὰ θυμὸν ἢ λύπην ἢ φροντίδα, ὥσπερ ἕτεροι δι᾽ ἀπεψίαν ἢ κόπον ἤ τι τοιοῦτον ἕτερον· καὶ οἵδε μὲν ἐφήμεροι λέγονται, ἅτ᾽ ἐπὶ μιᾷ τὸ πλέον ἡμέρᾳ λυόμενοι. εἰσὶ δ᾽ αὐτῶν, οἳ καὶ μέχρις αὐτῆς ἐνίοτε τῆς τετάρτης ἐκτείνονται. καὶ ταῦτα γίνονται, καθαροῦ τελοῦντος τοῦ σώματος. εἰ δέ τις εἴη κακοχυμία ἐμφωλεύουσα καί τις εὔπρηστος ὕλη, ὡς ἀρχῆς τινος δραξαμένη τῆς ἐπὶ τῷ ἐφημέρῳ θέρμης, εἰς τὸν ἐπὶ σήψει συνιστάμενον πυρετὸν μετήγαγε τὴν διάθεσιν, καὶ οὐκέτι κατ᾽ ἐφήμερον, ἀλλὰ τὸν ἐπὶ σήψει πυρετὸν ἡ διάθεσις. καὶ οὔπω θαυμαστόν, ὅπου γε καὶ εἰς ἑκτικὰ ἔνιοι τῶν ἐφημέρων μετέπεσον, καθὼς ἑξῆς προϊόντες ἐροῦμεν. καὶ τοὺς μὲν ἐφημέρους τῶν πυρετῶν ῥᾷόν τε διαγνώσῃ, καὶ ῥᾷστ᾽ ἂν θεραπεύσαις· τοὺς δ᾽ ἐπὶ σήψει, οὐχ οὕτω ῥᾴδιον. μαθήσῃ δὲ καὶ τούτων τὰς διαγνώσεις, προϊόντος τοῦ λόγου. τῶν οὖν ἐφημέρων οἱ πλείους, προδήλους ἔχουσι καὶ τὰς αἰτίας, ψύχους ἢ θέρμης ἡγησαμένων θύραθεν, ἢ λύπης ἢ θυμοῦ ἢ κόπου καὶ ὅσα τοιαῦτα εἴρηται. τά τε οὖρα ὧδε τὸ

πλέον πέψεως ὑποφαίνει σημεῖα, καὶ οἱ σφυγμοὶ δέ, ταχεῖς διαστελλόμενοι, καὶ οὐχὶ τὴν ἔσω σπεύδοντες κίνησιν, ἀλλήλων μέντοι διαφέροντες κατὰ τὰ προηγησάμενα αἴτια, ὧν τὰς ἀρχὰς εἰδὼς, καὶ καθ' ὅσους τρόπους ἀλλοιοῦσθαι σφυγμοὶ εἰώθασιν, ἔχοις ἂν ἁπτόμενος ἐπικρίνειν τὰ δέοντα. καὶ ἡ λοιπὴ δ' εὐφορία τοῦ κάμνοντος παραστήσει σοι τῆς λύσεως τὸ τάχος τῶν ἐφημέρων. τῶν δ' ἐπὶ σήψει συνισταμένων πυρετῶν, οἱ μὲν συνεχεῖς τε καὶ σύνοχοι λεγόμενοι, οἱ δὲ διαλείποντες. καὶ τῶν μὲν προτέρων, οἱ μὲν ἰσότονοί τε καὶ ἀκμαστικοὶ καλοῦνται, ἅτ' ἐπὶ μιᾶς καὶ τῆς αὐτῆς τελοῦντες τοῦ πυρετοῦ δυνάμεως, οἱ δ' ἐπακμαστικοί, ὡς ἔτι προβαίνοντες τῇ τοῦ πυρετοῦ δυνάμει μέχρι λύσεως· οἱ δὲ παρακμαστικοί, ὡς τῆς κατ' αὐτοὺς δυνάμεως προβαίνοντες, ὑφιέντες κατ' ὀλίγον μέχρι λήξεως. καὶ συνόχους μὲν ἰδίως καλοῦμεν τοὺς ἐπὶ ὑπερζέσει τοῦ αἵματος ἀναπτομένους πυρετούς, συνεχεῖς δὲ τοὺς μᾶλλον ἐπὶ σήψει διαφόρων συνισταμένους χυμῶν. τῶν δὲ διαλειπόντων οἱ μὲν ἑκάστοτε παροξύνουσιν, οἱ δὲ διὰ τρίτης, οἱ δὲ διὰ τετάρτης, ὥσπερ ἕτεροι διὰ πέμπτης ἢ ἑβδόμης λέγονται παροξύνειν· ἔνιοι δὲ ἀτάκτως, οὓς καὶ πλανητάς φασι. καὶ οἱ μὲν ἑκάστοτε παροξύνοντες ἀμφημερινοὶ καλοῦνται, ἐπὶ φλέγματι συνιστάμενοι ἔξω φλεβῶν σαπέντι· ἐπὶ τούτων τὰ οὖρα κατὰ τὰς ἀρχὰς ὠμά, ὑπόλευκα ἢ ἀτατεταραγμένα τυγχάνοντα, καὶ οἱ σφυγμοὶ τῷ τάχει τῆς συστολῆς τὴν ὑποτυφομένην ὕλην ὑποσημαίνοντες. ῥῖγος οὖν τούτους πρώτως ὑποφαίνει, καὶ σφυγμῶν ἀνωμαλία καὶ λεπτότης· εἶθ' οὕτως ὑπανάπτεται πυρετός, καὶ μέχρις ὀκτὼ πρὸς ταῖς δέκα ὥραις ἢ βραχύ τι πλέον ἢ ἔλαττον πρόεισιν, ἐπ' οὐδεμιᾷ τὸ πλέον αἰσθητῇ λήγων κρίσει. οἱ δὲ διὰ τρίτης παροξύνοντες, ἀπὸ χολῆς μὲν καὶ αὐτοὶ ξανθῆς ἔξω τῶν φλεβῶν πλανωμένης συνίστανται. μετὰ φρίκης δὲ τούτοις ἡ εἰσβολὴ τὸ πλέον. καὶ πυρετὸς μετὰ τοῦτο μέχρις ὡρῶν δύο που πρὸς ταῖς δέκα παρατείνων. ἐνίοτε δὲ καὶ πλέον ἢ ἔλαττον τῶν ῥηθεισῶν ὡρῶν, κατὰ τὸ πάχος δηλαδὴ καὶ τὸ πλῆθος καὶ τὴν ῥώμην τοῦ κάμνοντος, καὶ προσέτι τοῦ δέρματος τὸ εὐδιαφόρητον. ἔτι δὲ ἐν τοῖς οὐ-

ροις πέψεις ὧδε κατὰ τὰς ἀρχὰς φαίνονται, καὶ τὰ χρώματα αὐτῶν ξανθά τε καὶ πυῤῥά, καὶ ἔτι τούτων θερμότερα φαίνονται τῇ πλείονι καταβαφῇ. καί τινες δὲ ἱδρῶτες λήγοντος τοῦ πυρετοῦ ἐφέπονται, ἐνίοις δὲ καὶ ἔμετοι ξανθῆς χολῆς, καὶ διὰ γαστρὸς αὐτῆς ὑποχωρήσεις, καί τινες ἀπὸ ῥινὸς αἱμοῤῥαγίαι. οὐχ οὕτω δὲ ἐν ταῖς εἰσβολαῖς μικροί τε καὶ ἀνώμαλοι, ὡς ἐν τοῖς ἀφημερινοῖς ἐφαίνοντο οἱ σφυγμοί. οἵ γε μὴν διὰ τετάρτης παροξύνοντες, τεταρταῖοι μὲν καλοῦνται, ἐπὶ μελαγχολικῷ δὲ οἵδε χυμῷ συνίστανται. καὶ τούτοις περίψυξις μὲν τῶν ἄκρων γίνεται πρῶτον, καὶ πυρετὸς δῆθ' οὕτως μέχρις ὡρῶν εἴκοσιν ἐπεκτεινόμενος, ὠμὰ δὲ καὶ λεπτὰ τὰ οὖρα ὧδε φαίνεται καὶ λευκά, ὕστερον δὲ ἀναθολούμενα, καὶ οἱ σφυγμοὶ τοῖς ἐπὶ τῶν ἐφημέρων παραπλήσιοι. ἐπιγινώσκεται δὲ τούτων ἕκαστος ἀπό τε τῆς ὥρας, καὶ τοῦ τόπου, ἔτι τε τῆς κράσεως καὶ τῆς διαίτης καὶ τῆς ἡλικίας, κἀκείνων ὅσα αὔξειν ἕκαστον τῶν χυμῶν εἴωθεν. ἀπό τε γὰρ τούτων καὶ τῶν συνεδρευόντων καταστοχαζόμενον συμπτωμάτων, βραχίαττα ἢ οὐδὲν οἶμαι τῆς ἀκριβοῦς σε διαφυγεῖν διαγνώσεως. καὶ ταῦτα μὲν ἁπλῶς διαλειπόντων πυρετῶν τεκμήρια. οὐκ ἀγνοεῖν δὲ δεῖ, ὡς ἔνιοι αὐτῶν, ἢ μεθ' ἑαυτῶν ἢ μεθ' ἑτέρων συμπλεκόμενοι, πολλὰς διαφορὰς διαλειπόντων πυρετῶν ποιοῦσιν. οἱ μὲν γὰρ διὰ τρίτης παροξύνοντες διπλασιασθέντες ψευδῆ τινα φαντασίαν ἀφημερινοῦ παρέχουσιν, ἑκάστοτε παροξύνοντες. διαγνώσκονται δὲ τοῖς εὖ εἰδόσι κρίνειν ἀπό τε τοῦ εἴδους τῶν παροξυσμῶν καὶ τῶν συνεδρευόντων συμπτωμάτων. ὁ γάρ τοι ἀκριβῶς εἰδὼς κρίνειν ἁπλοῦν τριταῖον, ῥᾳδίως ἂν καὶ τὸν διπλοῦν κρίνοι. οἱ δὲ διὰ τετάρτης παροξύνοντες διπλασιασθέντες μέν, δυοῖν ἐφεξῆς ἡμέραις ἐπάγουσι τὸν παροξυσμόν, μία δ' αὐτῶν ἡ διαλείπουσα. ὥσπερ αὖθις εἰ τύχοι τινὶ προσαυξηθεὶς ὁ τεταρταῖος καὶ τριπλοῦς ἀνθ' ἁπλοῦ γενόμενος, κατὰ τοὺς ἀφημερινοὺς ἑκάστοτε τοὺς παροξυσμοὺς ἐπάγει· καὶ τούτων μὲν ἕκαστος ἀκριβῶς εἰδότα τὸν ἁπλοῦν κρίνειν, οὐκ ἂν σε λάθῃ καὶ διπλοῦς ἢ τριπλοῦς γενόμενος. εἴ τινας δ' ἀκούεις πεμπταίους καὶ ἑκταίους καὶ ἑβδομαίους καί τινας τοιούτους,

*καὶ προσέτι πλάνητας, μηδὲ τούτους οἵους οὐχ οἵους τε ὄντας συστῆναι. τέτταρες μὲν γὰρ ἐν ἡμῖν χυμοί, ἀλλ' ἕκαστος αὐτῶν τραπείς, πολλά τε καὶ ποικίλα εἴδη χυμῶν διεφθορότων συνίστησιν. ἀμέλει καὶ κατὰ τὴν τοῦ διεφθορότος χυμοῦ τυχοῦσαν ἐπικράτειαν καὶ οἱ παροξυσμοὶ συνίστανται· οἱ δέ γε πλάνητες, ὀργώσης μὲν ὕλης ἔκγονοι, κολαζομένης δὲ καὶ αὐξομένης, ἀλλ' ἐπ' ἀλλήλοις καὶ ἀτάκτοις διαίταις. ὥσπερ δὲ πρὸς ἑαυτοὺς διπλούμενοι διαφορὰς ἐποίουν πυρετῶν, οὕτω δὴ καὶ μετ' ἀλλήλων μιγνύμενοι, ἕτερα εἴδη πυρετῶν ἐπάγουσιν. καὶ νῦν μὲν μετὰ τοῦ τριταίου μίγνυται ὁ ἀφημερινός, αὖθις δὲ μετὰ τοῦ τεταρταίου, ὡς τρεῖς εἶναι τὰς συνισταμένας συζυγίας, ἑκάστου δηλαδὴ τῶν πλεονασάντων ἐν τῷ σώματι χυμῶν τὸν ἴδιον αὐτοῦ ἀπογεννῶντος παροξυσμόν. καὶ ταῦτα μὲν ἐν διαλείπουσι συνίσταται πυρετοῖς. ἑτέρα δ' αὖθις συμπλοκὴ συνεχῶν τε καὶ διαλειπόντων ὧδε φαίνεται πυρετῶν· ἔνιοι γάρ τοι τῶν συνεχῶς ἐπιπαροξυνομένων πυρετῶν ἤτοι ἑκάστοτε, ὁπόταν δηλαδὴ ἐντὸς ᾖ τῶν φλεβῶν διεφθορὸς καὶ σεσημμένον φλέγμα, ἢ διὰ τρίτης, ὅτι πλουτοῦσι τὸν χολώδη χυμὸν αἱ φλέβες, ὥσπερ καὶ διὰ τετάρτης ἐντὸς ἐπακμάσαντος τῶν φλεβῶν τοῦ μελαγχολικοῦ χυμοῦ, τοῖς προρρηθεῖσι διαλείπουσι συμπλεκομένου, διαφορὰς ἑτέρας πυρετῶν ποιοῦσι. νῦν μὲν τοῦ καθ' ἑκάστην παροξύνοντος συνεχοῦς τῷ διαλείποντι ἀφημερινῷ συμπλεκομένου, αὖθις δὲ τῷ διὰ τρίτης διαλείποντι, ὃν καὶ ἡμιτριταῖον φασιν ἰδίως, ἔτι τε τῷ διὰ τετάρτης διαλείποντι, ὥσπερ καὶ τῷ διὰ τρίτης παροξυνομένῳ συνεχεῖ, ὁτὲ μὲν ὁ ἀφημερινός, ὁτὲ δ' αὖ ὁ τριταῖος. ἔστι δ' ὅτε ὁ τεταρταῖος καὶ οἱ διαλείποντες ἐπιμίγνυνται, οὐχ ἧττον δὲ καὶ ὁ διὰ τετάρτης παροξύνων συνεχής, τοῖς τρισὶ τούτοις διαλείπουσιν ἐπιμίγνυται, ὧν τοὺς κατὰ μέρος καὶ ἁπλοῦς εἰδώς, οὐδέ τινος τῶν συμπεπλεγμένων διαμάρτοις ἄν. εἴ τινας δὲ ἀκούεις καύσους πυρετοὺς καὶ ἠπιάλους καὶ λειπυρίας, καὶ τούτων τὰς αἰτίας καὶ τὰς διαφορὰς οὕτω μάνθανε. Καὶ καῦσος μὲν ἐπὶ χολῇ ὑπερζεσάσῃ, ἔστι δ' ὅτε καὶ αἵματι συνίσταται ζέσαντι, καὶ σφοδροτάτην μὲν ἐπεγείρει τὴν θέρμην. τάχιστα δὲ πρὸς ὃ ἂν τύχῃ νεύει,*

οὐχὶ στεγούσης τόσην ἔγκαυσιν τῆς φύσεως. ἢ γὰρ κρίσεσί τισιν ἀποδιοπομπεῖται τὰ λυποῦντα αἴτια ἢ ἀπαγορεύει πρὸς τοσαύτην ἔνστασιν ἡ φύσις ἀλλοτρίας θερμότητος. ἠπίαλοι δὲ ἀπὸ τοῦ ἠπίως καὶ πράως ἀλεαίνειν εἴρηνται. οὐδὲ γὰρ σφοδρὸν οἷδ' ἀνάπτουσι πυρετόν· ῥῖγος μὲν γὰρ ἐπίδηλον αὐτοῖς γίνεται. οὐκ ἀναλόγως δὲ τῷ ῥίγει ἕπεται ὁ πυρετός. ἐνίοτε δὲ καὶ ἀμφοτέρων ἅμα γίνεται αἴσθησις, ῥίγους δηλονότι καὶ θερμότητος. ψυχροὶ δὲ ἄρα καὶ γλίσχροι χυμοὶ τοῦ πάθους αἴτιοι, μετρίως συσσαπέντες· ὁ λειπυρίας δὲ ἱκανὸν ἐπάγων ῥῖγος, οὐκ ἔκδηλον ἐπάγει καὶ τὴν ἐπ' αὐτῷ θέρμην, ὡς ἔστι καὶ ἐξ αὐτοῦ εἰδέναι τοῦ ὀνόματος. λείπεται γὰρ πυρὸς ἤτοι θέρμης. πάνυ γὰρ ψυχρὸς χυμὸς ἐπιπολάσας, τῇ μὲν ἐκκριτικῇ δυνάμει διωθεῖται κατὰ τὰς παροξυσμῶν ἐπισημασίας. ἀμέλει καὶ ῥῖγος ἐπισυμβαίνει ὧδε, θέρμη δ' οὐδεμία ἕπεται, ὅτι μηδὲ σῆψίς τις αὐτῷ προσγέγονεν, ἱκανῶς δυσφθάρτῳ πεφυκότι. καὶ ταῦτα μὲν διαλειπόντων τε καὶ μή, πεφύκασι πυρετῶν εἴδη.

Ἕτερον δὲ παρὰ ταῦτα πυρετῶν γένος οἱ ἑκτικοὶ πεφύκασι πυρετοί, χείρους μὲν πάντων, μικροῦ δὲ πάντες ἀνίατοι. ἑκτικοὶ δὲ εἴρηνται, τῷ εἰς ἕξιν ἤδη τούτους τὴν καρδίαν καταδεδέχθαι. ἐπειδὴ γὰρ διάθεσις μέν, ποιά τις συνοικείωσις τοῦ διατιθεμένου πρὸς τὸ διατεθὲν λέγεται, ῥᾳδίως ἔχουσα μεταβάλλεσθαι, ἕξις δ' ἐμμονός τις καὶ δυσαπόνιπτος διάθεσις, εἰκότως ὅσοι μὲν τῶν πυρετῶν ἑαυτοῖς συνδιατιθέασι τὴν καρδίαν κατὰ διάθεσιν, ῥηθεῖεν ἂν τὴν τῆς καρδίας μεταβεβληκέναι θέρμην. ὅσοι δ' αὖ εἰς ἕξιν ταύτην καταδεδέχθαι πεφύκασιν, ἑκτικοὶ καλοῖντ' ἂν τοῖς εὖ εἰδόσι. γίνονται δ' οὗτοι ὁτὲ μὲν ἐκ διαδοχῆς τῶν ἐφημέρων, σφοδρότερον δηλονότι ἡμῶν θυμουμένων, ἢ ἐμμόνως λυπουμένων ἢ φροντισάντων. καὶ τούσδε μὲν ἐξ ἀρχῆς προσχών, ῥᾷστ' ἂν καὶ θεραπεύσαις. ὅσαι δ' ἐπὶ καιρίων μορίων φλεγμοναῖς καὶ σκίρροις γίνονται, φθόαις τε καὶ λοιποῖς ἀξιολόγοις πάθεσιν, οὗτοι δὴ πάντων χείριστοι, οὐκ ἐξικνουμένης ἀπομάχεσθαι τῆς φύσεως πρὸς δύο πάθη χαλεπώτατα. οὐχ ἧττον δὲ καὶ ἐπὶ χρονίσασι καὶ κακοηθευθεῖσι πυρετοῖς συνίστανται,

ἤδη καταδεξαμένης τῆς καρδίας τὸ πάθος ἐπὶ προηγησαμένῃ τῆς δυνάμεως καταλύσει. χείρους δ' αὖ τούτων, ὅσοι ἑκτικοὶ καλοῦνται καὶ μαρασμώδεις, εἰς μαρασμὸν ἤδη μεθισταμένης τῆς ζωτικῆς δυνάμεως, ὅτε δηλαδὴ καὶ ἄφυκτον τὸ πάθος νομίζεται. πᾶσιν οὖν ἑκτικοῖς πυρετοῖς, δι' ὅλου ἔνεστιν ὑποτυφομένη θερμότης τοῦ σώματος. ἀνεπαίσθητός γε μὴν τὸ πλέον τοῖς κάμνουσι καὶ οὐδέποτε διαλείπουσα. ἐπειδάν γε μὴν τροφῆς μετασχόντες ἢ ἄλλως διεγερθέντες οἱ κάμνοντες, περί τι σπουδάζοντες τύχωσιν, αἰσθάνονται μὲν θερμοτέρων ἑαυτῶν, βραχύ τι δὲ προσεπιδυοφορήσαντες αὖθις καθίστανται. μικροὺς δ' ἀεὶ καὶ πυκνοὺς καὶ σκληροὺς τὸ πλέον τοὺς σφυγμοὺς ἔχουσιν. οὖρα δὲ σφίσιν ὁποῖα καὶ εἴρηται ἐπὶ τῶν ἑκτικῶν, κατὰ τὴν ἀναλογίαν τοῦ εἴδους τε καὶ τὴν ἐπικράτειαν τοῦ πάθους. τοῦ δὲ δεινοῦ προβαίνοντος, κοιλαίνονται μὲν σφίσιν οἱ ὀφθαλμοί, καὶ οἱ κρόταφοι συμπεπτωκότες, καὶ τὸ μέτωπον καρφαλέον καὶ βραδέως αἴρουσι τὰ βλέφαρα, καὶ λημμῶσι, φθίνουσι δὲ καὶ ὑπορρέουσι. καὶ τέλος ἐν αὐταῖς ταῖς ὁμιλίαις ἢ ἄλλαις τισὶ μετρίαις ταῖς κατὰ τὸν βίον ἐνεργείαις, ὥσπερ λειποψυχήσαντες ἀποθνήσκουσιν. εἰδέναι δ' ἐπὶ πᾶσι κἀκεῖνο δέον, ὡς ἑκτικῶς πυρέσσουσιν ἀνθρώποις, διαφόρως ἐνίοτε, καὶ οἱ ἐπὶ σήψει συμπλέκονται πυρετοί. ἑκάστου δὲ τὰ γνωρίσματα, διακρίνει τῶν πυρετῶν τὰ εἴδη. ἕκαστα δὲ προεκτεθειμένα σοι, περιττὸν ἂν εἴη αὖθις ἐπισυμπλέκειν τῷ λόγῳ, ἄλλως τε μηδὲ τῆς ἐπὶ τῷ λόγῳ βραχυλογίας τοῦτο ἀναπειθούσης· ἀμέλει τοίνυν τὸν περὶ πυρετῶν λόγον ὧδ' ἂν ἔχῃς ἱκανῶς ἐκτεθειμένον· ἐφεξῆς δὲ προσῆκον ἀποδοῦναι τῷ λόγῳ τὰ δέοντα.

Ἐπεὶ τοίνυν κρίσεσι τὰ πλείω τῶν παθῶν ἀπολύεται, ἑπόμενον ἂν εἴη μετὰ τὸν περὶ τῶν ἀξιολόγων παθῶν κατάλογον, καὶ ἔτι τῶν πυρετῶν, διεξιέναι περί τε ἀσφαλῶν καὶ μὴ κρίσεων, καὶ τῶν ἐπ' αὐταῖς δυνάμεων τῶν κρινουσῶν ἡμερῶν.

β. Περὶ διαγνώσεως κρίσεων.

Οὐδενὸς οὖν ἑτέρου τῆς κρίσεως πεφυκυίας, ἢ διεγέρσεως τῆς ἐκκριτικῆς δυνάμεως ἐπὶ τὸ τὰ λυποῦντα ἀπώσασθαι, ὅσαι μὲν τῶν κρίσεων ἐπὶ προηγησαμέναις πέψεσι γίνονται καὶ ἐν ἐπιδήλοις ἡμέραις, ἄνεσιν δυσχερῶν προξενοῦσι τοῖς κρινομένοις, ὅσαι δ' οὐχ οὕτως, ὑποτροπιασμοὺς ἢ δυσφορίας ἢ μακρονοσίας ἢ τὸ πάντων χείριστον, θανάτους ἐπάγουσι. κρίνονται τοίνυν οἱ κάμνοντες ἢ ἐμέτοις ἢ γαστρὸς ὑποχωρήσεσιν ἢ οὔροις ἢ ὑπεξαγωγαῖς ἑλμίνθων ἢ ἱδρῶσιν ἢ αἱμορραγίαις διὰ μυκτήρων καὶ ταῖς διὰ γαστρὸς ἢ αἱμορροΐδων, ὥσπερ καὶ ταῖς διὰ μήτρας, ὡς ἐπὶ γυναικῶν. ἐπ' ἐνίων δὲ καὶ παρωτίδες καὶ λοιπὰ ἀποσκήμματα, κρίσεως ἐσχήκασι δύναμιν, καὶ πτύσματα διὰ βηχός· καὶ ὕπνοι δ' ἔσθ' ὅτε τὸ μετριώτατον, μὴ πρότερον ὄντες, ἄνεσιν τῶν δυσχερῶν ἐπιγεγονότες ἐπήνεγκαν. οὐ πᾶσι δὲ πάντα οἰκεῖα, ἀλλὰ κατὰ τὸ τοῦ ἀρρωστήματος εἶδος, καὶ τὴν τοῦ κάμνοντος ἕξιν, ἔτι τε τὴν ὥραν καὶ τὸ ἔθος καὶ τὴν ἡλικίαν, ταῦτ' ἐπισυμβαίνει. ἐνίοις μὲν γὰρ ἕν που ἢ δύο ἐν ταῖς κρίσεσι γίνεται, τισὶ δὲ καὶ πλείω. πάντα δὲ οἰκείως ἐπὶ τῶν μετ' ἀσφαλείας σωζομένων γινόμενα. ἵν' οὖν μὴ ὥσπερ ἐν σκοτομήνῃ διάγοντες ἄλλην ἄλλως δοκῶμεν ταῦτα λέγειν, φέρε τῷ τῆς εὐκρινείας φωτὶ τὸν λόγον διασκευάσαντες, περὶ τῶν κατὰ μέρος εἴπωμεν κρίσεων, ὡς ἂν τὰ ἴδια ἑκάστης εἰδὼς κρίσεως καὶ αἴστισι μᾶλλον αὐτῶν ἑκάστη ἕπεται διάθεσις, οὕτω κἀπὶ τοῖς συμπεπλεγμένοις κρίνῃς, καὶ ῥᾴδιόν σοι τὸ πᾶν τῆς κρίσεως γένηται. καὶ δῆτα τῶν δι' ἐμέτου ἢ γαστρὸς φορᾶς κρινομένων, πρώτη μὲν ἔνδειξις τὸ μὴ μέχρις αὐτῶν φλεβῶν διαβεβηκέναι τὴν τὸν πυρετὸν ἀνάψασαν ὕλην, ἀλλ' αὐτοῦ που πρὸς τῇ γαστρί τε καὶ τοῖς ἐντέροις σαπεῖσάν τε καὶ ἀναφθεῖσαν, μέχρι μὲν αὐτῆς καρδίας τὴν ἀλλοτρίαν ἀναπέμπειν θέρμην, ἣ δὴ τῷ χρόνῳ μετεωριζομένη δι' ὄχλου μὲν τἀνθρώπῳ γίνεται, κολούει δὲ τῇ δυναστείᾳ τὴν τοῦ φυσικοῦ καὶ ζωτικοῦ θερμοῦ δύναμιν.

Δευτέρα δέ, τὸ μᾶλλον ὧδε τὰ βάρη καὶ τοὺς νυγμοὺς καὶ τοὺς βορβορυγμοὺς διαφαίνεσθαι, καὶ μὴ ἀξιο-

λόγως τούς τε σφυγμοὺς καὶ τὰ οὖρα ἀλλοιοῦσθαι, ἀλλ' ἐπειδάν γε πρὸς ἑαυτὴν ἡ ἐν ἡμῖν σωστικὴ δύναμις γένηται, καὶ πέψιν μὲν ἐπιθῇ τοῖς ἀπέπτοις, προσλάβηται δὲ τῶν πεφθέντων ἤδη τὰ δέοντα, πᾶν ὅσον ἤδη περιττὸν καὶ ἀχρεῖον ὥσπερ διαναστάσα, ἄνω τε καὶ κάτω κατὰ τὴν ἐγγύτητα καὶ τὴν ῥοπὴν τῆς ὕλης, ἐξάγει τὰ περιττά. μὴ γὰρ δὴ προφανείσης πέψεως, μᾶλλον ἂν μὴ κεκρατηκέναι νομισθείη τὴν δύναμιν τοῦ ἀνθρώπου τῆς ἐν αὐτῷ ὀργώσης ὕλης. καὶ τοῦτο πάνυ χείριστον, ἀπειρηκυῖαν οἷον διαση μαῖνον, εἰ μή τις δάκνουσα ποιότης προδιερεθίσασα, πρὸ τῆς προσηκούσης πέψεως ἀπολῦσαι τοὺς διενοχλοῦντας χυμοὺς παρασκευάσειε. προγνώσῃ δὲ εἰ ὧδε κριθήσεται, ἤν τε τὸ εἶδος αὐτοῦ τοῦ νοσήματος καταγγέλοι ὠδί, μᾶλλον τοὺς λυποῦντας ἀκμάζειν χυμούς, καὶ ἢν ῥᾴδιος ᾖ ἐμεῖν ἢ τὴν γαστέρα λύεσθαι ὁ κάμνων, καὶ ἢν μὴ ἄλλων κρίσεων σημεῖα φαίνηται, καθὼς ἑξῆς ἐροῦμεν. ἴδια δ' αὐτῶν τῶν δι' ἐμέτου κρινομένων, τὸ ὥσπερ ἀνεσπασμένα φαίνεσθαι σφίσι τὰ σπλάγχνα καὶ τὸ, τὸ κάτω χεῖλος κινεῖν καὶ ἰλιγγιᾶν, ὀρφνώδη τέ τινα πρὸ τῶν ὀφθαλμῶν βλέπειν, καὶ ξανθὰ καὶ ὠχρὰ καὶ ποικίλα. ταῦτα γὰρ καὶ τὰ τοιαῦτα προφαινόμενα, τὰς δι' ἐμέτων κρίσεις ἐπισημαίνει, ὥσπερ τὰ διὰ γαστρός, τὰ βάρη τῆς γαστρὸς καὶ τῶν ἐντέρων, ἔτι τε οἱ βορβορυγμοὶ καὶ οἱ νυγμοὶ τῶν ἐντέρων διαΐσσοντες.

Αἱ δὲ δι' αἱμορραγιῶν κρίσεις πρῶτον μὲν καταλαμβάνονται, τῷ τὸν τοιοῦτον χυμὸν ἀκμάζοντα φαίνεσθαι ἀπό τε τῆς ὥρας καὶ διαίτης, ἔτι τε ἡλικίας καὶ τοῦ ἔθους τοῦ κάμνοντος, ἀπ' αὐτῶν τε τῶν σφυγμῶν καὶ τῶν οὔρων· καὶ ἐπὶ μὲν ταῖς διὰ μυκτήρων, ἀνεσπασμένα δοκεῖ τὰ σπλάγχνα, ὥσπερ κἀπὶ τῶν ἐμέτων εἴρηται. μαρμαρυγαὶ δέ τινες πρὸ τῶν ὀφθαλμῶν φαίνονται. καὶ τοῦ δεξιοῦ μὲν ἐπαιρομένου σπλάγχνου, διὰ τοῦ δεξιοῦ μᾶλλον μυκτῆρος τὸ αἷμα ῥεῖ, διὰ τοῦ ἀντικειμένου δὲ, τοῦ εὐωνύμου σπλάγχνου ἐπαιρομένου· ἐπὶ δὲ ταῖς δι' αἱμορροΐδων ἢν οἵ τε οἱ νεφροὶ βάρος ἔχωσι, καὶ αὗται αἱ αἱμορροΐδες ὑποφλεγμαίνωνται ἢ δάκνωνται, οἷον γαργαλιζόμεναι καὶ μάλιστα εἰ συνήθης ὁ κάμνων· καὶ ἢν μὴ ἄλλα σημεῖα

προφαίνηται, ὀργᾷ δὲ ἡ ὕλη. ἐπὶ δὲ τῶν ἐμμήνων καθάρσεων, ἀπό τε τῶν παραπλησίων, καὶ ἀπ' αὐτῆς τῆς τῶν ἡμερῶν περιόδου, διαγνοίης ἂν τὰ ἐσόμενα. ὑπέρυθρα δὲ καὶ ἐρυθρὰ καὶ οἷον αἱματώδη τούτοις, τὸ πλέον τὰ οὖρα, ἐκεῖσε τοῦ αἵματος συρρυέντος καὶ σύμμετρα διδόντος τοῦ κατ' αὐτὸ χρώματος. Ἱδρῶτες δ' ἐπιγίνονται ἐπὶ πλεονασμοῖς τῶν περιττῶν τῆς τρίτης πέψεως. ταῦτά τοι καὶ τοῖς οὔροις ὧδε προεπιφαίνονται ἀθρόαι τε καὶ πεπεμμέναι ὑποστάσεις ἐναιωρούμεναι, καὶ κυματώδης τούτοις ὁ σφυγμός, καὶ ἀτμώδης τις προσβάλλει αἴσθησις, εἰ καθεὶς ἐν κόλπῳ τὴν χεῖρα κατασκοποίης, τοῦ λεπτοτέρου δηλαδὴ προδιαφορουμένου. εὔχροια προσώπου μᾶλλον μὲν ταῖς διὰ μυκτήρων αἱμορραγίαις, δεύτερον δέ, ἐπὶ ταῖς δι' ἱδρώτων φαίνεται κρίσεσι. τοῦ γε μὴν ὀρρώδους χυμοῦ κατὰ τὰς φλέβας πλεονάσαντος, καὶ συσσαπέντος καὶ τὸν κατ' αὐτὸν πυρετὸν ἐγείραντος, παχέα μὲν καὶ ἀνατεταραγμένα τὸ πλέον ὧδε τὰ οὖρα. ἤδη δ' ἐπὶ κρίσιν ἐξορμώσης τῆς φύσεως, λεπτά τε καὶ πολλὰ καὶ ταῦτα φέρεται, πολλῷ μὴν ὑπερβάλλοντα τὸ τοῦ πινομένου μέτρον· καὶ δι' οὔρων τοῦτο λέγεται κρίσις. ὁπόταν δὲ ὠμὸς τυγχάνῃ ὁ χυμός, ἀπείργῃ δὲ ἡ ὥρα, ἡ δὲ προωστικὴ ἀποδιοπομπεῖ δύναμις τὸ περιττόν, εἰς κεφαλὴν μὲν τοῦ λυποῦντος χυμοῦ τυγχάνοντος καὶ ἔξω ῥέποντος, αἱ κατ' αὐτὴν γίνονται παρωτίδες, ὥσπερ καὶ τὰ ἐρυσιπέλατα καὶ τὰ ὑπὸ τὸν τράχηλον ἐπαναστήματα ἐπὶ χολωδῶν ἢ ἄλλων διεφθορότων χυμῶν γίνεται, ἐπὶ τὰ κάτω δέ, τὰ ἀποσκήμματα λεγόμενα, ὥσπερ ταύτης ἐντὸς τραπείσης τῆς ἐνοχλούσης ὕλης, τὰ ἀποστήματα συνίστανται, ἃ δὴ πάντα αὖθις ἑτέρας ἐπὶ τῷ πεπανθῆναί τε καὶ ἐκκριθῆναι δεῖται κρίσεως. καὶ τὰ μὲν ἐκτὸς τρέχοντα, ἀμείνω τε καὶ ῥᾷω βοηθούμενα· τὰ δ' εἴσω χείρω τε καὶ πλείονος τῆς σπουδῆς δεῖται καὶ ἀγαθῆς τύχης. μὴ γὰρ συρρηγνύμενα ἢ κάτω ὑπιόντα ἤτοι δι' οὔρων ἢ γαστρὸς ἢ διὰ βηχὸς ἀναγόμενα, ὡς τὰ κατὰ τὸν θώρακα, δεύτερα μὲν τῷ χρόνῳ πέφυκε, χείρω δ' ἔσθ' ὅτε τῶν πρότερον ἡγησαμένων παθῶν νομίζεται. κρίσις δὲ κἂν τούτοις τὸ συρραγῆναί τε καὶ ῥᾴδιον ἐξιέναι τὰ πύα. Ὕπνοι δ' ἐν φρενίτισι καὶ

παρομοίοις πάθεσιν, ἤρκεσαν ἐνίοτε ἐπιφανέντες, οὐχ ἡ τυχοῦσα κρίσις νομισθῆναι. ἀμέλει ἐφ' ἑκάστῳ τῶν παθῶν προσήκει σκέπτεσθαι, ὑφ' οἵου τε χυμοῦ συνίσταται καὶ ὅπῃ οὗτος ῥέπει, καὶ ποῖα δὲ τῶν κρίσεων ἑκάστῳ οἰκειότερα, καὶ οὕτω δὴ καταστοχάζεσθαι τῶν κρίσεων. ἄλλοι μὲν γὰρ ἱδροῦν ἐπιτηδειότεροι, ἕτεροι δὲ λαπάττεσθαι τὴν γαστέρα· οἱ δ' αἱμορραγίαις ἁλίσκεσθαι, κατά τε τὰς ἡλικίας καὶ τὰς ὥρας καὶ τὰς διαίτας, ἔτι τε τὰ ἔθνη καὶ τὰ διαιτήματα, ὡς εἴρηται. συμπεπλεγμένων δὲ ὄντων τῶν χυμῶν καὶ ὧδέ τε κἀκεῖσε ἐνορμώντων, οὐκ ἀπεικὸς ποικίλας καὶ τὰς κρίσεις γίνεσθαι, ἃς ἀπὸ τῶν ἁπλῶν ῥαδίως ἂν εὑρίσκοις, ὡς ἀγχίνους, καταστοχαζόμενος τοῦ εἴδους τε καὶ τοῦ κινήματος τἀρρωστήματος. ἐν πᾶσιν οὖν τοῖς κρινομένοις τρία ταῦτα δεῖ σε προσεξετάζοντα ἐξευρίσκειν, τὴν ῥώμην τοῦ κάμνοντος, τὴν πέψιν τῶν ὀργώντων χυμῶν, καὶ εἰ ἀναλογίαν ἀποσώζει τὰ ἀπὸ τῶν κρίσεων φαινόμενα κατά τε τὸ ποσὸν καὶ τὸ ποιὸν πρὸς τοὺς ἀκμάζειν δοκοῦντας χυμούς. τῆς τε γὰρ δυνάμεως ἀπαγορευούσης, τὰ πάντα χείρω λογιστέον, καὶ πέψεως μὴ προσηγησαμένης ἐν ταῖς φαινομέναις κρίσεσιν, ἀκράτειά τις ἢ πλῆθος χυμῶν, ἢ διὰ ταῦτά τε καὶ τὰ παραπλήσια, κακοήθειά τις τοῦ νοσήματος νομίζεται, ὥστε ἤτοι ἄλγη, ἢ λειποψυχίας καὶ ἀναισθησίας καὶ παραφροσύνας, καὶ αὖθις αὐτῶν ὑποστροφάς, καὶ ὅ,τι χείριστον συντεκμαίρεσθαι. ἔτι γε μὴν χείριστον, καὶ εἰ ἄλλα φέρεται ἀντ' ἄλλων, καὶ μείονα τῷ ποσῷ. ταῦτα γὰρ καὶ τὰ τοιαῦτα ἀεὶ προσημαίνεται χείρονα. ἀμέλει δεῖ σε καὶ ἐπὶ τὸν κάμνοντα εἰσιόντα καὶ πρὶν ἢ ψαῦσαι αὐτοῦ, τό,τε εἶδος αὐτοῦ καὶ τὴν κατάκλισιν ὁρᾶν, ἔτι τὴν εὔπνοιαν, καὶ ἢν μὴ ῥέγχῃ ἢ μὴ ἀλύῃ ἢ παραληρῇ ἢ ἄλλα φθέγγηται ἀντ' ἄλλων, ἢ βήττῃ καὶ οὐδέν τι ἄξιον λόγου ἀνάγῃ, ἢ ὅτι ἕτερον, πρὶν ἢ αὐτοῦ καὶ τῶν ἑτέρων πυθέσθαι, φαίνηται. εἶθ' οὕτως ἐπανερόμενον, ὅτι εἴη ὁ πάσχων, ταῦτα παραβάλλειν, οἷς δῆτα καὶ πρὶν ἢ ἐκεῖνον φάναι, κατεστοχάσω, εἶθ' οὕτως καὶ ἐφαψάμενον τοῦ σφυγμοῦ, τόν τε ζωτικὸν τόνον ὧδε κατανοεῖν, καὶ ἢν τὸ εἶδος τῶν σφυγμῶν σύμφωνον τοῖς λεγομένοις καὶ φαινομένοις ᾖ, εἶθ' οὕτως, καὶ

εἴ τινα οὖρα εἴη ἢ διαχωρήματα ἢ πτύσματα, προσήκει κατασκοπεῖν, καὶ τὴν ἐν αὐτοῖς πέψιν ἢ ἀπεψίαν, ἢ ἄλλην ὁποιανδήτινα εὐστάθειαν ἢ μοχθηρίαν ὑφορώμενον, ἐπί τε τοῦ ποσοῦ τῶν ἡμερῶν, ἀπὸ τῆς ἀρχῆς τῆς κατακλίσεως πυνθάνεσθαι, καὶ εἴ τινες προεφάνησαν κρίσεις, κἄπειθ᾽ οὕτω διὰ πάντων συνάγοντα ἀποφαίνεσθαι, ὅσα τε εἰς δίαιταν καὶ ὅσα εἰς διάγνωσίν τε καὶ πρόγνωσιν τοῦ ἀρρωστήματος ἀναφαίνονται. διὰ τοιαύτης γὰρ ἀναγόμενος τῆς μεθόδου βραχύ τι ἢ οὐδὲν ἂν διαμάρτοις τοῦ ἀσφαλοῦς. ἵνα δ᾽ ἀκραιφνεστέραν τε καὶ διαυγεστέραν τὴν ἐπὶ τοῖς τυχοῦσι νοσήμασι διάγνωσιν ἔχοις, παραθήσομαί σοι, ὅσα τε ἀγαθὰ καὶ ὅσα φαῦλα σημεῖα, καὶ τὰς κατ᾽ αὐτὰ διαφορὰς κατὰ τὸ μᾶλλόν τε καὶ ἧττον. οὕτω γὰρ διευκρινηθέντος τοῦ λόγου, πάντ᾽ εὐχερῆ καὶ ῥάδιά σοι φανήσεται.

Ἀμείνων οὖν πασῶν κατάκλισις, ἡ ἐπὶ δεξιὰ ἢ ἐπ᾽ ἀριστερά· αἵ δὲ ἄλλαι, ἢν μὴ συνήθεις ὦσι, χείρους. τὴν μὲν γὰρ τῶν ὑπτίων διά τινα ἀδυναμίαν μᾶλλον λογιστέον· τὴν δὲ τῶν πρηνῶν, δι᾽ ὀδύνην τῶν περὶ τὴν γαστέρα καὶ τὰ ἔντερα καὶ διά τινα παραφροσύνην. ῥιπτάζεσθαι δὲ καὶ ἀλύειν, ἢν μὴ διά τινα προσδοκωμένην εἴη ταῦτα κρίσιν, χείρω τῶν προτέρων. τὸ δ᾽ ἐπὶ πόδας φέρεσθαι, καὶ τούτους δὲ ἔξω τῶν ἱματίων προβάλλειν, καὶ ταῦτα μὴ πάνυ τοι θερμοὺς φαινομένους, χεῖρόν τ᾽ ἂν εἴη καὶ ἔκλυσίν τε καὶ ἀδυναμίαν τοῦ κάμνοντος σημαίνει. σκοπεῖν δ᾽ ἔπειθ᾽ οὕτω προσήκει καὶ τὰ κατὰ τὸ πρόσωπον. ὀφθαλμοὶ γὰρ κοῖλοι, κρόταφοι συμπεπτωκότες, ῥὶς ὀξεῖα, καρφαλέον μέτωπον, ἢν μὴ καλῶς ἀκούῃ ἢ ἐνορώῃ, καὶ ἢν οἱ λωβοὶ τῶν ὤτων ὦσι συνεσταλμένοι, καὶ ἢν οἱ ὀφθαλμοὶ δακρύωσιν ἀκουσίως, καὶ ἡ γλῶττα δὲ βραδέως στρέφηται καὶ προσπταίῃ, καὶ ἢ ἀλλοφρονέῃ ὁ κάμνων, καὶ ἢν κωματώδης ἢ ἄγρυπνος ᾖ, καὶ ἢν αἱμωποὶ οἱ ὀφθαλμοί, καὶ ἢν ἀστατῶσι καὶ κραδαίνωνται, ἢ ἐπὶ τοῦ αὐτοῦ ἵστανται, καὶ ἢν μύοντες μὴ πάντη συμφύωνται, φαίνωνται δὲ σφίσι τὰ λευκά, μὴ διὰ πλείω τῆς γαστρὸς φοράν, καὶ ἢν στένωσι, καὶ ταῦτα μηδεμιᾶς οὔσης ἐγνωσμένης ὀδύνης, καὶ ἢν ὀξύτερον φθέγγωνται

καὶ κλαγγῶδες, καὶ ἢν ἡ ὀφρὺς ἀνέσπασται ἢ κεχάλασται, καὶ ἢν κεχηνότες καθεύδωσιν, ἢ πρίζωσι τοὺς ὀδόντας, καὶ ἢν ἐπηρμένα ἔχωσι καὶ σκληρὰ τὰ ὑποχόνδρια καὶ οὐχὶ τὴν ἐπαφὴν ῥᾳδίως φέροντα τῶν δακτύλων. ταῦτα γὰρ καὶ τὰ τοιαῦτα, χείριστα τοῖς νοσοῦσιν ἐπιφαινόμενα, καὶ μάλιστα ἢν μὴ διὰ προσδοκωμένην κρίσιν τοιαῦτά τινα γένηται, ἢ διά τινα ἐπισυμβᾶσαν ὑπόγυον πλημμέλειαν, ἥτις μεθ᾽ ἡμέραν πάντων τῶν τοιούτων πονηρῶν σημείων ἀνίησιν, ἢ μὴ μεγίστη εἴη πλημμέλεια· καὶ ἀλλήλων μὲν ταῦτα διαλλάττῃ ἐπὶ πονηρίᾳ. πάντα δὲ φαῦλα. εἰκὸς μὲν γὰρ ἓν χείριστον πολλῶν ἧττον φαύλων, πλέον δύνασθαι, ὥσπερ καὶ ἕν που ἢ δύο ἀγαθὰ ἐπιφαινόμενα πολλῶν κακῶν, εἰ καὶ παραλύειν τὴν δύναμιν. οἶσθα δὲ πάντως τῇ παραθέσει τῶν φαύλων, οἷα τἀγαθὰ νομίζεται κρίνειν. ὕπνοι γὰρ σύμμετροι καὶ κατακλίσεις συνήθεις, καὶ σφυγμοὶ σύμμετροι ἢ τούτων ἐγγύς, μηδεμίαν τινὰ ἀνωμαλίαν ἢ σκληρότητα ἢ διαλείμματά τινα ἔχοντες, εἴτε τι τῶν λοιπῶν φαύλων· κἂν τι δέ γε ᾖ, τοῖς πλείοσι τῶν ἀγαθῶν ἐκνικώμενον, ἔτι τε οὖρα πέψεως σημεῖα ἔχοντα, καὶ παραπλήσια διαχωρήματα, εὔπνοιά τε καὶ μάλιστα ἐν τοῖς περὶ τὸν θώρακα πάθεσι, καὶ τὰ κατὰ τὸν ἐγκέφαλον μὴ παρακεκινημένα. ταῦτα γὰρ καὶ τὰ τοιαῦτα, πολλά γε δύνασθαι ἐν τοῖς κάμνουσι πέφυκεν, ὥσθ᾽ ὁπόταν ὦσι πέψεις τινὲς ἡγησάμεναι, καὶ λοιπή τις εὐφορία περὶ τὸν κάμνοντα, αἴφνης δ᾽ ἐπιστῇ ῥῖγος καὶ πυρετὸς ἐξαίσιος, καὶ παραφροσύνη δ᾽ ἔσθ᾽ ὅτε καὶ λειποψυχίαι καὶ ῥιπτασμοὶ καὶ δυσφορίαι ποικίλαι, οὐ πάνυ τοι δεῖ φοβεῖσθαι. οὐ γὰρ τῆς κακοηθείας τοσοῦτο ταῦτα, ὅσον τῆς ὅσον οὔπω ἐσομένης κρίσεως τοῦ νοσήματος. ἤδη γὰρ τῶν λυπούντων χυμῶν ἡ δύναμις κατισχύσασα, καὶ τούτοις ἐπιθεῖσα πέψιν προσήκουσαν, φθάνει πᾶν ὅ,τι ἄχρηστον αὐτῶν ἀποκρίνουσα. ἀμέλει ἱδρῶσί τε καὶ αἱμορραγίαις, ἐμέτοις τε καὶ γαστρὸς κενώσεσι, καὶ τοῖς τοιούτοις ἐπιφανεῖσι, μετ᾽ οὐ πολὺ τὴν ὑγείαν τῷ ἀνθρώπῳ ἡ φύσις ἀποκαθίστησι, καὶ ταῦτα μὲν ἐν ταῖς τελείαις γίνεται κρίσεσι. προσημαίνεται δὲ ἐν ταῖς ἐπιδήλοις, ὅτι προὔργου τῇ φύσει δρᾶσαι ἐν ταῖς ῥηταῖς κρίσεσι, τοῦτο

*τῇ πρὸ ταύτης ἐπιδήλῳ προανακρούεται. ἀμέλει, ἢ βραχεῖς ἱδρῶτες ἢ στάξεις ἀπὸ ῥινὸς αἵματος, ἢ βραχέα πεπεμμένα πτύσματα ἀνάγονται, καὶ ἢ μικρὸν ἢ μεῖζόν τι προεπιφαίνεται, εἰ μή πού γε τῆς μὲν ὕλης ὀργώσης, τοῦ κάμνοντος δ᾿ ἰσχύοντος φθάσῃ τὰς προεπισημασίας ἡ κρίσις, ὥσπερ ἐν ἄλλοις διὰ τἀναντία κατὰ βραχὺ πέττεταί τε καὶ ἀποκρίνεται τὸ λυποῦν, ἐν συχναῖς περιόδοις κρίσεων. οἷς δ᾿ οὐθ᾿ ἡ φύσις διεγείρηται πρὸς ἔκκρισιν τῶν λυπούντων, πολλαὶ δὲ ἀπεψίαι τῶν βαρυνόντων χυμῶν, καὶ ὁ ζωτικὸς τόνος ἀνίεται, τί χρὴ προσδοκᾶν ἢ τὰ χείριστα; τὰ πλείω γὰρ ὧδε παρακολουθεῖ τῶν φαύλων σημείων, κἄν τι τύχῃ ἀποκριθὲν ἐν οὕτω καταστάσεως ἔχοντι νοσήματι, τὸ πλέον ἀκράτειά τε καὶ ἀδυναμία τῆς καθεκτικῆς δυνάμεως γίνεται, καὶ ἔνωμα καὶ πονηρὰ τὰ ἐκκρινόμενα ὧδε φαίνεται. ἐπεὶ τοίνυν ἔγνως, ποῖα μὲν σημεῖα πέψεως, ποῖα δ᾿ ἀπεψίας, καὶ πῶς ἔστι τὴν φυσικὴν ἡμῶν εἰδέναι δύναμιν, ἔγνως δὲ ποῖα φαῦλά τε καὶ μὴ σημεῖα, προσήκει τὰ κατὰ μέρος σκεπτόμενόν σε, εἶθ᾿ οὕτως τὰς ἀποφάσεις ποιεῖσθαι. καὶ ἐπὶ στομάχου μὲν καὶ γαστρὸς καὶ τῶν μετ᾿ αὐτὴν ἐντέρων, τά τ᾿ ἐμούμενα καὶ τὰ διαχωρούμενα σκοπεῖν δεῖ πρῶτον, εἶθ᾿ οὕτως καὶ ἀφ᾿ ἑτέρων ἐπισημειοῦσθαι. ἐπὶ δὲ τῶν τοῦ θώρακός τε καὶ πνεύμονος παθῶν, τὴν ἀναπνοὴν καὶ τὰ διὰ βηχὸς ἀναγόμενα ὁρᾶν προσήκει, καὶ τὰς κατ᾿ αὐτὰ πέψεις, εἶθ᾿ οὕτως καὶ ἀπὸ τῶν ἄλλων συντεκμαίρεσθαι, ὥσπερ καὶ τὰ κατὰ τὸν ἐγκέφαλον, αἵ θ᾿ ὁμιλίαι καὶ ὕπνοι καὶ αἱ ἐγρηγόρσεις, ἄμετρα γινόμενα, ἀναισθησίαι τε καὶ δυσαισθησίαι καὶ ὅ,τι ἕτερον διασημαίνει τὴν κατὰ τὸν ἐγκέφαλον διάθεσιν. τῶν δ᾿ ἐν ταῖς φλεψὶν ἀκμαζόντων χυμῶν, τὰ οὖρα πρῶτα γνωρίσματα. εἰ γὰρ πρώτως μὲν ἀπὸ τῶν οἰκείων κρίνοις γνωρισμάτων ἐφ᾿ ἑκάστῳ τῶν πεπονθότων μερῶν, εἶθ᾿ οὕτως καὶ τὰς ἀπὸ τῶν λοιπῶν μορίων συμπαθείας ἐξετάζοις, πρὸ πάντων δὲ καὶ τὰ τοῦ ζωτικοῦ τόνου σκοποίης μέτρα, ὡς πάντων τῶν παθῶν ἐκεῖ συναπαρτιζομένων, κἀκεῖθεν τὰς σωτηρίας καὶ ἀπαγορείας λαμβανόντων, ὡς ἀπό τινος ἀποφαινομένου κριτοῦ, ὡς νικώσης ἢ νικωμένης δηλαδὴ τῆς ζωτικῆς δυνάμεως βραχύ τι*

ἢ οὐδέν σε διαφεύξεται τῶν εἰς διάγνωσίν τε καὶ πρόγνωσιν ἡκόντων τῶν συνεχόντων παθημάτων, ὅπου δῆτα καὶ λήξουσιν.

### γ'. Περὶ διαγνώσεως κρισίμων ἡμερῶν.

Ἐπεὶ δὲ τῷ περὶ κρίσεως λόγῳ καὶ ὁ περὶ κρισίμων ἡμερῶν ἕπεται, φέρε καὶ περὶ τούτων εἴπωμεν διὰ βραχέων τὰ δέοντα, ὡς ἂν μηδὲ κατὰ τοῦτο τὸ μέρος λείπηται ἡ ὑπόθεσις. Ὅτι μὲν γὰρ ἐν ῥηταῖς τισιν ἡμέραις αἱ κρίσεις πεφύκασι γίνεσθαι, οὐχὶ ταῖς αὐταῖς δ' ἅπασαι, οὐδὲ τὰ αὐτὰ αἱ πᾶσαι τῶν κρισίμων ἡμερῶν δύνανται, παντί που δῆλον, αὐταῖς αἰσθήσεσιν ἑκάστοτε γνωριζόμεναι. δι' ὁποίας δὲ ταῦτ' αἰτίας οὕτω γινόμενα φαίνεται, νυνὶ ἐροῦμεν, καὶ μάλα γε πεπεισμένοι τοῖς τῶν συμπαθειῶν λόγοις τῶν οὐρανίων τούτων σωμάτων, καὶ ταῖς φυσικαῖς αὐτῶν καὶ ἀεικινήτοις φοραῖς, καὶ τοῖς πρὸς ἄλληλα αὐτῶν σχηματισμοῖς, καὶ ταῖς ἑκάστων αὐτῶν ἰδιότησι, τὰ μέγιστα τὸν περίγειον τοῦτον ἀέρα καὶ τὰ ἐν αὐτῷ ἀλλοιούντων σώματα, καθ' οὓς λόγους ἐκ πρώτης καταβολῆς ὁ δημιουργὸς λόγος ταῦτ' ἐνηρμόσατο.

Ἄλλο μὲν γὰρ ἄλλου μᾶλλον καὶ κατ' ἀλλοίας μεταβολὰς ἀλλοιοῦν πέφυκε· πάντα δὲ κατὰ τὴν ἐνοῦσαν αὐτοῖς δύναμιν, ἀλλοιοῖ καὶ μετασκευάζει, ὄργανα θείας προνοίας τυγχάνοντα· καὶ κατὰ τοὺς ἅπαξ αὐτοῖς δοθέντας λόγους, πάντα τὰ καθ' ἡμᾶς σώματα μετακεραννύει τε καὶ μεταβάλλει, ἐκδηλοτέρας δὲ εἰς αἴσθησιν τὰς σφῶν αὐτῶν ἐνεργείας εἰς ἡμᾶς δείκνυσιν ὅ,τε ἥλιος καὶ ἡ σελήνη· ὁ μὲν γὰρ τάσδ' ὥρας καὶ τὰ ἐν ταῖς ὥραις διαπλάττει, νῦν μὲν ψῦχος ποιῶν, καὶ πυκνότητας ἐντεῦθεν τῶν καθ' ἡμᾶς σωμάτων, ὥστ' ἐν μὲν ἀέρι ὄμβρους καὶ νιφετοὺς καὶ ὅσα περὶ τὸν ἀέρα τελεσιουργεῖται, φαίνεται ποιῶν· ἐν μὲν ζώοις καὶ φυτοῖς παλινόρμητον τὸ φυσικὸν καὶ ζωογόνον θερμόν, ὡς στομωθείη τε καὶ κατεργάσαιτο τοὺς ἐντὸς χυμούς, καὶ εἰς θρέψιν μετ' οὐ πολὺ παρασκευάσει ἐπιτηδείους. νῦν δὲ πρὸς ἡμᾶς ἀναβαίνων καὶ τὸ συνεστὼς κατὰ τὸν ἀέρα ἀνιεὶς κρυμῶδες, ἀναπεταννὺς δὲ καὶ τοὺς φθάσαντας τῷ ψύχει καταπυ-

κνωθῆναι τῶν πόρων, τὰς τῶν φυτῶν μὲν βλάστας παρασκευάζει, πρὸς ἑαυτὸν ἐφελκόμενος τὴν παγεῖσαν ἰκμάδα, ἧς μὴ συνεχώρει πρότερον τὴν βλάστην τῇ ἀπωθήσει ἐπὶ τὰ βάθη τοῦ ζωογόνου θερμοῦ. ἡμῶν δὲ πᾶν τὸ περὶ τὸ βάθος αὐτῷ οἰκεῖον καὶ συγγενὲς θερμὸν εἰς τὴν ἐπιφάνειαν. πολλὰ δὲ καὶ ποικίλα διὰ τὴν τοιαύτην τοῦ θερμοῦ ῥοπὴν τῆς ἐγκαθημένης ἔτι ὕλης, ὧδ' ἀναφαίνεσθαι παρασκευάζει εἴδη, κατὰ τὴν τοῦ παντὸς ἐπιφάνειαν σώματος· ἐξανθήματα δὲ ἄρα ταῦτα παντοῖα καὶ ἵδρωα, καὶ αὐτοὶ δὲ οἱ συνήθως γινόμενοι ἱδρῶτες· ἤδη δὲ σφοδρυνομένου τοῦ ἡλιακοῦ θερμοῦ, ζέσις μὲν ἐν τοῖς ἐν ἡμῖν χυμοῖς, καὶ τῶν ἤδη ῥηθέντων ἐπίτασις γίνεται. αὐχμὸς δὲ τὸν ἐπιλιμνάζοντα τοῦτον ἀέρα ἐξικμάζει, πέπανσις δὲ τοῖς ὡραίοις ὡραία, πῇ μὲν πεπαινομένης, πῇ δ' ἐκβοσκομένης τῆς περιττῆς ὑγρότητος· φθάνοντος δ' ὑποστρέφειν ἤδη ἀπὸ τῆς καθ' ἡμᾶς οἰκήσεως τοῦ ἡλίου, καὶ βορρᾶν καταβαίνοντος, αὐχμηρά πως καὶ διατεθερμασμένα ἔτι λείπεται ἡμῶν τὰ σώματα. τῆς ὥρας δ' ὑποτρεχούσης, καὶ νότου ἀναβαίνοντος, καὶ αὐξανομένου τοῦ ψύχους, ἤδη φθάνουσιν οἱ πόροι συμμύοντες, καὶ τὸ λεῖπον τοῦ θερμοῦ ἐναπολαμβάνοντες, ῥοπὴν λαβὸν τὴν ἐπὶ τὸ θύραθεν, τά τε φυτὰ παραπλήσια πάσχει καὶ φυλλορροεῖ ἐντεῦθεν, ὥσπερ αὖ γεγονότα τῷ ἐξικμασθῆναι τὸ πολὺ τῆς ἐν αὐτοῖς ὑγρότητος, καὶ πρὸς ἑαυτὰ λοιπὸν συνέχεται, καὶ τὸ λειπόμενον τῆς φυσικῆς δυνάμεως αὖθις ἀναλαμβάνει καὶ ἀναζωπυρεῖ, καὶ ἑτέραν αὖθις ἀποθησαυρίζει τῆς γῆς ἰκμάδα καὶ τὴν ἐς νέωτα ἀναμένει ἀλέαν. πάλαι δ' ἂν ἀπεμαραίνετο ἥ,τε τῶν ζώων καὶ τῶν φυτῶν οὐσία, εἰ μὴ τὰς θαυμασίας ταύτας τῶν ὡρῶν μεταβολὰς ὁ ἥλιος ἐπεποίητο· νῦν δὲ ἄλλα ἄλλοις προκατασκευάζων καὶ διοικῶν, ὄργανον οἷον τῷ δημιουργῷ γενέσεως τε καὶ φθορᾶς ἐτελέσθη. ἐῶ δὲ τὰς κατὰ μέρος αὐτοῦ λέγειν ἐνεργείας, ἐπεὶ μηδὲ τοῦθ' ἡμῖν πρόθεσις. πλέα μὲν γὰρ γῆ, πλέα δὲ θάλασσα τῶν ἐξ αὐτοῦ δυνάμεων· τοιοῦτο θαυμαστὸν ὁ ἥλιος ὄργανον ἐπὶ τοῖς μεταβαλλομένοις τούτοις σώμασι τῷ δημιουργῷ κατεσκευάσθη.

Καὶ ταῖς αὐξομειώσεσι δὲ ἡ σελήνη, τὰς τῶν ὡρῶν ἀπομιμεῖται μεταβολάς, καὶ μέχρι μὲν διχοτόμου ἀπὸ συνόδου, τὴν ἐαρινὴν ἀποδεικνύει ὥραν. ἀπὸ δὲ ταύτης ἐπὶ πανσέληνον ἰοῦσα, τὴν τῆς θερινῆς ὑποσημαίνει ὥρας κατάστασιν· τῇ δ' αὖ μετ' αὐτὴν δευτέρᾳ διχοτόμῳ, τὴν φθινοπωρινὴν ἀπομιμεῖται ὥραν, ὥσπερ κατὰ τὴν ὑστάτην αὐτῆς ἑβδομάδα, χειμῶνος ὥρᾳ παρείκασται. κἂν γὰρ ταῖς πάντων ταῦτα αἰσθήσεσιν ἀριδήλως οὐ καταλαμβάνονται, οὐκ ἀναιρεῖ τοῦτον τὸν λόγον. τίς γὰρ ἂν εἴη ἰσχὺς σελήνης, ἀπαμβλῦναι τὴν ἀπὸ τοῦ ἡλίου ῥοπήν, ὡς ἤδη δῆλον εἶναι πάσαις αἰσθήσεσι καὶ μάλιστα ἣν τὰς ἀντικειμένας ὥρας κατασκευάζωσι τὰ φῶτα. ἐπί γε μὴν τῶν εὐπαθεστέρων, καὶ οἷς μικρά τις ἐπιτεθεῖσα ῥοπὴ μεγάλα δύναται, ὧδε καὶ αἱ ἀπ' αὐτῶν αἰσθήσει καταλαμβάνονται ἀλλοιώσεις· καὶ οὕτω μὲν διὰ βραχέος αὕτη τὸν ζωδιακὸν διερχομένη κύκλον, — ἐγγὺς γὰρ τέτταρες ἑβδομάδες ἡμερῶν μέρους τινὸς λείποντος ἀναμετροῦνται τῇ ἀπὸ τοῦ αὐτοῦ ἐπὶ τὸ αὐτὸ ταύτης ἀποκαταστάσει πάσθ' ὥρας ὑπογράφει καὶ πολλά τινα θαύματος ἄξια ταῖς περιόδοις αὐτῆς, ἐν τοῖς καθ' ἡμᾶς τούτοις καὶ τρεπτοῖς συνδιατίθησι σώμασι. τῷ τε γὰρ προσγειοτέραν τῶν ἄλλων εἶναι καὶ τῷ μεγάλας κατ' αὐτὴν ὑφίστασθαι μεταβολάς, ἐν ταῖς αὐξομειώσεσι καὶ ῥᾳδίως τὰ καθ' ἡμᾶς συμμεταβάλλεται σώματα, ἀλλ' ὅπως μὲν αὐτή τε καὶ οἱ λοιποὶ τῶν ἀπλανῶν τε καὶ πλανητῶν· κατὰ τὰς σφῶν αὐτῶν δυνάμεις καὶ περιόδους, φάσεις τε καὶ κρύψεις, φυσικοῖς τισι λόγοις, οὓς ἀπὸ τοῦ δημιουργοῦ εἰλήχασιν, ἐν τοῖς ἀστάτοις τούτοις καὶ μεταρρέουσιν ἐνεργοῦσι σώμασιν, ἄλλης τοῦτο σκέψεως, καὶ ἡμῖν οὐ πρόθεσις ταῦτα διεξιέναι τῷ λόγῳ. νυνὶ δὲ περὶ κρισίμων ἡμερῶν εἰπεῖν προτεθυμημένοις, περὶ τούτου δὴ καὶ ῥητέον, ἀπ' αὐτῶν δὴ τῶν τῆς σελήνης περιόδων εἰληφόσι τὰς ἀφορμάς. τεττάρων οὖν ὡς εἴρηται τῶν μεγίστων μεταβολῶν ἐν τῷ τῆς σελήνης γινομένων σώματι, ὡς καθ' ἑβδομάδα ἑκάστης αὐτῶν μετρουμένης, βραχέος τινὸς μορίου λείποντος, τετραγωνικὴν δ' ἑκάστης ἑβδομάδος περιεχούσης πλευράν, εἰκὸς τόν τε τοιοῦτον σχηματισμὸν ἔχειν τινὰ δύναμιν, καὶ τὸν

ἐπ' αὐτῷ δὲ οὐχ ἥκιστα μετρούμενον ἑβδοματικὸν ἀριθμόν. κατὰ τοῦτον γὰρ τὸν σχηματισμὸν ὁρῶμεν καὶ τὸν ἥλιον τὰς μεταβολὰς τῶν ὡρῶν ποιούμενον. εἰ τοίνυν τοσοῦτο τετραγωνισμὸς ἀστέρων δύναται, ἑβδομὰς δ' ἡμερῶν βραχέος τινὸς λείποντος ἀριθμοῦ, τῇ μιᾷ τῶν πλευρῶν ἀναμετρεῖται, εἰκὸς ἂν εἴη ἔχειν τὸν ἑβδοματικὸν τοῦτον ἀριθμὸν μεγίστην τινὰ δύναμιν ἐν τοῖς μεταβαλλομένοις σώμασι τούτοις, καὶ μάλιστα ἢν ταλαντευόμενα καὶ ζυγοστατούμενα τύχῃ μεγίσταις τισὶ κινήσεσι. τότε γὰρ καὶ αἱ ἐκεῖθεν ῥοπαὶ τὰ μέγιστα πεφύκασι συμμεταβάλλεσθαι. ἐπεὶ δὲ τὰς ἑκάστων ἐν τοῖς γινομένοις ἀποβάσεις κινουμένων, ὁποῖαι ἂν καὶ ἀποβαῖεν, ἀγνοοῦμεν κατὰ τὰς ἀρχὰς τὸ πλέον, μεσοῦντος δ' ἤδη τοῦ κατ' αὐτὰς χρόνου, οὐκ ὀλίγα προεξορμᾷ τῆς ἀποβάσεως τεκμήρια, ἐξευρίσκομεν δὲ αὐτίκα συμπαθοῦσαν τὴν μεσότητα ταῖς αἰτίαις τοῦ ἀποβάματος, ὡς ἐντεῦθεν δηλονότι προαναφωνεῖσθαι οἷόν τε, καὶ προεξάλλεσθαι ὅπως δήποτε τὰς ἀποβάσεις τῶν κινουμένων, εἶεν καὶ αἱ μεσότητες τῶν ἑβδομάδων, τὰ δεύτερα μεθ' ἑβδομάδας δυνάμεναι, ποτὲ μὲν τελείως καὶ καθ' αὐτὰς κρίνουσαι, ποτὲ δ' αὖ προδηλοῦσαι τῶν μετ' αὐτὰς ἑβδομάδων τὰς κρίσεις, οὐχ οὕτω δηλαδὴ καὶ τῶν καθ' ἑβδομάδας ἀπαντουσῶν κρίσεων, ἀεὶ δὲ τελείων γινομένων, εἰ μή τι βραχύ τι λείψανον περιλειφθὲν δι' ὁποίας δήτινος αἰτίας τῆς τελείας κρίσεως, τῇ μετ' αὐτὴν κρισίμῳ ἀποδοθείη. ταῦτ' ἄρα, τετάρτην μὲν πρώτην, ἢ κρίνειν ἢ ἐπίδηλον τῆς μετ' αὐτὴν ἑβδόμης εἶναί φαμεν, εἶτα μετ' αὐτήν, τελείως τὴν ἑβδόμην εἶναι κρίνειν. εἶθ' οὕτως ἑνδεκάτην, τεσσαρεσκαιδεκάτην δὲ μετ' αὐτήν, εἶθ' ἑπτακαιδεκάτην, κἄπειθ' οὕτως εἰκοστήν, καὶ εἰκοστὴν τετάρτην μετ' αὐτήν, ὑστάτην δὲ τὴν εἰκοστὴν ἑβδόμην, τετάρτης ἀεὶ διαδεχομένης τὴν ἑβδόμην· ἐπεὶ δὲ σύ τε καί τινες τῶν μετὰ σὲ ἐπαπορήσαιεν, πῶς ποτε τὰς μὲν προτέρας ἑβδομάδας καὶ τετράδας ἐν τελείαις ἀπέδομεν ἡμέραις, τὰς δὲ μετ' αὐτὰς ἐν ἀτελείοις, καὶ τοῦτ' ἂν εἰκότως ἐπιλύσαιμεν, ὡς μὴ δοκῶμεν ἀπροόπτως τὰς κρισίμους καταριθμοῦντες ἡμέρας.

Ὅτι μὲν οὖν ἑβδόμη καὶ τεσσαρεσκαιδεκάτη, εἰκοστή τε καὶ εἰκοστοεβδόμη ὁσημέραι φαίνονται κρίνουσαι, ἐναργῶς ἐστι καὶ ἀπὸ τῶν καμνόντων μαθεῖν· ὅτι δ' ἐνίοτε καὶ ἡ εἰκοστὴ πρώτη κρίνει, οὐδὲ τοῦτο λέληθε τοὺς ἀκριβῶς προσέχοντας. ἡ δ' αἰτία ἐκ τοῦ προσεχοῦς ἀναφαίνεται. ἐπεὶ γὰρ ὡς εἴρηται ἐν ἑπτὰ καὶ εἴκοσιν ἡμέραις καί τινι μορίῳ ἡμέρας, ὁ ἀποκαταστατικὸς τῆς σελήνης χρόνος ἀπὸ τοῦ αὐτοῦ ἐπὶ τὸ αὐτὸ φαίνεται, βραχέος δέ τινος δεῖ ἐς ἀπαρίθμησιν ἑκάστης τελείας ἑβδομάδος, τέσσαρσιν ἑβδομάσιν μεριζομένου τοῦ ἀριθμοῦ ἐν μὲν τῇ πρώτῃ ἑβδομάδι, βραχέος τινὸς ὄντος τοῦ λείποντος, οὔθ' ἡ τετάρτη, οὔθ' ἡ ἑβδομὰς κωλύεται. ἐν δέ γε τῇ δευτέρᾳ ἑβδομάδι, πλείονος μὲν ἢ κατὰ τὴν πρώτην ἑβδομάδα ὄντος τοῦ λείποντος, οὐκέτι δ' οἷόν τε ὄντος ὁλόκληρον ἀφελέσθαι ἡμέραν, κατὰ τὴν πρώτην καὶ αὐτὴ μετρία κατετηρήθη· ἤδη δ' ἐκδήλου ὄντος τοῦ λείποντος, κολούεται ἡ τρίτη ἑβδομὰς εἰς τὴν εἰκοστὴν ἀποπεραιουμένης, οὐκέτι δ' ἡ ὀκτωκαιδεκάτη, ἀλλ' ἡ πρὸ αὐτῆς τῆς τρίτης ἑβδομάδος τετάρτη ἐπιλογίζεται, αὐτὴν δὴ τὴν τεσσαρεσκαιδεκάτην ἀρχὴν ἔχουσα, ὅτι κἀκείνη ἐδόκει ἀριδηλότερον τῆς πρὸ αὐτῆς ἑβδομάδος λείπεσθαι. ὅτι δ' ἡ τρίτη ἑβδομὰς καί τι μόριον ἐπιλαμβάνει τῆς εἰκοστῆς πρώτης, διὰ τοῦτο καὶ αὐτὴ ἐνίοτε τὸ κρίνειν πιστῶς πιστεύεται. ἐφεξῆς δὲ μετ' αὐτὰς κρίνειν πιστεύονται τριακοστὴ πρώτη, εἶτα λδ', καὶ μετ' αὐτὰς ἡ τεσσαρακοστή, δευτέρα οὖσα εἰκοντα. αἱ αὐταὶ γὰρ τῶν περιοδικῶν κρίσεων ἀπὸ εἰκοστῆς μέχρι τῶν μ', οἷαί περ καὶ αἱ ἀπὸ πρώτης μέχρι εἰκοστῆς. καὶ δῆτα μέχρι μὲν τεσσαράκοντα τὸ μακρότατον, τῶν ὀξέων νοσημάτων αἱ κρίσεις γίνονται. τὰ μετ' αὐτὴν δὲ ἤδη χρόνια ἄρχονται λέγεσθαι, καὶ οὐκέτι καθ' ἑβδομάδας, ἀλλὰ κατὰ εἰκάδας, καὶ τεσσαρακοντάδας αἱ κρίσεις γίνονται. μετὰ γὰρ τὴν τεσσαρακοστήν, ἡ ἑξηκοστή, εἶτα ἡ ὀγδοηκοστή, εἶτα ἑκατοστὴ εἰκοστή, καὶ μετ' αὐτὰς ἑκατοστὴ ὀγδοηκοστή. ἢ γὰρ ἐν ταῖς μεταβολαῖς ἑκάστης τῶν ὡρῶν ταῦτα λύεται, ἢ ἐν ταῖς μεταθέσεσιν, ἢ τό γε ὕστατον, ἐν ταῖς εἰς τὰς ἀντικειμένας μεταπτώσεσιν, ἢ κατὰ τὴν εἰς τὸ αὐτὸ τοῦ χρόνου περίοδον. τὰ

μετὰ τοῦτο δέ, καὶ κατὰ τὰς μεθηλικιώσεις κρίνονται, ἀνίατα δ' ὅσα καὶ ταύτας διαπέφευγεν, ἀπειρηκυίας ἤδη τῆς ἀπὸ τῶν καιρῶν καὶ χρόνων μεταβολῆς προσδοκωμένης βοηθείας τἀνθρώπῳ. ἐπεὶ δ' ἔφθημέν τινας ἑκόντας καταλιπεῖν τῶν ἐνίοτε κρινουσῶν ἡμερῶν, ἀποδοτέον κἀκείναις τὸν λόγον, ὡς κατὰ μηδὲν ἐλλείποντες ὦμεν.

Τρίτη τοίνυν καὶ πέμπτη, ἔτι τε ἕκτη καὶ ἐνάτη φαίνονται πρὸς ταῖς ἀνωτέρω ῥηθείσαις κρίνουσαι, τρίτη μὲν καὶ πέμπτη, μὴ συνεγγίζουσαι τῇ κατὰ τὴν τετραγωνικὴν πλευρὰν ἀριθμουμένῃ ἑβδομάδι, τὰς τῆς ἥττονός τε τῇ δυνάμει καὶ πρώτως συμπαθούσης τῆς τελείας κρινούσης τετράδος ἀποκαταστατικὰς ἐνεργείας ἐν τοῖς χυμοῖς, ἡ μὲν προεξορμῶσα, ἡ δὲ διαδεχομένη κρίνουσιν, ὥσπερ παραλαβοῦσαι τῇ ἐγγύτητι τὸ δύνασθαι. ταῦτά τοι, οὐδὲ φαύλας τὰς τοιαύτας φαμὲν κρίσεις, τὸ πλέον ἀγαθὰ τέλη ἐπιφερούσας. εἰ δ' ὅτι καὶ κατὰ μὲν τὴν τρίτην ἤδη τὸ σεληναῖον καταυγάζει φῶς, ἐντὸς δὲ τῆς πέμπτης ἡ ἑξαγωνικὴ πλευρὰ θεωρεῖται, δέδεικται δὲ καὶ ταῦτα δύναμιν ἀξιόλογον ἔχοντα, μᾶλλον ἂν ἔχοιεν τὸ ἀξιόπιστον κρίνειν, τῶν ἡμερῶν αἱ ῥηθεῖσαι. ἡ δὲ μετ' αὐτὰς ἕκτη πάντων ὧν ἴσμεν ἡ χειρίστη κρίνουσα, ἅτε προεξορμῶσα τῆς πασῶν δυναμικωτάτης ἡμέρας. εἰ γὰρ δὴ τὰς τετράδας διὰ τὴν πρὸς τὰς ἑβδομάδας συμπάθειαν ἰσχὺν ἔχειν κρίνειν φαμέν, ἦπου δυναμικώταται ἂν εἶεν αἱ ἑβδόμαι. προεξορμώσης δὲ τῆς ὕλης, τῆς κατὰ τὴν ἑβδόμην συμπαθητικῆς πρὸς τὸ πᾶν κρίσεως, εἰκότως ἂν φαῦλαί τε καὶ κακοήθεις καὶ μὴ τελείως κρίνουσαι ἀπαντήσωσιν αἱ κατὰ τὴν ἕκτην κρίσεις. ἀμέλει ἀεὶ κατὰ τὴν ἕκτην ἢ θάνατοι ἢ μακρονοσίαι ἢ τῶν αὐτῶν ὑποστροφαὶ γίνονται. ἐν αὐταῖς δὲ ταῖς κρίσεσιν, ἀναισθησίαι τε καὶ παραφροσύναι καὶ λειποψυχίαι καὶ πᾶν ὅ,τι χείριστον ἐν συμπτώμασι. ταῦτα δ' ἐνίοτε πονηρὰ οὕτως ἐσόμενα, οὐχ ἧττον τῶν ἐπὶ τῆς ἑβδόμης ἡ τετάρτη διασαφεῖ. ἥ γε μὴν ἐνάτη μετ' αὐτὰς κρίνουσα, καὶ τριγωνικὴν πλευρὰν ἀποσώζουσα, διὰ τοιαύτην ἂν μᾶλλον ῥηθείη δύναμιν τὰς κρίσεις πιστεύεσθαι, ἱκανοῦ καὶ τοῦ τοιούτου ὄντος σχήματος μεταβολὴν ἐνθεῖναι τοῖς κάμνουσι. καί γε ἴσασι περὶ σχη-

ματισμῶν δυνάμεως, οἷς μέτεστι μαθηματικῆς ἐπιστήμης. ὅπως δ᾽ ἐν μὲν τῇ πρώτῃ ἑβδομάδι πλείους αἱ κρίνουσαι, οὐχ οὕτω δ᾽ ἐν ταῖς ἐφεξῆς, οὐ δεῖ θαυμάζειν. οἵ τε γὰρ ἐντὸς ταύτης κρινόμενοι, πλέον ὀργῶντας τοὺς χυμοὺς ἔχουσι, καὶ ἡ δύναμις ὧδε ἔρρωται. αἱ μετ᾽ αὐτὴν δὲ καθόλου ἂν καὶ προβαῖεν, ἀνίενται τῆς σφοδροτέρας ὁρμῆς. καὶ τὰ μὲν ὀξύτατα πάνυ τῶν νοσημάτων μέχρι τετάρτης, ἢ τό γε δεύτερον, μέχρι ἑβδόμης κρίνεται. τὰ δ᾽ ἁπλῶς ὀξέα μέχρι ιδης ἢ εἰκοστῆς, ἃ δὲ μέχρι μης προβαίνει, τοῖς μετ᾽ αὐτὴν κρινομένοις ἀντεξεταζόμενα, λέγεται ὀξέα. πάντα γε μὴν ταῦτα ἐπιδήλοις ἐν κρίσεσι κρίνεται. μὴ γὰρ οὕτω λυόμενα, αὖθις ὑποστρέφει. κᾂν μὴ ἐν ταῖς κρινούσαις τὰ κρίσιμα γένωνται, οὐδὲν ἧττον ὑποστρέφουσι τἀρρωστήματα. ταῦτά τοι, μηδὲ προπετῶς τρέφειν, μὴ κατὰ λόγον γινομένων τῶν κρινομένων, ἀλλὰ τῶν τελείων κρίσεων καταστοχαζόμενον, τοὺς καιρούς, εἶθ᾽ οὕτως καὶ τὴν δίαιταν ἐξαλλάττειν· μὴ κρίνουσαι δὲ νομίζονται ἐντὸς τῆς κης α΄, β΄, η΄, ι΄, ιβ΄, ιγ΄, ιε΄, ιϛ΄, ιη΄, ιθ΄. αὗται γὰρ ἢ οὐδ᾽ ὅλως κρίνουσιν ἤ τι δοκοῦσιν κρίνειν, οὐ καθ᾽ αὑτάς, ἀλλ᾽ ἀπὸ τῶν πρὸ αὐτῶν ἢ μετ᾽ αὐτὰς κρινουσῶν. καὶ αὗται ῥοπὴν δεξάμεναι ἀπὸ τῶν γινομένων κρίσεων, δοκοῦσί τι τοῖς ἀφελεστέροις κρίνειν, αὐτῶν καθ᾽ αὑτὰς μήποτε κρινουσῶν. ἀλλ᾽ ὁ μὲν περὶ κρινουσῶν ἡμερῶν λόγος, ὡς ἐν βραχεῖ φάναι, τοιοῦτος. προσήκει δὲ σκεπτόμενον τὰς τῶν ἡμερῶν δυνάμεις καὶ τὰς τῶν χυμῶν πέψεις, ἔτι τε τὴν ῥώμην τοῦ κάμνοντος, καὶ τὰ συνεδρεύοντα συμπτώματα, ἔτι τε τὰς κινήσεις τἀρρωστήματος καὶ τὰς ἐπὶ ταῖς κινήσεσιν αὐτοῦ προγνώσεις ἐπάγειν. ἢν μὲν γὰρ ἐν τῇ πρώτῃ ἢ δευτέρᾳ σημεῖα πέψεως φαίνηται, ὀξέως μὲν κινουμένου τἀρρωστήματος, ἰσχύοντος δὲ τοῦ κάμνοντος, κατὰ τὴν τετάρτην προσδοκητέον τἀρρώστημα κρίνεσθαι, μήτε δὲ ὀξέως πάνυ τἀρρωστήματος κινουμένου, μήθ᾽ ὑπεικούσης τῆς δυνάμεως μέχρις ἑβδόμης ἀφίξεσθαι. τῆς τρίτης δὲ ἢ τετάρτης τὰ τῆς πέψεως ὑποδειξάσης, σὺν μὲν ἰσχυρᾷ δυνάμει μέχρις ἑβδόμης, σὺν δὲ μετριωτέρᾳ μέχρις ἑνδεκάτης καὶ τεσσαρεσκαιδεκάτης ἀφίξεσθαι. οὕτω δὲ προδιανοούμενος

τά τε μέτρα τῆς διαίτης ἐξευρήσεις, καὶ εἴτε ἰσχύσει, εἴτε καὶ προαπανδήσει τῆς νόσου ὁ κάμνων, εἴσῃ. εἰ γὰρ ἕκαστον αὐτῶν ἀκριβῶς μάθῃς διαγινώσκειν, καὶ τὴν διὰ πάντων αὐτῶν συναγομένην σοι πρόγνωσιν ἐκμαθήσῃ. καὶ ταῦτα μὲν ὧδέ πῃ καὶ ληγέτω, ἱκανῶς ῥηθέντα τοῖς τε βραχυλογεῖν ἐθέλουσι καὶ τοῖς ἀπὸ μετρίων πλείω καταλαμβάνουσιν.

Ἐπεὶ δὲ περὶ τῶν ἐντὸς παθῶν πρότερον ἔφθημεν εἰρηκότες, ὅσα δηλαδὴ κατά τε τὰ ὀργανικὰ καὶ ὁμοιομερῆ γίνεται, καὶ μέχρις αὐτῆς ἐπιφανείας ἔληξεν, ἱδρώτων τε καί τινων ἐξανθημάτων ἐπιμνησθεὶς ὁ λόγος, λείπεται ὥσπερ ἄλλην ὁδὸν ἀναλαβόντας ἡμᾶς, ὧδε περὶ τῶν ἐφεξῆς ἐρεῖν, ὅσα δηλαδὴ κατὰ τὴν ἐπιφάνειαν τοῦ σώματος γινόμενα φαίνεται, εἶθ᾽ οὕτως τῶν θεραπευτικῶν μεθόδων ἐφάψασθαι.

### δ. Περὶ διαγνώσεως τῶν κατὰ τὸ δέρμα παθῶν.

Ἐπεὶ δὲ τοῖς κατὰ τὴν ἐπιφάνειαν τοῦ σώματος γινομένοις, καὶ ὁ περὶ τῶν κατὰ τὰ αἰσθητήρια παθῶν λόγος συνεισάγεται, οὐδὲ γὰρ ἔφθημεν πρότερον περὶ τούτων διαλαβόντες, ἐνταῦθα καὶ τὰ κατ᾽ αὐτὰ πάθη ἀποταμιευόμενοι, μηδὲ τὸν περὶ τούτων λόγον λελεῖφθαι δίκαιον, ἀλλ᾽ ὥσπερ ἡ κεφαλὴ πάντων τῶν τοῦ σώματος μερῶν ὑπέρκειται, οὕτω δὴ καὶ τῶν κατ᾽ αὐτὴν γινομένων πρῶτον ἐπιμνησθῆναι παθῶν, ὅσα εἰς ὄψιν ἥκει. περὶ γὰρ τῶν ἐντὸς εἴρηται, εἶτα καὶ περὶ τῶν κατὰ τὰ λοιπὰ μέρη, ὑστάτως δὲ περὶ τῶν ἐπικοίνως γινομένων παθῶν τοῖς μέλεσι.

### ε. Περὶ πιτυριάσεως.

Πιτυρίασις οὖν καὶ φαλάκρωσις, ὀφίασίς τε καὶ ἀλωπεκία, πάθη μὲν κεφαλῆς, διάφορα δὲ ἐκ διαφόρων αἰτίων γινόμενα. καὶ ἡ μὲν πιτυρίασις κακοχυμίας τινὸς ἀνενεχθείσης καὶ διαφορηθείσης διὰ τοῦ τῆς κεφαλῆς δέρματος. ἴσασι δ᾽ ἄρα πάντες αὐτήν. κνηθομένων γὰρ τὴν κεφαλὴν ἀποπίπτει ὥσπερ τινὰ λεπτὰ πίτυρα, ἀφ᾽ ὧν δὴ καὶ τοὔνομα εἴληφεν. ἄμεινον γὰρ ταύτην φέρεσθαι ἢ

ἐπέχεσθαι. τὸ μὲν γὰρ ἀνακόπτει τὴν ἐπ' ἄλλα ῥοπὴν τῆς ὕλης· τὸ δ' αὖ, ῥαδίαν ἐπάγει τοῖς ὀφθαλμοῖς ἢ τοῖς ὀδοῦσιν ἢ τοῖς ὠσὶν ἢ τοῖς αὐτῶν οὖσιν ἔγγιστα βλάβην. Φαλάκρωσις δὲ γένοιτ' ἂν μέν ποτε καὶ δι' ὑγρότητα πλήθουσαν, οὐχ ἥκιστα δὲ καὶ διὰ σφοδρὰν ξηρότητα, καί γε αὐτὸς οἶσθα, ὡς οὔτ' ἐν τοῖς τέλμασι βοτάναι φύονται, οὔτ' ἐν ἀμμώδεσί τε καὶ ἀποξήροις χωρίοις. ἣν οὖν ἐκείνους αἰτίαν οἴει, κἀνταῦθα μετάγαγε. μᾶλλον δὲ ἐπὶ μιᾷ λύσει καὶ ἀμφοτέρων τὰς ἀπορίας μάνθανε. οὔτε τοίνυν ὑγρὰ οὐσία πάνυ ἐπικρατήσασα δυνηθείη ἂν φῦσαι καὶ θρέψαι τὰ μετ' οὐ πολὺ αὖ γενησόμενα, οὔτ' αὖ ξηρότης ἐπιταθεῖσα, γῆς τὰ ἐπαυξηθησόμενα, ἀλλ' ἡ ἐξ ἀμφοῖν συμμετρία. ὑγρότητι μὲν γὰρ πρόσφυσις καὶ πρόσθεσις τοῖς τρεφομένοις ἐγγίνεται. ξηρότης δὲ σύστασίν τε καὶ στεγανότητα, καὶ τὸ μὴ ῥαδίως διαρρεῖν ποιεῖ τὰ τρεφόμενα. ἀμέλει κἀνταῦθα τῆς μὲν ὑγρότητος διαβρεχούσης τὰς τῶν τριχῶν ῥίζας, αἵ τ' οὖσαι ῥέουσι, μὴ τὸ συνιστᾶν ἐχούσης ἀπὸ τῆς ξηρότητος, τῆς πολλῆς ὑγρότητος, καὶ ἕτεραι οὐκ ἀναφύονται, ὑπὸ συμμετρίας ἀτμῶν τῶν τριχῶν γινομένων· τῆς δέ γε ξηρότητος αὖθις ἐπικρατούσης, οὔθ' ὅθεν ἔχουσι τραφήσονται καὶ ἐπαυξήσουσιν ἰοῦσαι, οὔτ' αὖ τῶν ῥεουσῶν ἔστιν ἑτέρας φυῆναι, ἐπιλειπούσης τῆς ἐνταῦθα ἀτμώδους ὑγρότητος, καὶ ἄλλως ὑπὸ ξηρότητος οἱ πόροι συμμύουσιν. ἑτέρα δὲ ὑγρότης ποικίλη τε καὶ διεφθορυῖα, τήν τε ὀφίασιν καὶ τὴν ἀλωπεκίαν ἐναπεργάζεται, τὰς ῥίζας διαβιβρώσκουσα τῶν τριχῶν, καὶ ταύτας ἐκβοσκομένη οὐχ ὁμαλῶς. καὶ ἡ μὲν ὀφίασις καὶ ἀπὸ τοῦ γινομένου πάθους καλοῖτ' ἂν εἰκότως, κατὰ τὰς σπείρας ἐπεκτεινομένη τοῦ ὄφεως κατὰ τοῦ τῆς κεφαλῆς δέρματος. Ἀλωπεκία δ' εἴρηται διὰ τὸ συνεχῶς αὐτὴν ἐν ταῖς ἀλώπηξι γίνεσθαι. γνοίης δ' ἂν τοὺς ἐνοχλοῦντας χυμοὺς καὶ ἀπὸ τῶν καθολικῶν καὶ συνεκτικῶν αἰτίων, οὐχ ἧττον δὲ καὶ ἀπὸ τοῦ εἴδους τοῦ χρώματος τοῦ τριχορρυήσαντος τόπου. ἐνίοτε δὲ τούτοις ἀναφυόμεναι τρίχες οὐχ ὅμοιαι, ἀλλὰ διάφοροι κατὰ τὰ χρώματα, ἅτε καὶ τῶν χυμῶν συμπεφυκότων καὶ συμπεπλεγμένων. καὶ ταῦτα μὲν οὕτω.

*Γίνεται δ' ἐν τῇ κεφαλῇ ἑλκύδρια μικρά τε καὶ πυκνὰ καὶ ἐρυθρὰ, μικραῖς θηλαῖς παραπλήσια, ἀφ' ὧν ἰχῶρες ἀπορρέουσι. καὶ ὁ καλούμενος δὲ ἰχὼρ λεπτοῖς πάνυ τρήμασι τὸ δέρμα κατατιτρᾷ, ὅθεν ἰχὼρ ἀποδίδοται γλίσχρος. καὶ ὃ δὲ καλοῦσι κηρίον, φαίνεται καὶ ἐν ἄλλοις τόποις παραπλήσιον. μείζους δ' ἔχει τὰς κατατρήσεις, ὑγρότητος μελιτώδους περιεκτικάς. ὠνόμασται δ' ἀπὸ τοῦ κηρίοις ἐοικέναι τῶν μελισσῶν. Σῦκα δὲ ὀνομάζουσι βλαστήματά τινα στρογγύλα ἑλκώδη, ὑπόσκληρα, ἐνερευθῆ, οἷς ἀκολουθεῖ ὀδύνη. φύονται δ' ἐν ἄλλοις τόποις τοιαῦτα. ταῦτα δ' ἄρα καὶ τὰ τοιαῦτα, παχέων, γλίσχρων, διεφθορότων χυμῶν ἔκγονα· φαίνεται δὲ γινόμενα ἢ κατὰ τὸ πᾶν σῶμα ἢ κατὰ μόνην τὴν κεφαλὴν ἀκμαζόντων τῶν χυμῶν, καὶ ταῦτα μὲν οὕτω.*

*Νυνὶ δὲ περὶ τῶν αἰσθητηρίων ῥητέον. ὥσπερ οὖν ἀκοὴ γίνεται διά τε τὸ αἰσθητικὸν εἰς τὸ οὖς ἰὸν νεῦρον καὶ διὰ τὴν ἐν αὐτῷ κοιλότητα, καὶ τὸν ἐγκατῳκοδομημένον ἀέρα, οὕτω δὴ διά τινας μετρίας ἢ καὶ μείζους βλάβας τῶν τοιούτων, κωφώσεις καὶ δυσηκοΐαι, ἦχοί τε καὶ τὰ λοιπὰ πάθη γίνεται. ᾧ τοίνυν ἐξεγένετο τὰς πρώτας τῶν παθῶν ἐξευρίσκειν αἰτίας, τούτῳ καὶ τὰ μετὰ τὰς πρώτας, ῥᾴδιον. κοινὰ μὲν οὖν καὶ πρῶτα πάθη, δυσκρασίαι δήτινες, καὶ ὁποιωνδήτινων χυμῶν ἐπίρροιαι, ἔτι τε συνεχείας διαιρέσεις καὶ τῶν αἰσθητικῶν διακοπαὶ πνευμάτων, διά τινας ἐμφράξεις ἢ μύσεις ἢ τομὰς τῶν ἐξοχετευόντων ταῦτα νεύρων. δεύτερα δὲ μετ' αὐτὰ καὶ οὐχ ἧττω τῶν προτέρων, καὶ τοῖς ἄλλοις κοινὰ, φλεγμοναί τε καὶ ἀποστήματα καὶ ἐμφράξεις. ἴδια δ' ὡς εἴρηται, κωφώσεις καὶ δυσηκοΐαι καὶ ἦχοι. καὶ περὶ μὲν τῶν κοινῶν ἰδίᾳ ῥηθήσεται.*

### *ς'. Περὶ κωφώσεως.*

*Κώφωσις δὲ γίνεται ἢ διὰ πρωτοπάθειαν τοῦ κατ' ἐκεῖνο τὸ μέρος ἐγκεφάλου, ὅθεν τὰ ἀκουστικὰ ἐκφύεται νεῦρα, ἢ διὰ τὸ ἐξ αὐτοῦ νεῦρον. καὶ ταῦτα δὲ ἤτοι διά τινα δυσκρασίαν, ἢ διὰ χυμῶν ἐπιρροὴν, ἤχοι δὲ ἢ διά τινας αὐτοῦ που συστάντας χυμοὺς, ὧν λυομένων εἰς*

πνεύματα οἷδ' ἕπονται, ἢ κάτωθεν ἀνηνεγμένων πνευμάτων διὰ παραπλησίους χυμούς· ἐνίοτε δὲ καὶ πάνυ λεπτὰ καὶ βραχέα πνεύματα δι' ἀκρίβειαν αἰσθήσεως, διόχλου γίνεται τῇ ἀκοῇ. καὶ τὰ μὲν κάτωθεν ἀνιόντα, μᾶλλον καὶ ἧττον γινόμενα, οὐχ ὡσαύτως ἀεὶ ἀνιᾷ. δακνώδη μὲν γὰρ ὄντα συναποκαθίσταταί που ταῖς τροφαῖς. παχέα δέ γε καὶ ὁμιχλώδη, ἢν μὴ διαίταις ἢ βοηθούμενα, κατὰ τὰς ἀναδόσεις καὶ αὐτὰ τῶν τροφῶν μᾶλλον ἐνοχλεῖ. τὰ δ' αὐτοῦ που περὶ τὴν ἀκοὴν συνιστάμενα, τὸ πλέον ἐπὶ τοῦ αὐτοῦ παραμένει, ῥαΐζει δέ πως καὶ ἐπιδίδωσι καὶ αὐτά, κατὰ τὰς τῶν τροφῶν οἰκειότητας· καὶ τὰ μὲν παχύτερα καὶ ὁμιχλώδη, βομβώδεις μᾶλλον δοκεῖ τοὺς ἤχους ποιεῖν, τὰ δὲ λεπτότερα καὶ ὀξύτερα, νυγματώδεις καὶ ὀξυτέρους. πάντα δὲ ταῖς τε καθ' ὅλον τὸ σῶμα καὶ ταῖς κατὰ μέρος κράσεσι καὶ διαίταις καὶ ἡλικίαις καταλαμβάνεται, καθὼς ἔχεις ἀνωτέρω καὶ περὶ τούτων μαθών. αἵ γε μὴν ὀδύναι, κοιναὶ τοῖς ἄλλοις οὖσαι μορίοις, οὐ δίκαιαι τῷ περὶ τῶν παθῶν τῆς ἀκοῆς προσενείρεσθαι λόγῳ. ἐκεῖνο δὲ μόνον εἰπεῖν ἀρκέσει, ὡς τοσοῦτον ὧδε σφοδρότεραί τε καὶ ἀνιαρώτεραι ὀδύναι γίνονται, ὅσον καὶ ἐγγύτεραι τοῦ ἐγκεφάλου συνίστανται, καὶ ἐπὶ γυμνοῖς καὶ εὐαισθήτοις νεύροις. δηλοῖ δὲ τό,τε ἀκάθεκτον τῶν πασχόντων, ἢν τὰ τῆς ὀδύνης ἐπιταθῇ, καὶ αἱ ἐφεπόμεναι τούτοις ἐνίοτε παραφροσύναι διὰ τὴν τοῦ ἐγκεφάλου συμπάθειαν.

Καὶ ἐπὶ τῶν ὀφθαλμῶν δὲ τὰ αὐτὰ τοῖς ὠσὶν οἷου πρῶτα αἴτια. τά,τε γὰρ ἀπ' ἐγκεφάλου προϊόντων νεῦρα καὶ τὸ δι' αὐτῶν φερόμενον αὐγοειδὲς πνεῦμα, πρῶτα τοῦ ὁρᾷν αἴτια. ταῦτα δὲ καὶ πεπονθότα διά τινα δυσκρασίαν ἢ ἔμφραξιν ἢ συνεχείας λύσιν, τοῦ μὴ ὁρᾷν ἢ κακῶς ἡμᾶς ὁρᾷν αἴτια γίνεται. οὐχ ἥκιστα δὲ καὶ τοῦ κατ' ἐκεῖνο τὸ μέρος ἐγκεφάλου πρωτοπαθήσαντος. ἃ δὲ ἐν αὐτοῖς συνίσταται τοῖς τῆς ὄψεως ὀργάνοις, ἤδη ἐροῦμεν.

### ζ. *Περὶ διαγνώσεως ὀφθαλμίας.*

*Τῶν ὀφθαλμῶν οὖν πάθη τάραξις καὶ ὀφθαλμία, καὶ φλεγμονὴ καὶ ῥεύματος ἐπιφορά. καὶ ταῦτα μὲν μετριώτερα τῶν ἄλλων δοκεῖ. τἄλλα δὲ καὶ χείρω, καὶ πλείονος τοῦ χρόνου δεόμενα εἰς ὑγίειαν. καὶ τάραξις μέν ἐστιν, ὅταν ἐκθλίψεως ἢ τρίψεως ἢ ὁμιλίας καπνοῦ καί τινος λυποῦντος τοιούτου, ἀνατεθολωμένα φαίνεται. ὀφθαλμία δὲ πλέον τούτου πέφυκε· ἤτοι δὲ ὡς ἐπιδήμιον ἀρρώστημα αὕτη κρίνεται, ἢ διὰ τὴν τοῦ αἰσθητηρίου ἀδυναμίαν καὶ τὴν ὕλης ἐπιφοράν. ἀμέλει καὶ δοκεῖ τὸ πάθος διαδίδοσθαι τοῖς εὐπαθεστέροις. λεπτὸν δὲ πάνυ καὶ δριμὺ ῥεῦμα, τοῦ πάθους αἴτιον. τὸ πλίον δὲ οἱ τοιοῦτοι τεθολωμένους τοὺς ὀφθαλμοὺς ἔχουσι καὶ ὑφαίμους. φλεγμονὴ δὲ γίνεται μὲν καὶ διὰ πληγήν τινα ἔξωθεν, οὐχ ἧττον δὲ καὶ διὰ ῥεῦμα δριμύ· διενήνοχε δὲ τοῦ ἰδίως καλουμένου ῥεύματος τῷ τὸ μὲν ῥεῦμα ἐκ διαφόρων χυμῶν γίνεσθαι, τὴν δὲ φλεγμονήν, ἐκ μόνων θερμοτέρων ὑλῶν. αἱματώδεις δὲ ἀεὶ οἱ φλεγμονώδεις ὀφθαλμοί. οὗτοι δὲ τὴν μὲν ἀρχήν, λεπτόν τι δάκρυον προχέουσι καὶ δάκνον. εἰς πέψιν δ' ἰόντος τοῦ πάθους, καὶ αὐτὸ συνίσταται καὶ παχύνεται. καὶ λῆμαι ὧδε πλείους. Τοῦ ῥεύματος τὰ εἴδη τόσα, ὅσα καὶ οἱ ῥευματίζοντες χυμοὶ καὶ αἱ ἐξ αὐτῶν συμπλοκαὶ ποιοῦσιν. ἢ γὰρ μόνου αἵματος ἢ μόνης χολῆς ἢ φλέγματος, καὶ τούτων ἢ ὀξέος ἢ γλυκοῦ ἢ ὁποιουδήτινος ἄλλου, ἢ ἐκ διαφόρων καὶ συμπεπλεγμένων, τὸ ῥεῦμα γίνεται, ἔνθεν τοι οἱ μὲν αἱμωπούς, οἱ δ' ὠχρούς, ἄλλοι δ' ἀλλοίους ἔχουσι τοὺς ὀφθαλμούς, καὶ οἱ μὲν πλείω, οἱ δὲ μείω προχέουσι δάκρυα, καὶ οἱ μὲν δακνωδῶν, οἱ δὲ ψυχρῶν αὐτῶν αἰσθάνονται, καὶ τοῖς μὲν παχύτερα, τοῖς δὲ λεπτότερα τὰ προχεόμενα. πάντα δὲ ταῦτα ἢ συμπασχούσης τῆς κεφαλῆς ἀκολουθεῖ, ἢ μόνοις αὐτοῖς τὰ πάθη ταῦτα καταδεδεγμένοις φαίνεται. τεκμήρια δὲ τῶν ὀργώντων χυμῶν ὅσα μὲν καὶ ἀπὸ τῆς καθόλου ἕξεως καὶ ὥρας καὶ διαίτης καὶ ἡλικίας συνάγεται. οὐχ ἧττον δὲ καὶ ὅσα ἀπὸ τῶν συνεδρευόντων συμπτωμάτων ἀναφαίνεται, καὶ παραπλησίων αἰτίων· διὰ πάντων οὖν ἰοῦσά σοι ἡ διαγνωστικὴ μέθοδος, ἐπικρινέτω*

καθ' ἕκαστα, καὶ ἡ διὰ μειζόνων καὶ πλειόνων, εἶθ' οὕτως συναγομένη διάγνωσις ἀποφαινέσθω. καὶ ταῦτα μὲν, ἀρχαὶ καὶ πρῶτα πάθη τῶν ὀφθαλμῶν. Χύμωσιν δέ φασιν, ὅταν ὑπὸ φλεγμονῆς ἰσχυρᾶς καὶ ἀμφότερα τὰ βλέφαρα ἐκτραπῇ, ὡς μόλις ὑπ' αὐτῶν καλύπτεσθαι τοὺς ὀφθαλμοὺς, καὶ τὸ λευκὸν δὲ τοῦ ὀφθαλμοῦ μετεωρότερον τοῦ μέλανος γένηται καὶ ἐρυθρὸν, καὶ πολὺ μέρος ἐπιλάβῃ τοῦ μέλανος. — Τὸ δὲ καλούμενον ὑπόσφαγμα ἐκ πληγῆς μὲν τὴν ἀρχὴν ἔχει· ῥῆξις δὲ ὧδε γίνεται τῶν φλεβιδίων, ὅσα περὶ τὸν ἐπιπεφυκότα διατέτανται, καὶ αἱματώδης καὶ ὑποφλεγμαίνων ὁ ὀφθαλμὸς φαίνεται. Τὰ δὲ οἰδήματα τῶν ἐμφυσημάτων διενήνοχε τῷ τὰ μὲν ἀπὸ πληγῆς μᾶλλον καὶ περὶ τὰ βλέφαρα γίνεσθαι, τὰ δ' ἐμφυσήματα ὑπὸ παχέος πνεύματος κατ' αὐτὰ τὰ βλέφαρα συνίστασθαι, ὄγκοι τε ὄντες οἰδηματώδεις, ὥσπερ καὶ ἡ ψωροφθαλμία τῆς ξηροφθαλμίας διαφέρει. ἡ μὲν γὰρ ψωρίασις κνησμώδης τοῦ βλεφάρου αἴσθησις δι' ἁλμυρὸν γινομένη φλέγμα, δάκνουσά τε καὶ κνησμὸν ἐρεθίζουσα. ἡ δὲ ξηροφθαλμία δυσκινησία τῶν ὀφθαλμῶν μετὰ πόνου χωρίς τινος ὑγρότητος ἐκρεούσης. Τὸ δὲ ἐκτρόπιον δι' ὑπερσάρκωσιν ἢ οὐλὴν τοῦ βλεφάρου γίνεται, μὴ καλῶς θεραπευθέντος. πρὸς ἑαυτὸ γὰρ τὸ πεπονθὸς τὰ πέρατα τῶν βλεφάρων ἐπισπώμενον, ἐλλιπῆ τὴν σύμφυσιν παρασκευάζει. Αἰγίλωψ δὲ ἀπόστημά τι μεταξὺ τοῦ μεγάλου κανθοῦ καὶ τῆς ῥινὸς ῥηγνύμενον· τοῦτο δὲ πρὶν ἢ ῥαγῆναι, αἰγίλωψ λέγεται. ἀμεληθὲν μέντοι μετὰ τὸ ῥαγῆναι, συριγγοῦται καὶ μέχρις αὐτοῦ ὀστέου διαβαίνει, καὶ δυσχερέστερον θεραπεύεται. Τὸ δὲ τράχωμα τραχύτης τῶν ἔνδον τοῦ βλεφάρου μερῶν. ἐπιταθὲν δέ, ὡς καὶ ἐντομὰς δοκεῖν ἔχειν, σύκωσις καλεῖται. ἐγχρονίσασα δὲ καὶ αὐτὴ, ὥστε καὶ τυλωθῆναι, τύλος ὀνομάζεται. τούτων δὲ διαφέρει τὸ χαλάζιον, ὑγροῦ τινος σύστασις ὂν κατὰ τὸ βλέφαρον. τὴν δὲ οὕτω καλουμένην κριθὴν πάντως οὐκ ἀγνοεῖς ἀπόστημά τι οὖσαν ἐπιμήκες κατὰ τὸν τοῦ βλεφάρου ταρσὸν γινόμενον. Ὅτι δὲ φθειριῶσι τὰ βλέφαρα, καὶ τὸ ἐξ αὐτῶν πάθος διασημαίνει, φθειρίασις λεγόμενον. καὶ αὗται δὲ τοῖς ἀκριβῶς ὁρῶσι ζῶσαί τε καὶ κινού-

μεναι φαίνονται. Μαδάρωσις δ' ἢ μίλφωσίς ἐστιν αὐτῶν τῶν τοῦ βλεφάρου τριχῶν ἀπόπτωσις, διά τινα διαβρωτικὸν χυμὸν ἢ καθ' ὅλον τὸ σῶμα συνιστάμενον, ἢ κατὰ μόνην τὴν κεφαλήν, ἢ τό γε ὕστατον, κατ' αὐτοὺς μόνους τοὺς ὀφθαλμούς. ἕκαστον δ' ἂν διαγνοίης αὐτῶν ἀπὸ τῶν οἰκείων αὐτοῦ παρακολουθημάτων. ἡ γε μὴν πτίλωσις, παχύτης οὖσα βλεφάρων, τυλώδης ἐνερευθής, ἀπὸ παχυτέρων καὶ πλέον διεφθορότων χυμῶν γινομένη, ἐνίοτε καὶ τὰς βλεφαρίδας τρίχας διαφθείρει. τοῦ πάθους δὲ θεραπευομένου, καὶ αὗται αὖθις ἀναφύονται. ὀχληρὸν δὲ πάθος ἡ τρίχωσις. ἔνιαι γὰρ τῶν βλεφαρίδων τριχῶν, οὐκ ἐκτὸς κατὰ τὰς λοιπάς, ἀλλ' ἐντὸς ἀποκλίνουσαι, δι' ὄχλου γίνονται τῷ ὀφθαλμῷ, ἀεὶ τοῦτον πλήττουσαι καὶ διὰ τοῦτο καὶ ταράττουσαι. ἀρθεῖσαι δὲ καὶ τοῦ διενοχλεῖν λήγουσι. Ἐγκανθὶς δὲ καὶ ῥοιάς, δυὸ πάθη ἀντικείμενα, κατὰ τὸν αὐτὸν καὶ ἕνα τόπον γινόμενα. ὁπόταν μὲν γὰρ τύχῃ ὑπερσαρκούμενος ὁ πρὸς τῇ ῥινὶ τοῦ ὀφθαλμοῦ κανθός, ἐγκανθὶς τὸ πάθος λέγεται· φθίνων δὲ καὶ ἀπομαραινόμενος, ῥοιάς. βοηθεῖται δὲ ἕκαστον οἰκείαις ἐπιμελείαις. Τῶν δ' ἐν ὀφθαλμοῖς ἑλκῶν, τὸ μὲν ἐν τῷ κερατοειδεῖ κοῖλον καὶ στενὸν καὶ καθαρὸν ἕλκος, βόθριον ἐπονομάζεται. τὸ δὲ πλατύτερον τοῦ βορίου, ἧσσον δὲ βαθύ, κοίλωμα. ἄργεμον δ' ἔφαμεν τὸ ἐπὶ τὸν τῆς ἴρεως κύκλον γινόμενον, ἐπιλαμβάνον τι καὶ τοῦ πέριξ, ὥστε κατὰ μὲν τὸ ἔξω τῆς ἴρεως, ἐνερευθὲς φαίνεσθαι, κατὰ δὲ τὸ ἔνδον λευκόν. τὸ δ' ἐπίκαυμα ἕλκος ῥυπαρόν ἐστι καὶ ἀκάθαρτον καὶ ἐσχαρῶδες, οὗπερ ἀνακαθαιρομένου, πολλάκις ἐκρεῖ τὰ ἐν τῷ ὀφθαλμῷ ὑγρά. οἷς δὲ καὶ ταῦτα βοηθητέον, ἐν τοῖς μετὰ ταῦτα λόγοις ῥηθήσεται. Πρόπτωσις δ' ἐστὶ προπέτεια τοῦ ῥαγοειδοῦς χιτῶνος, ἐκ διαβρώσεως ἢ ῥήξεως τοῦ κερατοειδοῦς γινομένη, ἥτις ἐν διαφόροις μεγέθεσι θεωρουμένη, διάφορα καὶ τὰ ὀνόματα κατασκευάζει, ἐξ ὧν αὐτῶν εἰκάζεται παρωνομασμένον τιθεῖσα. μικρὰ μὲν οὖσα, μυιοκέφαλον ὀνομάζεται, ἀπὸ τοῦ ἐοικέναι μυίας κεφαλῇ. ἐπαυξηθεῖσα δὲ πλέον, ὡς ἐοικέναι ῥαγὶ σταφυλῆς, σταφύλωμα λέγεται· ὥσπερ εἰ ἐπὶ πλεῖστον ἐκπίπτει, ὡς τῶν βλεφάρων προ-

*πεπτωκυῖα φαίνεσθαι, μῆλον παρονομάζεται. ἔτι δὲ τούτων φθάσει τυφλωθῆναι, ἧλος προσαγορεύεται. ὑπόπυος δὲ ὁ κερατοειδὴς ἐνίοτε γίνεται, ποτὲ μὲν διὰ βάθους, ποτὲ δ' ἐπιπολῆς, ὄνυχι προσεοικότος τοῦ πύου κατὰ τὸ σχῆμα, ὅθεν καὶ ὄνυχα τὸ πάθος προσαγορεύουσιν ἔνιοι. τὰς δ' ἐπιπολῆς ἐν τοῖς ὀφθαλμοῖς οὐλὰς, οἱ μὲν αὐτὸ δὴ τοῦτο μόνον οὐλάς φασιν, οἱ δὲ νεφέλιον, τὰ δὲ διὰ βάθους, λευκώματα. ἕκαστον δ' οἰκείοις βοηθήμασι θεραπεύεται. τοῖς τῶν ὀφθαλμῶν δὲ πάθεσι καὶ τὸ πτερύγιον συγκαταλεγόμενον, τοῦ ἐπιπεφυκότος ὑμένος ὑπεροχὴ νευρώδης ἐστίν, ἣ ἀπὸ τοῦ κανθοῦ ἰοῦσα μέχρις αὐτῆς στεφάνης χωρεῖ, ἄν γε μὴ ὑπεραυξηθὲν τὸ πτερύγιον τύχῃ, καὶ τὴν κόρην αὐτὴν ἐπικαλύπτοι καὶ τοῦ ὁρᾷν κωλύει. Ἀνθρακώσεις δὲ καὶ καρκινώματα, χείριστα τῶν ἐν ὀφθαλμοῖς παθῶν. πάθος οὖν τὸ καρκίνωμα τοῦ κερατοειδοῦς χιτῶνος, ὀδύνην καὶ διάτασιν μέχρις αὐτῶν κροτάφων ἐπεγγεῖρον τοῖς ἁλοῦσι, καὶ μᾶλλον ἐὰν σεισθῶσιν, ἀνορεκτοῦσιν οἱ τοιοῦτοι, καὶ πρὸς τῶν τυχόντων δριμέων παροξύνονται. δοκεῖ δὲ τῶν ἀνιάτων διὰ σφοδρότητα. βοηθητέον μέντοι καὶ τούτοις κατὰ τὴν παρηγορητικὴν δύναμιν. ὅταν δ' ἡ μὲν κόρη τῷ χρώματι μηδὲν ἀλλοτρία φαίνηται, πλατυτέρα δὲ πολλῷ τοῦ κατὰ φύσιν, ποτὲ μὲν ὁλοσχερῶς ὁρᾷν ἐμποδίζεται, ποτὲ δὲ ἐπὶ πολύ, καὶ τὰ ὁρώμενα δὲ πάντα αὐτῷ δοκεῖ μείζω, μικρότερα ὄντα. καὶ τὸ μὲν πάθος μυδρίασις λέγεται. αἰτία δ' αὐτοῦ ὑγρότης περιττωματικὴ συρρεύσασα· φθίσις δὲ πάθος ἐστὶ τῆς κόρης, στενουμένης μὲν καὶ ἀμαυροτέρας καὶ ῥυπωτέρας γινομένης. τὰ δὲ ὁρώμενα ταύτῃ μείζω φαίνεται. αἰτία δέ, πύκνωσις ὑπὸ ξηρότητος μᾶλλον γινομένη. διαφέρει δ' ἡ φθίσις τῆς ἀτροφίας, τῷ τὴν μὲν φθίσιν στενοτέραν ποιεῖν, τὴν κόρην, τὴν δ' ἀτροφίαν ὅλον τὸν ὀφθαλμὸν μικρότερον καὶ ταπεινότερον. Νυκτάλωπας δ' ἐαρινοὺς φασιν, οἳ ὑπὲρ γῆν μὲν ὄντος τοῦ φωτὸς βλέπουσι· δυομένου δέ, ἀμβλυώττουσι· νυκτὸς δ' ἤδη καταλαβούσης, οὐδὲν ὁρῶσι. λεπτῶν δ' ἄρα τοῦτο ὑγρῶν σύστημα, ὃ τὴν μὲν ἡμέραν τῇ τοῦ φωτὸς περιουσίᾳ δυναστεύεται, νυκτὸς δὲ συνεπισκοτεῖ τὴν ὄψιν. Γλαύκωμα δὲ καὶ ὑπόχυμα,*

οἱ μὲν τὸ αὐτὸ καὶ ἓν πάθος ἔφασαν, οἱ δ' ἀκριβέστεροι ἄμεινον ποιοῦντες, ταῦτα διαστέλλουσιν ἀλλήλων. καὶ γλαύκωμα μέν φασι τοῦ κρυσταλλοειδοῦς ὑγροῦ πάθημα εἶναι ὑφ' ὁποιασοῦν ὑγρότητος μεταβαλλομένου ἐπὶ τὸ γλαυκόν. τὰ δ' ὑποχύματα, ὑγρῶν τινῶν παράχυσιν πηγνυμένων μεταξὺ τοῦ κερατοειδοῦς χιτῶνος καὶ τοῦ κρυσταλλοειδοῦς. διάφορα δὲ τά τε ὑγρὰ καὶ πήξεις αὐτῶν φαίνονται. εἰσὶ δὲ τὰ πλείω αὐτῶν ἴασιμα, ὥσπερ δῆτα τὰ γλαυκώματα, πάντα ἀνίατα, ἅτε κατὰ τὴν ἑαυτοῦ οὐσίαν ὑπ' ἀλλοτρίας ὑγρότητος, ἀλλοιωθέντος τοῦ κρυσταλλοειδοῦς. ἥ γε μὴν ἀμαύρωσις, παντελής ἐστι τοῦ ὁρᾶν ἐμποδισμὸς χωρίς τινος πάθους φανεροῦ περὶ τὸν ὀφθαλμόν, ὥσπερ καὶ ἡ ἀμβλυωπία, ἀμαυρότης περὶ τὸ ὁρᾶν. οὐχ ὑπ' ἀδήλου δὲ αὕτη αἰτίας γινομένη, οὐ μὴν ὄψει καταλαμβανομένης. εἰ γὰρ δὴ μήθ' οἱ χιτῶνες ἀλλοῖοι τῶν ὀφθαλμῶν φαίνονται, μήτε τὰ ἐν αὐτῇ ὑγρά, δῆλον ὡς διὰ τὸ ὀπτικὸν ταύτης πνεῦμα γίνεται, βραχύ τι ἢ οὐδὲν ἐξοχετευόμενον, διά τινας προηγησαμένας μύσεις ἢ ἐμφράξεις τοῦ φωταγωγοῦ νεύρου, ἢ μὴν καὶ διά τινας τοῦ ἐγκεφάλου κατ' ἐκεῖνο τὸ μέρος βλάβας. πάντα δ' ἱκανὰ τὴν τοῦ πνεύματος φορὰν ἐπισχεῖν, ὡς ἐοικέναι τὸ λοιπὸν τοὺς ὀφθαλμοὺς λύχνοις, οἵ πάντα μὲν πληρέστατοι καὶ ἐπιτήδειοι τελοῦσι, φωτὸς δὲ τοῦ περιλάμψοντες στερισκόμενοι.

Ὁ δὲ στραβισμὸς γένοιτ' ἂν καὶ τοῖς προήκουσι μὲν τῷ χρόνῳ, διά τινα σπασμώδη ἀνθολκὴν τῶν κινούντων μυῶν τοὺς βολβούς. οὐχ ἥκιστα δὲ νηπίοις συμβαίνει. ἔτι γὰρ πάντα ἁπαλοῖς οὖσιν, ἢν ἐκ πλαγίου τις αὐτοῖς αἰωρῇ λύχνον ἀνημμένον, ἢ ἄλλως αὐγὴ φωτὸς προσβάλλει, ἀνθέλκοντος τοῦ φωτὸς τὴν ὄψιν. καὶ τούτου ἐπὶ πολὺ γινομένου, ἔτι τῶν κινούντων μυῶν ἁπαλῶν τελούντων, τῷ χρόνῳ εἰς πάθος στραβισμοῦ ἡ τῆς ὄψεως διάθεσις μεθίσταται, τοῦ μὲν τῶν κινούντων μυῶν συνιζηκότος, τοῦ δ' ἀντισπασθέντος κατὰ τὴν διάθεσιν δηλονότι τῶν πεπονθότων μυῶν, ἐπεὶ μὴ πᾶσιν ὡσαύτως ὁ στραβισμὸς γίνεται. ὅσαι δὲ ἐκ γενετῆς στραβώσεις γίνονται, τῆς διαπλαττούσης ταῦτα διαμαρτία φύσεως. καὶ ὁ ἐκπιεσμὸς δέ,

*πάθος ὂν τοῖς ὀφθαλμοῖς σύνηθες, δι' ἀθρόον τε καὶ παχὺ ῥεῦμα γίνεται, καὶ ἐξίστησι τοὺς ὀφθαλμοὺς τῆς οἰκείας ἕδρας, ὥστε τοιούτους διαμένειν ἐξελθόντας. βοηθητέον δὲ αὐτοῖς καθὼς ἂν ἰδίᾳ περὶ ἑκάστων παθῶν εἴπωμεν. Περὶ δὲ μυωπίας ταῦτ' ἔνεστιν εἰπεῖν, ὡς ὁρᾶν ἐκεῖνοι λέγονται μυωπίαι, οἷς τὰ μὲν ἐγγὺς ῥᾴδιον, τοιούτοις οὖσιν ἐκ γενετῆς, τὰ πόρρω δ' οὔ. ἀνίατος δὲ ἡ τοιαύτη διάθεσις, διὰ τὴν τοῦ πνεύματος γινομένην ἀσθένειαν. βραχὺ γὰρ ὂν καὶ ἀσθενὲς τὸ ἐπιρρέον ὧδε πνεῦμα, οὐκ ἐξικνεῖται μέχρις ἱκανοῦ φέρεσθαι διαστήματος. ἔχεις καὶ τὸν κατὰ τοὺς ὀφθαλμοὺς παθῶν λόγον ἐκτεθειμένον ἱκανῶς βραχυλογεῖν ἐθέλουσι. κἂν τι καὶ λέλειπται, ἔνεστι κἀκεῖνο ἀπὸ τῶν ἤδη ῥηθέντων συνιέναι, τῶν τε διαγνώσεων καὶ τῶν κατ' αὐτοὺς παθῶν ἱκανῶς ἐκτεθειμένων.*

### *η'. Περὶ ὀσφρήσεως.*

*Ὀσφρήσεως δὲ κοινὰ τοῖς ἄλλοις αἰσθητηρίοις πάθη, ὅσα διά τε τὸ μέρος τοῦ ἐγκεφάλου καθ' ὃ τὸ αἰσθητικὸν νεῦρον ἀποφύεται, καὶ ὅσα δι' αὐτὸ τὸ νεῦρον καὶ τὸ δι' αὐτοῦ ἰὸν πνεῦμα. διὰ δέ, πολύπους τε καὶ ὄζαινα.*

### *θ'. Περὶ πολύποδος.*

*Καὶ πολύπους μέν ἐστι ἡ τῶν ἠθμοειδῶν πόρων ἔμφραξις διά τε ὑπερσάρκωμα δυσαποσπάστως ἐχόμενον. ἀποφύεται γὰρ συχνὰ βλαστήματα, τῶν πέριξ πόρων τῆς ῥινὸς ἐχόμενα κατὰ τοὺς πολύποδας. τούτοις ἥτε εἰσπνοὴ καὶ ἐκπνοὴ προσέχεται, κἂν τι ἄνωθεν ἰὸν βλεννῶδες ἢ μυξῶδες τύχῃ, οὐχὶ ῥᾳδίως πέμπεται, προσισχομένου τοῦ πολύποδος.*

### *ι'. Περὶ ὀζαίνης.*

*Ἡ δ' ὄζαινα καὶ ἀπ' αὐτοῦ δὴ τοῦ ὀνόματος μαρτυρεῖται, σεσημμένων δηλονότι καὶ διεφθορότων χυμῶν, περὶ τοὺς ἠθμοειδεῖς ἐπακμασάντων πόρους, καὶ μεταδότων μὲν τῆς σφῶν κακίας τοῖς σύνεγγυς μορίοις, οὐχ ἧττον δὲ τῶν ἐπιρρεόντων, τῶν καταδεδεγμένων τούτους ὀδωδότων. ἀμέλει καὶ κατὰ πᾶσαν μὲν ὥραν, μάλιστα δὲ*

κατὰ τὰς μεγίστας ἐκπνοὰς ὄζουσιν, ἐπιχρωννυμένου τοῦ πνεύματος ἀπὸ τῶν ἐκεῖθεν ὀδμῶν, ἔτι δὲ καὶ παρὰ ταῦτα βλεννωδῶν χυμῶν ἐνταῦθ' ἐπισκηψάντων καὶ μὴ ῥᾳδίως ἐξιόντων, ἥτ' εἰσπνοὴ ῥᾳδίως ἐνίοτε παραβλάπτεται, καὶ οὐδέν τι ἄξιον λόγου ἔξεισιν, ὃ ὁσημέραι μέν ἐστιν ἰδεῖν γινόμενον, ἐξαπατᾷ δὲ τοὺς πολλοὺς ὥσπερ πολύπους ὂν τουτί, ἡ ὄζαινα, καὶ μάλιστα ἢν ἐκ μετρίας σήψεως προσοζέωσιν οἱ χυμοί. σὺ δ' ἀλλ' ἀπὸ τῆς τῶν συμπτωμάτων διαφορᾶς ῥᾳδίως ἂν ἔχοις γνῶναι τὸ διάφορον, ἄλλως τε καὶ διὰ χρόνου μὲν ἐκείνων συνισταμένων καὶ μὴ ῥᾳδίως ἀπολυομένων, τῶνδε δὲ καὶ ταῖς τυχούσαις εἰκόντων βοηθείαις, καὶ πάντῃ φαινομένων μετρίων.

### ια'. Περὶ τῆς ἀπὸ ῥινῶν αἱμορραγίας.

Οἷς δὲ καὶ αἷμα ὧδε φαίνεται διὰ τὴν τῶν ἀγγείων ἀναστόμωσιν, κοινὸν τοῖς ἄλλοις μορίοις τοῦτο πάθημα, κἂν ὧδε μάλιστα οὐ συμβαίνῃ. κοινῇ δὲ περὶ παντὸς ἀμέτρου αἵματος διαληψόμεθα ἐν ταῖς θεραπευτικαῖς μεθόδοις. ἐξ ἐκείνων οὖν δεῖ καταλαμβάνειν ἕκαστον, οἷς ἐφεκτέον ῥύσιν ἀμέτρου αἵματος. νυνὶ δ' ἐπ' ἄλλα τοῦ λόγου ἰτέον. πρῶτον δ' ἀναμνηστέον, τῶν κατὰ τὸ πρόσωπον γινομένων παθῶν.

### ιβ'. Περὶ διαγνώσεως τῶν κατὰ τὸ πρόσωπον γινομένων παθῶν.

Ὑπώπια οὖν καὶ πελιώματα ἐγγὺς τῶν ὀφθαλμῶν γινόμενα, διά τινας πληγὰς τὰ μὲν ἐξεπιπολῆς, ῥᾳδίως διαφορούμενα ἰᾶται. τὰ δὲ δι' ἱκανοῦ βάθους διαβαίνοντα, πλείονος τοῦ χρόνου καὶ τῆς ἐπιμελείας δεῖται. αἵματος δὲ ἄρα παρεγχύματα ταῦτα, τῇ βίᾳ τῆς πληγῆς ὑπεκχυθέντος τῶν ἀγγείων. ἔφηλις δὲ καὶ φακὸς οἷά τινα χρώματα περὶ τὸ πρόσωπον φαίνεται, ἀλλοχροοῦντα πρὸς τὸ λοιπὸν τοῦ προσώπου χρῶμα· διά τινα δὲ χυμὸν ἐπιπολάσαντα φαίνεται καὶ τὸ μὲν εἶδος τοῦ χυμοῦ καὶ αὐτὰ τὰ χρώματα δείκνυσιν. οὐ μέντοι γε ἀνάγκη κἀκεῖνον τὸν χυμὸν ἀεὶ ἀκμάζειν, μέχρις ὅπου καὶ ταῦτα φαίνεται. ἐνίοτε μὲν γὰρ ὁ γεννήσας χυμὸς ἀπέσβη, αὐτὰ δ' ὥσπερ τινὰ λείψανα, μὴ τυχόντα τῆς ἀκριβοῦς διαφορήσεως ἔτι προφαίνεται.

### ιγ'. Περὶ ἰόνθων.

Ἴονθοί γε μὴν, ἕτεροι παρὰ ταῦτα ὄντες, ὄγκοι μικροί τινες καὶ σκληροὶ τυγχάνουσιν, οἳ διαπυήσαντες παύουσι. τὸ πλέον δὲ τοῖς γενειῶσι γίνονται, καὶ τοῖς συνήθως ἔχουσι διὰ ῥινὸς αἷμα προχεῖν, εἶτ᾽ ἀλόγως τοῦτ᾽ ἐπισχεθεῖσι. γίνονται δὲ καὶ γυναιξὶ τὸ πλέον, ἢ κυούσαις ἢ μὴ καλῶς καθαιρομέναις. ῥυτίδες δὲ καὶ μελανίαι περὶ τὸ πρόσωπον γινόμεναι εἰς μὲν εὐπρέπειαν, καὶ μάλιστα ἐπὶ νεαζουσῶν γυναικῶν αἶσχός τι πεφύκασι προσάπτειν, ἄλλο δ᾽ οὐδέν τι παραβλάπτουσι. ῥηθήσεται δ᾽ ἐν τοῖς περὶ θεραπείας λόγοις βραχύ τι καὶ περὶ τούτου. ὅσον τοῦ μὴ λυπῆσαι χάριν, τὰς σπουδὴν καὶ τὴν τοῦ κάλλους ἐπιμέλειαν ποιουμένας.

### ιδ'. Περὶ διαγνώσεως τῶν κατὰ τὸ στόμα παθῶν.

Ἐπεὶ δὲ τὰ κατὰ τὸ στόμα φαίνεται καὶ εἰς ὄψιν ἥκει, καὶ τῶν κατ᾽ αὐτὸ παθῶν ἐπιμνηστέον ὡς εἰκός. παρουλὶς οὖν καὶ ἐπουλίς, πάθη τῶν οὔλων, ὧν ἡ μὲν παρουλὶς ἀπόστημά τι κατὰ τὰ οὖλα γινόμενον, ἡ δὲ ἐπουλὶς φλεγμονή τις κατὰ τὰ πλησίον τῶν γομφίων ὀδόντων οὖλα, ὑπερανεστηκυῖα ὡς ὑπερσάρκωμα. αὕτη ἔσθ᾽ ὅτε καὶ πυρετοὺς μικροὺς ἐπάγει. καθίστανται δὲ ῥαδίως καὶ αὗται, βοηθούμεναι ἄμφω. οὐδὲ γὰρ ἐπ᾽ ἀξιολόγοις αἰτίαις τὰ τοιαῦτα συνίστανται.

### ιε'. Περὶ παθῶν τῶν ὀδόντων.

Ὀδόντων δὲ πάθη διά τε ψιλὴν δυσκρασίαν συνίστανται διά τινας ἐκεῖ που χυμοὺς ἐνσκήψαντας. οὐ μετρίας δ᾽ ἔχουσι τὰς ὀδύνας οἱ ὀδόντες, ἅτε νεύρων ἀξιολόγων ἐμπεφυκότων τοῖς φαινώμασιν αὐτῶν· καὶ ψυχρᾶς μὲν οὔσης τῆς ἐνοχλούσης δυσκρασίας, μετριώτερα τὰ ἄλγη. ὥσπερ δ᾽ αἱμωδία τις συνεδρεύει, καὶ ὑπὸ τῶν τυχόντων ψυχρῶν ἐνοχλοῦνται. συντεκμαίροιο δ᾽ ἂν καὶ ἀπὸ τῶν λοιπῶν τεκμηρίων, ὅσα κατά τε κρᾶσιν δηλαδὴ καὶ ἡλικίαν, ἔτι τε ὥραν καὶ δίαιταν, ἀναφαίνεται. θερμῆς δὲ δυσκρασίας ἐνοχλούσης, μείζους τε καὶ ὀξύτεραι αἱ ὀδύναι· καὶ ἡ ἀπὸ τῶν κατὰ μέρος δὲ αἰτίων διάγνωσις παρίστησι

τὴν ἐνοχλοῦσαν δυσκρασίαν. ὑγρότης δὲ ἢ ξηρότης κατ' αὐτάς, βραχύ τι ἢ οὐδέν. μετὰ δὲ τῶν δραστικῶν ποιοτήτων μάλιστ' ἂν ἐνοχλήσαιεν. χυμῶν δέ τινων ἐνσκηπτόντων περὶ τοὺς ὀδόντας, κατὰ τὸ ποσὸν καὶ τὸ ποιὸν αὐτῶν καὶ τὰ συμπτώματα ἐπεγείρεται. καὶ οἱ μὲν θερμότεροι, δραστικώτεροι ἂν ῥηθεῖεν. οἱ δὲ τῷ ποσῷ διαφθείροντες, ἀναλόγως καὶ τὸν τῆς παραιτήσεως χρόνον ἐπὶ τῇ νόσῳ μαρτυροῦσι. κἂν μὲν οὖν ἐς αὐτὰς τὰς ῥίζας τῶν ὀδόντων οἱ χυμοὶ στηρίζωνται, τάς τε ὀδύνας σφοδροτέρας ἐπάγουσι καὶ αὐτοὺς δὴ τοὺς ὀδόντας τῆς οἰκείας παρασαλεύουσιν ἕδρας, ἐνίοτε μὴν ὑψηλοτέρους τῶν ἄλλων δοκοῦντας, ἐνίοτε δὲ καὶ κατασειομένους. καὶ ταῦτα μὲν καθίσταται, τῶν ἐνοχλούντων διαφορουμένων χυμῶν. εἰ δὲ καὶ φθάσαιεν οἱ ἐνοχλοῦντες χυμοὶ εἰς τὰς παρειὰς καὶ τὸ λοιπὸν μεταχυθέντες πρόσωπον, αἵ τε ὀδύναι ῥαΐζουσι καὶ οἱ ἐπαναστάντες ὄγκοι, καὶ τὰ κατ' αὐτοὺς χρώματα, τό, τε ποσὸν καὶ τὸ ποιὸν διασημαίνουσι τῶν ἐνοχλούντων χυμῶν. καὶ ταῦτα μὲν οὕτως ἂν διαγνοίης. οὐ μὴν δὲ κἀκεῖνο ἀγνοεῖν προσήκει, ὡς διαβρωτικοί τινες χυμοὶ καὶ σεσηπότες κατὰ τὴν οὐσίαν τῶν ὀδόντων ἐπισκήψαντες, τούτους θρύπτουσι καὶ διαβιβρώσκουσι. καὶ περὶ μὲν τούτων ἱκανὰ καὶ ταῦτα.

### ις'. Περὶ διαγνώσεως τῶν κατὰ τὴν γλῶτταν παθῶν.

Περὶ δὲ τὴν γλῶτταν γίνεται πάθη, ὧν τὸ μὲν ὑπὸ τὸ κάτω μέρος αὐτῆς γίνεται, καὶ μάλιστα παιδίοις. βάτραχος δὲ λέγεται. τὸ δ' εἰς τὴν οὐσίαν αὐτῆς, ὃ μὴ οἰκεῖον λαχὼν ὄνομα, τῷ μεγέθει ταύτης διασημαίνεται. ἐνίοις γὰρ διά τινα χυμὸν ἐνσκήπτοντα ὑπεραύξει αἴφνης, καὶ δυσκόλως στρέφεται, καὶ τὰ αὐτῆς οὐχὶ ῥᾳδίως ἐκπληροῖ. καθίσταται δ' αὖθις βοηθουμένη. ὅσα δὲ διὰ προηγούμενον πάσχει πυρετόν, ἀλλόχρουσά τε καὶ ῥηγνυμένη καὶ ξηραινομένη, καὶ οὐ ῥᾳδίως κινουμένη, τῶν συνεχόντων νοσημάτων ταῦτα συμπτώματα.

ιζ'. Περὶ τῶν κατὰ τὴν ὑπερώαν παθῶν.

Κατὰ δὲ τὴν ὑπερώαν πολλὰ μὲν καὶ διάφορα γίνεται ἐξανθήματα, κατὰ διαφόρους χυμοὺς ἐνσκήπτοντας. ἀμοιρεῖ δὲ πάντα ὀνομάτων οἰκείων. ἄφθαι γε μὴν περὶ τὸν τόπον συνιστάμεναι, οἰκείου ἔτυχον ὀνόματος, μάλιστα τοῖς βρέφεσιν ἐπιγινόμεναι. τούτων αἱ μὲν ὑπόλευκοι, μετριώτεραι τῶν ἄλλων, χείρους δὲ αἱ ὑπέρυθροι· αἱ δὲ μέλαιναι, πασῶν χείρισται. καὶ ταῦτα μὲν τῶν παθῶν εἰς προῦπτον γινόμενα, ῥαδίως τε φαίνεται καὶ ἄμεινον βοηθεῖται. τὰ μετ' αὐτὰ δέ, δυςχερέστερον καὶ φαίνεται καὶ βοηθεῖται. περὶ δὲ τῶν κατὰ γαργαρεῶνα παθῶν ὧδε ῥητέον.

ιη'. Περὶ τῶν κατὰ γαργαρεῶνα παθῶν.

Οὗτος τοίνυν ἐκ διαφόρων πάσχων ῥευμάτων, διαφόρους μὲν καὶ τὰς ἰδέας ἔχει. διαφόρων δὲ καὶ ὀνομάτων κατὰ τὰς τῶν παθῶν ἰδέας τετύχηκε. καὶ κιονὶς μὲν λέγεται, ὅταν ἐκ ῥευματικῆς τινος διαθέσεως ἀποφλεγμαίνων, ἰσοπαχὴς τῇ ὄψει φαίνηται.

ιθ'. Περὶ σταφυλῆς.

Σταφυλὴ δ' ὅταν τῷ πλείονι ῥευματισμῷ καὶ τῷ μεγέθει τῆς φλεγμονῆς, ῥαγὶ σταφυλῆς ἐοικὼς φαίνεται, ὥσπερ δῆτα καὶ ἱμάντωσις λέγεται, ὁπόταν ἰσχνὸς μὲν ἄλλως, ἐπιμήκης δὲ καὶ τοῦ συνήθους πλέον, ὡς ἐπιψαύειν τῆς γλώττης, ἐκ τοῦ τοῖς ἱμάσιν ἐοικέναι τὴν προσηγορίαν προσειληφώς. καὶ ταῦτα μὲν διαφόρων ὀνομάτων τετύχηκε, τῷ διαφόρους ἐπιδείκνυσθαι ἰδέας.

κ'. Περὶ τῶν κατὰ φάρυγγα παθῶν.

Ἐπεὶ δὲ τῷ τε φάρυγγι καὶ τῷ λάρυγγι μύες ὑπηρετοῦντες προσπεφύκασι, καὶ τούτοις πάθη προσεδρεύει ποικίλα, ἐνστηριζομένων αὐτοῖς χυμῶν, καὶ μάλιστα θερμοτέρων, οἳ δὴ τὸ πλέον καὶ φλεγμονὰς ἐργάζονται.

κα'. Περὶ συνάγχης καὶ παρασυνάγχης καὶ κυνάγχης.

Τῶν μὲν ἐντὸς τοῦ φάρυγγος μυῶν φλεγμαινόντων, συνάγχη λέγεται τὸ πάθος, τῶν δὲ ἐκτός, παρασυνάγχη.

ὥσπερ δῆτα καὶ κυνάγχη μὲν τῶν ἐντὸς τοῦ λάρυγγος φλεγμαινόντων μυῶν, παρακυνάγχη δὲ τῶν ἐκτός, ἀπὸ τῶν κυνῶν τοῦ πάθους τὴν ἐπωνυμίαν ἀπειληφότος, ἅτ' ἐκείνοις τούτου μᾶλλον συμβαίνοντος. παρέπεται δὲ τοῖς ἁλοῦσιν ὀρθόπνοια καὶ δύσπνοια καὶ πόνος, ἔτι τε ἔρευθος προσώπου, καὶ τὸ στόμα τούτων διανεωγὸς τὸ πλέον φαίνεται, καὶ καταπίνειν οὐ δύνανται. κἂν βιάσαιντο, διὰ τῶν μυκτήρων ἀναφερόμενον ἐκρεῖ τὸ πινόμενον, καὶ ἤτοι ὧδε παραμείνασα ἡ φλεγμονὴ ἀνεῖλε τὸν ἄνθρωπον, ἢ ἐπὶ τὸν πνεύμονα μεταστάντος τοῦ ῥεύματος, περιπνευμονία τὸν κάμνοντα ἀπέκτανε. τὰ γὰρ δύο μέγιστα καὶ χείριστα διαφυγεῖν τὸν ἄνθρωπον νοσήματα, τῶν δυσχερεστάτων δοκεῖ καὶ τύχης ὧδε ἀγαθῆς δεῖ. καὶ πού τις ὦπται ἡμῖν τοιοῦτος, διαφυγὼν τὸν ὄλεθρον, τῶν ἄλλων ἁπάντων ἀπολωλότων. μάλιστα δὲ τῶν ἄλλων σώζονται, οἷς περὶ τὴν ἐπιφάνειαν τοῦ τραχήλου ὄγκοι τινὲς καὶ ἐξανθήματα ἐπανίστανται. ἀλλὰ γὰρ ἡ συνέχεια τῶν κατὰ τὸ στόμα παθῶν, κἀπὶ τὰ βαθύτερα τὸν λόγον μετήγαγεν. ἡμῖν δ' ἱκανῶς περὶ αὐτῶν ἐν τῷ προτέρῳ λόγῳ διεξιοῦσιν, ἤδη καιρὸς ἐπὶ τὰ λοιπὰ τῶν ἔξωθεν παθῶν τῷ λόγῳ ἰέναι, καὶ περὶ αὐτῶν διεξιέναι τὰ δέοντα. ῥητέον οὖν πρῶτον περὶ τοῦ μεγίστου καὶ χειρίστου νοσήματος τῶν κατὰ τὴν ἐπιφάνειαν τοῦ σώματος φαινομένων, εἶθ' οὕτως καὶ περὶ τῶν κατὰ μέρος φαινομένων παθῶν. οὕτω γὰρ ἂν μετ' εὐταξίας τινὸς ἐκβαίη ὁ λόγος, καὶ τοῖς διεξιοῦσι πρόχειρον εἰδέναι τὰ κατὰ μέρος ἔσται.

### κβ. Περὶ ἐλέφαντος.

Ὁ τοίνυν ἐλέφας, καρκίνος ὢν ὁλοσώματος, τὴν πᾶσαν ἐπινέμεται σάρκα, καὶ ἐς τὸ ἀνίατον καθίστησι τὸν νοσήσαντα. οὗτος ἀπὸ μελαίνης χολῆς ἀρχὴν τῆς συστάσεως ἔσχε. κἂν μὲν οὖν αὕτη ὑφ' αἵματος διαφθαρέντος καὶ εἰς τὸ μελαγχολικὸν τραπέντος συστᾶσα τύχῃ, ὑπερύθρους τε καὶ ἧττον κακοήθεις ποιεῖ. εἰ δ' ἀπὸ ξανθῆς τραπείσης χολῆς ἡ γένεσις τῷ μελαγχολικῷ χυμῷ, τοὺς χειρίστους καὶ διαβρωτικοὺς ὧδε ἐσόψει ἐλέφαντας, πάντα δίκην πυρὸς νεμομένους. προηγοῦνται δὲ τοῦ πάθους

ὀφρύων τε καὶ τῶν κατὰ τὴν γένυν τριχῶν ἐκπτώσεις, ὀχθώδεις τε ἐπαναστάσεις κατὰ τὸ πρόσωπον, καὶ οἱ ὀφθαλμοὶ τούτοις ἀλλοχροοῦσι, καὶ ἡ φωνὴ δασύνεται, αἵθ' ὑπὸ τὴν γλῶτταν φλέβες πλήρεις τε καὶ μέλαιναι, μήπω πρότερον τοιαῦται οὖσαι. τοῦ χρόνου δὲ προβαίνοντος, ταῦτά τε ἐπιδίδωσι καὶ ἐξανθήματά τινα ἀναφαίνεται, δυσχερῶς ἐπουλούμενα. εἶθ' οὕτως ἐκρήγνυται ὁ χυμός, καὶ πᾶσαν μηχανὴν φορμάνων, ὡς οὐκ ὠφελήσουσαν ἀποστρέφεται.

### κγ'. Περὶ λέπρας, ψώρας καὶ λειχήνων.

Ἧττον δ' εἰς κακίαν μετὰ τὸν ἐλέφαντα, λέπρα, μεθ' ἣν ἡ ψώρα, εἶτα λειχῆνες· ἀλλ' ἡ μὲν λέπρα, διά τε βάθους χωρεῖ, καὶ κυκλοτερῆ τὰ ἐξανθήματα ποιεῖ, καὶ τινες συντήξεις σαρκὸς λεπίδας τε ἀφίησιν, ἀφ' ὧν δὴ καὶ τοὔνομα εἴληχε, μήθ' οὕτως διὰ βάθους τῆς ψώρας χωρούσης, καὶ διαφόρως σχηματιζομένης, καὶ μηδὲ πιτυρώδη τινὰ ἀφιείσης σώματα. κἀκεῖ μὲν τοῦ μελαγχολικοῦ χυμοῦ ἔργον ἡ λέπρα· ὡδὶ δὲ διάφοροι καὶ διαφόρων χυμῶν μίξεις ψώρας ἀπεργάζονται. κοινὸν δ' ἀμφοῖν ὅ, τε τραχισμὸς καὶ ὁ κνησμὸς τοῦ δέρματος, μιχθέντων δὲ λεπτῶν καὶ δριμέων ἰχώρων ἑτέροις παχυχύμοις οἱ λειχῆνες ἐπιγίνονται, καὶ ῥᾳδίως εἰς ψώραν τε καὶ λέπραν μὴ βοηθούμενοι μεθίστανται. τούς γε μὴν λοιποὺς κνησμούς, ὅσοι διὰ δριμύτερον χυμὸν εἰς τὸ δέρμα ἐξώρμησαν, ἢ διά τινα ἁλυκὸν χυμὸν γίνονται, διαγνώσῃ μὲν ἀπό τε τῆς ἡλικίας καὶ κράσεως καὶ διαίτης. ἰάσῃ δὲ μᾶλλον τοὺς ἐν τοῖς νέοις τε καὶ ἀκμάζουσι συνισταμένους. οἱ γὰρ δὲ τοῖς γέρουσιν ἐπιγινόμενοι δυσίατοι πεφύκασι, μήτ' ἰσχυρῶν φαρμάκων ὧδε βοηθούντων, τῷ μὴ τοιούτων δεῖσθαι τοὺς γέροντας, παρηκμακυίας ἤδη τῆς δυνάμεως, μήτε τοῦ ῥεύματος ῥᾳδίως διαφορουμένου, σκληροῦ ἤδη γεγονότος καὶ συμμυσάντων τῶν πόρων. ἐπὶ πάντων δὲ ἤτοι οὐδὲν κνηθομένων προΐεται, ἤ τις ὑγρότης διάφορος τῷ τε χρώματι καὶ τῇ συστάσει, ἀφ' ὧν οὐχ ἧττον ἢ ἐπὶ τῶν προρρηθέντων, τὸν ἐπικρατοῦντα διαγνώσῃ χυμόν.

κδ. Περὶ λεύκης.

Λεῦκαι δὲ πρὸς τοὺς ἀφλοὺς τὸν αὐτὸν ἔχουσι λόγον, ὃν αἱ λέπραι πρὸς τὰς ψώρας. αἱ μὲν γὰρ λεῦκαι τὸ πλέον διὰ βάθους χωροῦσι, καὶ τὰς ἐκεῖθεν τρίχας τοιαύτας προβάλλονται.

κε΄. Περὶ ἀλφῶν.

Οἱ δ' ἀλφοὶ ἐξεπιπολῆς εἰσιν. ἐσθ' ὅτε δὲ καὶ οὗτοι προβαίνοντες διὰ βάθους χωροῦσιν, ὡς καὶ τὰς κατ' αὐτοὺς τρίχας ὁμοειδεῖς φαίνεσθαι. δοκιμάζεται δέ, εἰ μὴ διὰ βάθους χωρεῖ, ἡ λεύκη, μετρίως κεντουμένη βελόνῃ, ὥστε δηλονότι μὴ πλέον ταύτην τοῦ δέρματος χωρῆσαι. κἂν μὲν οὖν αἷμα ῥεύσῃ, ἰάσιμον τὸ πάθος· εἰ δ' ὑγρότης γαλακτώδης, οὐκ ἰάσιμον, ἤδη τῆς κατ' αὐτὴν μεταβληθείσης σαρκὸς εἰς εἶδος ἕτερον. ἔνιοι δὲ καὶ τραχέσι ῥάκεσι τρίψαντες, εἰ μὲν ἐρυθραινόμενον τὸν τόπον ἴδωσι, χρηστὰς ἔχουσι τὰς ἐλπίδας· εἰ δ' ἐπὶ τοῦ αὐτοῦ μένοντα, ἀπαγορεύουσι βοηθεῖν· χείρους δὲ καὶ ὁπόταν πλείονας καταλάβωσι τόπους τοῦ σώματος, ὥσπερ καὶ αἱ πολυχρονιώτεραι τῶν μὴ τοιούτων. οἱ δὲ ἀλφοὶ τὸ πλέον μετριώτεροι τῶν λευκῶν πεφυκότες, καὶ μετριωτέροις φαρμάκοις εἴκουσι. χρονίσαντες δὲ τοῖς αὐτοῖς τοῖς ἐπὶ ταῖς λύκαις ἄγονται, εἰς τὴν ἐκείνων διάθεσιν μεθιστάμενοι. πεφύκασι δ' αὐτῶν οἱ μὲν λευκοί, οἱ δὲ μέλανες, τὸν ἐπικρατοῦντα χυμὸν τοῖς χρώμασιν ἐπισημαίνοντες. τά γε μὴν στίγματα τῷ εἴδει ἐοικότα τοῖς μέλασιν ἀλφοῖς, ἄλλη ἄγεται θεραπεία, ὑπὸ πληγῶν καὶ θλάσεών τινων τὴν ἀρχὴν τῆς σφῶν αὐτῶν συστάσεως εἰληχότα.

κϛ΄. Περὶ ἐξανθημάτων.

Τὰ δὲ ἰδίως καλούμενα ἐξανθήματα ἀπὸ παχέων χυμῶν ἐν τῷ δέρματι τὸ πλέον σφηνωθέντων, τῆς ἐπιδερματίδος πυκνῆς οὔσης συνίστανται. ἤτοι δὲ τὸ ἅπαν σῶμα τοιούτου πλήθει χυμοῦ, ἢ μόνον αὐτὸ τὸ δέρμα. κρίνεται δ' ἕκαστον τῇ τε τοῦ πάθους σφοδρότητι καὶ τοῖς ἐκκρινομένοις καὶ ταῖς προηγησαμέναις διαίταις, ἐπάγεται δ' ἀναλόγως ταῖς διαγνώσεσι καὶ ἡ προσήκουσα θεραπεία.

κζ΄. *Περὶ ἐπινυκτίδων.*

*Ἐπινυκτίδες εἰσὶν ἑλκύδρια ἀπὸ ταὐτομάτου ἐξανθοῦντα, φλυκταινοειδῆ, ὑπέρυθρα, ὧν ἐκρηγνυμένων, ἰχὼρ ὕφαιμος ἀπορρεῖ. αὗται δὲ μᾶλλον κατὰ τὰς νύκτας ἢ μεθ' ἡμέραν ἐνοχλοῦσιν, ὅθεν καὶ τοὔνομα εἰλήφασιν.*

κη΄. *Περὶ μυρμηκυίας.*

*Μυρμηκία δὲ καὶ ἀκροχορδὼν, ἐπανάστασίς ἐστι τοῦ δέρματος, μικρά τε καὶ τυλώδης, περιφερὴς τὸ πλέον, ἀλλ' ἡ μὲν μυρμηκία πλατεῖαν ἔχει τὴν βάσιν, καὶ πρὸς τὰς ἀποσφίγξεις ὁμοίαν ποιεῖται τὴν αἴσθησιν τοῖς τῶν μυρμήκων δήγμασιν. ὁ δὲ ἀκροχορδὼν στενὴν ἔχει τὴν βάσιν, ὡς δοκεῖν ἐκκρέμασθαι ἄκρῳ χορδῆς ὁμοιουμένη.*

κθ΄. *Περὶ γαγγλίου.*

*Γαγγλίον δέ ἐστι συστροφή τις νεύρου ἐκ πληγῆς ἢ κόπου γινόμενον. πέφυκε δὲ τοῦτο μάλιστα συνίστασθαι κατά τε τὰς χεῖρας καὶ τοὺς πόδας, ἅτε πλειόνων τε καὶ προφανῶν ὧδε τῶν νεύρων πεφυκότων, καὶ τούτων μᾶλλον τῶν ἄλλων μορίων γυμναζομένων. καὶ ταῦτα μὲν μέτρια καὶ ἐπὶ μετρίαις αἰτίαις γινόμενα βραχύ τι ἢ οὐδὲν λυμαίνεται ἢ ὀδυνᾷ. ὅσα δὲ διά τινα χυμὸν ἐπιρρέοντα συνίστανται, καὶ στενοχωρεῖ τοὺς τόπους, ταῦτα μᾶλλόν τε λυπεῖ καὶ τὴν τυχοῦσαν τοῦ μορίου ἀπείργει ἐνέργειαν.*

λ΄. *Περὶ διαγνώσεως φλεγμονῆς.*

*Ἐπεὶ δὲ πολλοί τινες οἱ ῥευματίζοντες χυμοί, καί πως συμπλεκόμενοι ἐνίοτε φαίνονται, φέρε καὶ τὰς κατὰ μέρος τούτων βλάβας ἐξείπωμεν, ὡς ἂν ἔχοις διαγινώσκειν ἕκαστα.*

*Αἵματος τοίνυν χρηστοῦ καὶ συμμέτρου τῷ πάχει ῥυέντος εἴς τι μόριον ἀθρόως, καὶ διὰ πλῆθος σφηνωθέντος, ἡ ἰδίως προσαγορευομένη γίνεται φλεγμονή, ἐρυθήματέ καὶ ζέσιν μετά τινος ἐπαναστήματος τῷ κάμνοντι μορίῳ ἐπάγουσα. χολῆς γε μὴν ξανθῆς οὕτω τυχὸν διατιθείσης μόριον, τὸ οὕτω πως λεγόμενον ἐρυσίπελας γίνεται, οὐχ οὕτω μὲν ὂν ἐρυθρόν, ὡς τὸ πρότερον, οὐχ ἥκιστα δὲ φλέγον, ὕπωχρον ὄν. κἂν τύχοιεν οἱ*

ρηθέντες συμπλακέντες χυμοί, καὶ τὸ ἐξ αὐτῶν πάθος ἐπισυμπεπλεγμένῳ αὐχοῦσιν ὀνόματι. καὶ πλεονάζοντος μὲν τοῦ αἵματος, φλεγμονὴ γίνεται ἐρυσιπελατώδης, τῆς δὲ χολῆς, ἐρυσίπελας φλεγμονῶδες. οἴδημα δέ ἐστιν ὄγκος λευκός, ἀνώδυνος, ἐπὶ φλέγματι συνιστάμενος, ὥσπερ καὶ τὸ ἐμφύσημα ἐπὶ ψυχρῷ καὶ παχυτέρῳ συνίσταται πνεύματι. ῥᾴδιον γνωρίζειν τοῦτο τῇ ἁφῇ. ῥᾳδίως γὰρ ὑπείκει τὰ οἰδήματα, μήτε ζέοντα, μήτ' ὀδυνῶντα, μήτ' ἠλλοιωμένα ὄντα τῷ χρώματι. τὰ δὲ ἐμφυσήματα, ἀντίτυπα, τὸ δέρμα τοῦ πνεύματος διατείνοντος. γνωριμώτερον δὲ τοῦτο ἐπὶ τῶν τυμπανίων ὑδέρων. ὧδε δὲ καὶ ὑπηχεῖ κρουόμενον τὸ ἐπιγάστριον, τυμπάνου δίκην, ἀκριβῶς διατεινομένου τοῦ δέρματος ὑπὸ παχέος πνεύματος· ἐνίαις γε μὴν τῶν φλεγμονῶν, καὶ μάλισθ' ὅσαις μὴ ῥᾴδιον ἐς πύον μεταβληθῆναι, καὶ ἄλλως πως διαφορηθῆναι, πρόχειρον τὸ μεταπεσεῖν εἰς γάγγραιναν ἢ σφάκελον.

### λα'. Περὶ γαγγραίνης.

Καὶ γάγγραιναν μὲν φαμεν τὴν διὰ μέγεθος φλεγμονῆς τοῦ τυχόντος μορίου νέκρωσιν, οὐκ ἤδη δηλονότι γεγενημένην, ἀλλ' ἔτι γιγνομένην. τὴν γὰρ ἤδη καταστᾶσαν, σφάκελον ὀνομάζομεν. οὗτος γὰρ πέρας γαγγραίνης. συμβαίνει δὲ τοῦτο τὸ πάθος καὶ τοῖς ὀστέοις, ὅταν δηλονότι ἡ ὑπερκειμένη σὰρξ αὐτοῖς μοχθηροὺς ἰχῶρας γεννῶσα, διαβρέχῃ τούτοις ταῦτα καὶ διασήπῃ. καὶ ταῦτα μὲν οὕτω χαλεπὰ πάθη τυγχάνοντα διαφθείρει, οἷς ἂν μορίοις ἐνσκήψειεν. ἡ δὲ παχεῖα τὴν σύστασιν χολὴ καὶ μᾶλλον δριμεῖα μέχρι τῆς ὑποκειμένης σαρκὸς τὸ δέρμα ἑλκοῖ καὶ καλεῖται τὸ πάθος ἕρπης.

### λβ'. Περὶ ἕρπητος.

Ἡ δὲ λεπτὴ καὶ ἧττον δριμεῖα καὶ θερμὴ φλυκταίνας μικρὰς ἐξ ἐπιπολῆς τοῦ δέρματος ἐγείρει, κέγχροις ἐοικυίας, καὶ κεγχρίτης ἕρπης ἐκ τῆς ὁμοιότητος τὸ πάθος ὀνομάζεται. ἔνιοι δέ φασι τοῦτον μετ' ἐπιμιξίας συνίστασθαι φλέγματος. εἴρηται δὲ ἕρπης τῷ δοκεῖν ἕρπειν κατὰ τῆς ἐπιφανείας τοῦ δέρματος, νῦν μὲν τόδε τὸ μέρος ἐπέχων,

αὖθις δὲ τὸ μετ' αὐτό, ἀεὶ τοῦ σύνεγγυς ἀναδεχομένου τὸ πάθος, ἐξιωμένου δὲ τοῦ πρώτου πάσχοντος, ὥσπερ τινὸς φλογὸς ἀεὶ μὲν τὰ σύνεγγυς νεμομένης, ἀεὶ δὲ τῶν προανῃρημένων καὶ προαπεσβεννυμένων, τῆς ἐπιτηδείας ὕλης ἤδη ἀπολειπούσης.

### λγʹ. Περὶ βουβῶνος.

Βουβὼν δὲ καὶ φῦμα καὶ φύγεθλον, ἀδένων εἰσὶ πάθη· καὶ φῦμα μὲν ἡ φλεγμονή. βουβὼν δὲ ἡ πρὸς ἐκπύησιν ἐπειγομένη φλεγμονὴ τοῦ ἀδένος, ὥσπερ δῆτα τοῦ αὐτοῦ ἀδένος τὸ φλεγμονῶδες, φύγεθλον λέγεται.

### λδʹ. Περὶ δοθιῆνος.

Περὶ δὲ δοθιῆνος ταῦτ' εἰπεῖν ἔνεστιν, ὡς οὗτος ὄγκος ἐστὶν ἀποστηματώδης ἐκ παχέων χυμῶν, ἐν τοῖς σαρκώδεσι τόποις συνιστάμενος, ἐπιεικὴς μὲν ὑπάρχων, ὅτε ἐν αὐτῷ μόνῳ συνίσταται τῷ δέρματι, κακοήθης δέ, ὅταν ἐκ πλείονος ἀνίσχῃ βάθους. διαγνώσῃ δὲ τούτους τῇ τε ὄψει καὶ τῇ ἀφῇ, τοῦ πέριξ τόπου τοῦ δοθιῆνος ἐπαφώμενος.

### λεʹ. Περὶ τερμίνθου.

Τὴν τέρμινθον δέ φασιν εἶδος φύματος εἶναι, ἐπικεῖσθαι δὲ αὐτῷ ἄνω καὶ κάτω φλυκταῖναν μέλαιναν, ἧς ἐκραγείσης τὰ ὑποκάτω ἀποσεσυρμένα φαίνεται. τούτου δὲ διαιρεθέντος, πύον εὑρίσκεσθαι. ἕτεροι δέ φασιν, ὡς τέρμινθοι εἰσιν ὑπεροχαὶ ἐπὶ τοῦ χρωτὸς συνιστάμεναι, στρογγύλαι, μελαγχολικαί, τερεβίνθου καρποῖς.

### λϛʹ. Περὶ ἀνθράκων.

Τοῦ γε μὴν αἵματος μελαγχολικωτέρου γενομένου καὶ ζέσαντος, ἐνσκήψαντος μορίῳ τινί, συμβαίνει τοὺς ὀνομαζομένους ἄνθρακας γίνεσθαι, οἵπερ εἰσὶ χαρακώδη ἕλκη, τὸ πλέον μὲν ἀπὸ φλυκταίνης ἀρχόμενα, τοῖς πυρικαύστοις ἐμφερῶς. ἐνίοτε δὲ καὶ χωρὶς ταύτης. καὶ κνῶνταί γε παντελῶς ἐν ἀρχῇ τὸ μόριον. εἶτά ποτε μὲν μείους φλυκταῖναι, ποτὲ δὲ πλείους ἐπανίστανται, λεπταὶ καθάπερ κέγχροι τινές, ὧν ἐκρηγνυμένων, ἐσχαρῶδες ἕλκος γίνεται,

παραπλήσιον τοῖς ὑπὸ καυστήρων γινομένοις, ποτὲ μὲν τεφρώδους τῆς ἐσχάρας φαινομένης, ποτὲ δὲ μελαίνης, σὺν τῷ προσέχεσθαι τῇ βάσει, καὶ τρόπον τινὰ προσηλῶσθαι μετὰ νομῆς, ἡ δὲ πέριξ σὰρξ φλεγμονώδης ἰσχυρῶς καὶ μέλαινα τῇ χροιᾷ γίνεται, καὶ στίλβουσα παραπλησίως ἀσφάλτῳ καὶ πίσσῃ. τοιαύτη δέ ἐστιν ἡ ἀκριβῶς μέλαινα χολή, καὶ μέλανας ἄνθρακας τοὺς ἀπὸ ταύτης γινομένους φαμέν. ἀλλ' οἱ μὲν παρὰ τῇ σαρκὶ συνιστάμενοι ἄνθρακες, συντόμως περιγράφονται. οἱ δὲ κατὰ τῶν ὑμένων ἢ τῶν ἄκρων γινόμενοι μέχρι πολλοῦ παραμένουσι καὶ τῆς συμπαθείας τοῖς ὑποκειμένοις μεταδιδόασι τόποις, ὥστε καὶ φλεγμονὴν ἐρυσιπελατώδη αὐτοῖς γίνεσθαι, οὐκ ὀλίγοις δὲ καὶ εἰς διαπύησιν ἐτράπη. τοῖς δὲ πλείστοις καὶ πυρετοὶ συνεδρεύουσι. γίγνονται δὲ καὶ κατά τινας ἐπιδημίους αἰτίας οἱ ἄνθρακες. καὶ τούτοις μὲν οὕτω διαγνούς, καθὼς ἑξῆς ἐροῦμεν, οὕτω καὶ θεραπεύσεις.

### λζ΄. Περὶ καρκίνου.

Ὁ καρκίνος δὲ ἐν τοῖς πλείοσι τοῦ σώματος μέρεσι πέφυκε γίνεσθαι. ἔν τε γὰρ ὀφθαλμοῖς καὶ ὑστέραις καὶ ἄλλοις πλείοσι μέρεσιν, οὐχ ἥκιστα δέ καὶ κατὰ τοὺς τιτθοὺς τῶν γυναικῶν, ἅτε χαύνους ὄντας καὶ ἑτοίμως ἔχοντας δέχεσθαι τὴν παχυτάτην ὕλην. ἐκ γὰρ μελαίνης χολῆς ζεούσης οἱ καρκίνοι πεφύκασι συνίστασθαι, καὶ εἰ δριμύτερόν τι τύχῃ, καὶ διαφορητικὸν τῇ μελαίνῃ συνιὸν χολῇ, μεθ' ἑλκώσεως καρκίνους ἐπεγείρει. καὶ κατὰ μὲν τὴν χρόαν μελάντεροι τῶν λοιπῶν φλεγμονῶν οἵδε εἰσί, καὶ ἧττον θερμοί. αἱ φλέβες δὲ πληροῦνται καὶ τείνονται πέριξ, παραπλησίως τοῖς τοῦ καρκίνου ζώου ποσίν, ὅθεν καὶ τῆς ὀνομασίας τοῦτο τὸ πάθος τετύχηκε. τινὲς δέ φασι διὰ τὸ δυσαπολύτως ἔχεσθαι τῶν μορίων, ὧν ἂν λάβηται, καρκίνου δίκην· διά γε μὴν τὸ πάχος τοῦ τοιούτου χυμοῦ, καὶ ἀνίατος ὁ καρκίνος ἐστί, μήτε ἀποκρουσθῆναι δυνάμενος, μήτε διαφορηθῆναι, μήτε ταῖς τοῦ ὅλου σώματος εἴκειν καθάρσεσιν, ἀεὶ τῶν μὲν πραοτέρων φαρμάκων τῶν ἐπιτιθεμένων καταφρονοῦντος τοῦ πάθους, ὑπὸ δὲ τῶν σφοδροτέρων παροξυνομένου. τούς γε μὴν ἀρχο-

μένους δυνατὸν καθαίροντας ἀπείργειν τοῦ πρόσω βαίνειν, καὶ μάλιστα ἢν μὴ τῷ πεπονθότι μορίῳ τύχῃ, ἐνστηριχθεὶς ὁ χυμός. ἔτι γὰρ πλανώμενον, δυνατὸν αὐτὸν μετοχετευθῆναι· τῆς δὲ σαρκὸς θλασθείσης ὑπό τινος ἐμπεσόντος βαρέος, καὶ τῶν ἐν αὐτῷ μικρῶν φλεβίων διαιρεθέντων, αἷμα προχεῖται κατὰ διαπήδησιν, ὅθεν καὶ ἀθροιζομένου ὑπὸ τὸ δέρμα τὸ καλούμενον ποιεῖ ἐκχύμωμα, ὃ διαιρεθέντος τοῦ δέρματος, ὥσπερ ὄγκος εὐαφὴς εἴκων φαίνεται, ἀνώδυνος τὰ πολλά. εἴδη δὲ τοῦ ἐκχυμώματός εἰσι καὶ τὰ καλούμενα ὑπώπια καὶ ὑποσφάγματα, καὶ προσέτι ἡ κατὰ τοὺς ὄνυχας ἀποδρομὴ τοῦ αἵματος ἐκ πληγῆς γινομένη. τὰ ῥήγματα δὲ σὺν ἐκχυμώσει μὲν γίνονται πάντως, ἤτοι δὲ ἐπιπολῆς ἢ διὰ βάθους ταῦτα γίνεται. κᾂν μὲν οὖν ῥᾳδίως ὧδε διαφορηθῇ τὸ ὅλον ἐκχύμωμα, συμφύεται ῥᾳδίως ἡ διαστᾶσα σάρξ. ἐὰν δὲ χρονίσῃ καὶ ῥύπος ὑποτραφῇ συμφυῆναι τῷ ῥήγματι, τὸ λοιπὸν ἀδύνατον. κᾂν γὰρ παρατεθῶσι μόνον ἀλλήλοις τὰ χείλη, ἀλλ' οὖν μικρά τις παρεμπεσοῦσα πρόφασις, ῥᾳδίως αὐτὰ διΐστᾷ, ὡς ἐμπίπλασθαι τὴν μεταξὺ χώραν αὐτῶν ὑγρότητός τινος ἀλλοτρίας, καὶ τρόπον τινὰ συνεχὲς ἐκχύμωμα γίνεσθαι, παραπλήσιον τῷ κατ' ἀρχὰς συνισταμένῳ ἐξ αἵματος. τό γε μὴν σπάσμα γίνεται, διασπωμένων τινῶν ἰνῶν. ταύτας δ' ἅπαξ διασπασθείσας, κολληθῆναι οὐ δυνατόν, μόνης δὲ παραμυθίας τῆς ἀπὸ τῶν βοηθημάτων δεῖσθαι μέχρις ἀνωδυνίας.

### λη'. Περὶ σκίρρου.

Ὁ δὲ ἀκριβὴς σκίρρος ὄγκος ἐστὶ παρὰ φύσιν σκληρός τε καὶ ἀναίσθητος. ἐκπέφευγε δὲ τὸν ἀκριβῆ ὁ μετρίως αἰσθανόμενος· ἀλλ' ὁ μὲν ἀναίσθητος, ἤδη καὶ ἀνίατος. ᾧ γὰρ μὴ ἐπαΐειν τῶν ἐπιτιθεμένων φαρμάκων πέφυκε, τίς ἂν ἐκεῖθεν βοηθείας προσδοκηθείη ἐλπίς; κατὰ τοσοῦτον δὲ ἐλπιστέοι οἱ αἰσθανόμενοι, καθ' ὅσον μετειλήφασι καὶ αἰσθήσεως. γίνονται δ' ἅπαντες ὑπὸ γλίσχρου καὶ παχέος χυμοῦ, δυσαποσπάστως ἐμπλαττομένου τοῖς σκιρρουμένοις μορίοις. συνίστανται δὲ τὴν ἀρχήν, ἐνίοτε μὲν ἐξ αὐτομάτου τοιούτου τινὸς χυμοῦ τῷ τυχόντι προσερεισθέντος μορίῳ· πολλάκις δὲ καὶ ὑπ' ἀμαθίας ἰατρῶν

## XX.

## *ΙΟΥΛΙΑΝΟΥ*
### *νόμος περὶ τῶν ἰατρῶν.*

---

*Τὴν ἰατρικὴν ἐπιστήμην σωτηριώδη τοῖς ἀνθρώποις τυγχάνειν τὸ ἐναργὲς τῆς χρείας μαρτυρεῖ. διὸ καὶ ταύτην ἐξ οὐρανοῦ πεφοιτηκέναι δικαίως φιλοσόφων παῖδες κηρύττουσι. τὸ γὰρ ἀσθενὲς τῆς ἡμετέρας φύσεως, καὶ τὰ τῶν ἐπισυμβαινόντων ἀρρωστημάτων ἐπανορθοῦται διὰ ταύτης. καὶ γὰρ κατὰ τὸν τοῦ δικαίου λογισμὸν συνῳδὰ τοῖς ἄνωθεν βασιλεῦσι θεσπίζοντες, ἡμετέρᾳ φιλανθρωπίᾳ κελεύομεν τῶν βουλευτικῶν λειτουργημάτων ἀνενοχλήτους ὑμᾶς τοῖς λοιποῖς χρόνοις διάγειν*).*

*) Haec lex, quae vocatur praefixa est editioni Hippocratis Aldinae, quae olim fuit Marcantonii Salvinii. Hodie exemplar adservatur in bibliotheca Riccardiana Florentiae. Diiudicari nequit, num sit genuina. Dietzius iusiurandum esse censuit. Atqui neque lex est, neque iusiurandum, sed quasi confessio quaedam ineuntis medici, fortassis, ex lege quadam Iulianea, publice ac solenniter pronuntianda.